CORPORIS

HAERESEOLOGICI

TOMI SECUNDI

PARS TERTIA.

CORPORIS

HAERESEOLOGICI

TOMUS SECUNDUS

CONTINENS

S. EPIPHANII EPISCOPI CONSTANTIENSIS

PANARIORUM

LIBRUM TERTIUM ET ANACEPHALAEOSIN, SYLLOGEN ADDENDORUM ET INDICES.

EDIDIT

FRANCISCUS OEHLER.

BEROLINI
APUD A. ASHER ET SOCIOS.
MDCCCLXI.

S. EPIPHANII

EPISCOPI CONSTANTIENSIS

PANARIA

EORUMQUE ANACEPHALAEOSIS.

AD VETERES LIBROS RECENSUIT ET CUM LATINA
DION. PETAVII INTERPRETATIONE ET INTEGRIS
EIUS ANIMADVERSIONIBUS

EDIDIT

FRANCISCUS OEHLER.

TOMI POSTERIORIS

PARS PRIOR.

BEROLINI
APUD A. ASHER ET SOCIOS.
MDCCCLXI.

S. EPIPHANII PANARIORUM

LIBER TERTIUS.

pag. 808. ## ΤΑΔΕ ΕΝΕΣΤΙ *ΚΑΙ ΕΝ ΤΩΙ ΠΡΩΤΩΙ ΤΟΜΩΙ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ, ΕΚΤΟΥ ΔΕ ΟΝΤΟΣ ΤΟΜΟΥ, ΚΑΘ ΟΝ ΑΡΙΘΜΟΝ ΠΡΟΕΙΠΟΜΕΝ, ΕΝ ΩΙ ΕΙΣΙΝ ΑΙΡΕΣΕΙΣ ΕΠΤΑ, ΣΥΝ ΤΟΙΣ ΣΧΙΣΜΑΣΙΝ ΟΥΤΩΣ.

α΄. [1] *Αὐδιανῶν ἀφηνιασμὸς καὶ σχίσμα, οὐ μέν τοι αἵρεσις. Οὗτοι μὲν διαγωγὴν καὶ βίον εὖ τεταγμένον κέκτηνται,* [2] *εἰσὶ δὲ κατὰ πάντα τὴν πίστιν ἔχοντες ὡς ἡ καθολικὴ ἐκκλησία. Μοναστήρια* [3] *δὲ οἱ πλείους κατοικοῦσι· κέχρηνται δὲ καὶ ἀποκρύφοις πολλοῖς κατακόρως· οὐ* [4] *συνεύχονται δὲ ἡμῖν, ψέγοντες τοὺς παρ' ἡμῖν ἐπισκόπους πλουσίους,* [5] *καὶ ἄλλους, ἀλλὰ καὶ διὰ τὸ Πάσχα ποιεῖν ἰδιαζόντως, ὅτε* [6] *οἱ Ἰουδαῖοι ποιοῦσιν. Ἔχουσι δὲ καὶ ἰδιωτικόν τι καὶ φιλόνεικον, ξηρότατα τὸ κατ' εἰκόνα ἑρμηνεύοντες.*

β΄. Φωτεινιανοί. Οὗτος ὁ Φωτεινὸς ἀπὸ Σιρμίου ὑπάρχων ἔτι καὶ δεῦρο περιενόστει· ὃς τὰ αὐτὰ Παύλῳ τῷ Σαμοσατεῖ ἐφρόνησε. Κατά τι δὲ πρὸς ἐκεῖνον διαφέρονται, καὶ αὐτοὶ [1] *δὲ ἀπὸ Μαρίας καὶ δεῦρο τὸν Χριστὸν διαβεβαιοῦνται.*

γ΄. Μαρκελλιανοί. Ἀπὸ Μαρκέλλου τοῦ [1] *ἀπὸ Ἀγκύρας τῆς Γαλατίας. Οὗτος ἐν ἀρχῇ παραπλησίως Σαβελλίῳ φρονήσας διεφημίσθη. Εἰς ἀπολογίας δὲ πολλάκις ἐλθών, καὶ ἐγγράφως* [2] *ἀπολογισάμενος παρὰ πολλῶν τοῖς αὐτοῖς ἐμμένειν κατηγορήθη. Ἴσως δὲ μεταγνοὺς τάχα ἑαυτὸν* [3] *διωρθώσατο, ἢ οἱ αὐτοῦ μαθηταί.* [4] *Ὑπὲρ αὐτοῦ γάρ,* [5] *ἢ ὑπὲρ τῶν αὐτοῦ μαθητῶν ὀρθόδοξοί τινες μέσως* [6] *ὑπεραπελογοῦντο.*

δ΄. Ἡμιάρειοι. Οἱ Χριστὸν μὲν κτίσμα ὁμολογοῦντες, εἰρωνείᾳ δὲ
pag. 809. *κτίσμα αὐτὸν φάσκοντες, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων, ἀλλά, φα-*

* καὶ *om. cod. Rhedig.*
I. — 1. Αὐδινιανῶν *cod. Rhedig.*
2. ἴσην δὲ *Io. Damascenus.*
3. καὶ *cod. Rhedig.*
4. συνέχονται *cod. Rhedig.*
5. ἀποκαλοῦντες καὶ ἄλλους ἄλλους. ποιοῦσι δὲ *cett.* καὶ ἄλλους εἰς ἄλλα. τὸ πάσχα ποιοῦσιν ἰδιάζοντες μετὰ Ἰουδαίων *Io. Damasc.* ἄλλους, *e clero scilicet pariter divites recte interpretatus est Salmasius (Franc. Francus) Confutat. Animadversionum Ant. Cercoetii p. 55 sq.*
6. οἱ *om. cod. Rhedig. et Anaceph.*
II. — 1. καὶ ἀπὸ *editi libri.*

INDICULUS HAERESEON, QUAE IN HOC PRIMO TOMO LIBRI III. CONTINENTUR: QUI EST EX INSTITUTO TOMORUM ORDINE VI. IN QUO HAERESES SEPTEM, ANNUMERATIS ET SCHISMATIBUS.

I. Audianorum proprie schisma ac defectio, non haeresis est. Horum bene instituta vivendi ratio est. Sed neque, quod ad fidem attinet, ab ecclesia catholica dissentiunt. Habitant majori ex parte in monasteriis. Apocryphis libris et multis et ad fastidium abutuntur. Communes nobiscum orationes non habent. Nam episcopos nostros, necnon et divites, aliosque condemnant. Quinetiam pascha privatim eodem quo Iudaei tempore celebrant. Est et quiddam peculiare ipsis, quod defendunt summa contentione. Quippe quod, *Ad imaginem*, scriptum est durius interpretantur.

II. Photiniani. Photinus iste Sirmio oriundus ad hodiernum usque tempus oberrabat. Qui quidem eadem cum Paulo Samosateno sentit. Nonnulla sunt tamen, in quibus ab eodem dissidet. Idem e Maria Christum initium penitus accepisse putat.

III. Marcelliani. Horum Marcellus auctor extitit, Ancyrae in Galatia episcopus, qui cum initio pro Sabelliano communi fama traductus esset, seipsum etiam scripto saepenumero purgasset, a plerisque tamen creditum est ad easdem ipsum opiniones adhaerescere. Fieri potest ut vel ipse mutata sententia meliorem ad mentem sese revocaverit, vel ejus discipuli. Nam pro utrisque orthodoxi quidam sese defensores interposuerunt.

IV. Semiariani. Christum illi creaturum esse dicunt, sed cavillando tamen negant ceterarum creaturarum esse similem, sed

III. — 1. ἀπὸ *om. cod. Rhedig.*
2. ἀπολογησάμενος *Io. Damascenus; quod verum videtur.*
3 διορθώσατο *editi.* κατωρθώσατο *Io. Damascenus.*
4. ὑπὲρ γὰρ τῶν αὐτοῦ λόγων ὀρθόδοξοί τινες μέσοι ὑπεραπελογήσαντο *Io. Damascenus.*
5. καὶ *Anaceph.*
6. ὑπεραπολογοῦνται *Anaceph.*

σιν, υἱὸν λέγομεν, διὰ δὲ τὸ μὴ πάθος προςάψαι τῷ πατρὶ διὰ τοῦ γεγεννηκέναι κτιστὸν αὐτὸν λέγομεν. Ὡςαύτως καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου κτίσμα παντελῶς ὁρίζονται· παρεκβάλλοντες υἱοῦ τὸ ὁμοούσιον, ὁμοιοούσιον δὲ θέλουσι λέγειν. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ τὸ ὁμοιοούσιον παρεξέβαλον.

ε'. Πνευματομάχοι. Οὗτοι περὶ μὲν Χριστοῦ καλῶς [1] ἔχουσι, τὸ [2] δὲ πνεῦμα τὸ ἅγιον βλασφημοῦσι, κτιστὸν αὐτὸ ὁριζόμενοι, καὶ οὐκ ὂν ἐκ τῆς θεότητος, μᾶλλον δὲ καταχρηστικῶς διὰ ἐνέργειαν κεκτίσθαι, ἁγιαστικὴν αὐτὸ δύναμιν φάσκοντες εἶναι μόνον.

ς'. Ἀεριανοί. Οὗτος Ἀέριος ἀπὸ Πόντου [1] ὡρμᾶτο, ἔτι δὲ δεῦρο περίεστι πειρασμὸς τῷ βίῳ. Πρεσβύτερος οὗτος ἦν τοῦ ἐπισκόπου [2] Εὐσταθίου τοῦ ἐν Ἀρειανοῖς διαβληθέντος καὶ ἐπειδὴ αὐτὸς Ἀέριος οὐ κατεστάθη ἐπίσκοπος, πολλὰ κατὰ τῆς ἐκκλησίας ἐδογμάτισε, τῇ μὲν πίστει ὢν Ἀρειανὸς τελειότατος, περιττότερον δὲ δογματίζει μὴ δεῖν, φησὶ, προςφέρειν ὑπὲρ τῶν [3] προκεκοιμημένων· νηστεύειν δὲ τετράδα, καὶ προσάββατον, καὶ τεσσαρακοστὴν, καὶ Πάσχα κωλύει· ἀποταξίαν κηρύσσει, σαρκοφαγίαις δὲ παντοίαις κέχρηται, καὶ [4] τρυφαῖς ἀδεῶς. Εἰ δέ τις τῶν αὐτοῦ βούλοιτο νηστεύειν, Μὴ ἐν ἡμέραις τεταγμέναις, φησὶ, ἀλλ' ὅτε [5] βούλεται· οὐ γάρ εἶ ὑπὸ νόμον. Φάσκει δὲ μηδὲ εἶναι διαφορώτερον ἐπίσκοπον πρεσβυτέρου.

ζ'. Ἀετιανοί. Οἱ ἀπὸ Ἀετίου τοῦ Κίλικος, διακόνου γενομένου ὑπὸ Γεωργίου τοῦ τῶν Ἀρειανῶν ἐπισκόπου τῆς Ἀλεξανδρείας, οἳ καὶ Ἀνόμοιοι καλούμενοι, παρά τισι δὲ Εὐνομιανοὶ, δι' Εὐνόμιόν τινα μαθητὴν τοῦ Ἀετίου γενόμενον ἔτι περιόντα. Σὺν αὐτοῖς δὲ ἦν καὶ Εὐδόξιος, ἀλλὰ δῆθεν διὰ τὸν πρὸς τὸν βασιλέα τὸν [1] Κωνστάντιον φόβον ἀφώρισεν ἑαυτὸν, καὶ μᾶλλον τὸν Ἀέτιον ἐξώρισεν. Ἔμεινε δὲ Εὐδόξιος Ἀρειανίζων, οὐ μέν τοί γε κατὰ τὸν Ἀέτιον. [2] Οὗτοι οἱ Ἀνόμοιοι καὶ Ἀετιανοὶ παντάπασι Χριστὸν καὶ τὸ ἅγιον πνεῦμα ἀπαλλοτριοῦσι θεοῦ, κτιστὸν αὐτὸν διαβεβαιούμενοι, καὶ οὐδὲ ὁμοιότητά τινα ἔχειν λέγουσιν. Ἐκ συλλογισμῶν γὰρ καὶ Ἀριστοτελικῶν καὶ Γεωμετρικῶν τὸν θεὸν παριστᾶν βούλονται, καὶ Χριστὸν δῆθεν
pag. 810. μὴ δύνασθαι εἶναι ἐκ θεοῦ διὰ τοιούτων. Οἱ δὲ ἀπ' αὐτοῦ [3] Εὐνομιανοὶ καλούμενοι, ἀναβαπτίζουσι πάντας τοὺς πρὸς αὐτοὺς ἐρχομένους, οὐ μόνον [4] ἀλλὰ καὶ τοὺς ἀπὸ Ἀρειανῶν κατὰ κεφαλῆς, ἄνω

V. — 1. ἔχουσι παρά τι *Io. Damasc.*
2. δὲ *om. in ed. Petav. Colon. repet.*
VI. — 1. ὡρμᾶτο *Anacephal. et Io. Damasc., et codd. mss. meorum uterque, in quibus reperitur* ὁρμᾶτο. *In editis est* ὁρμᾶται.
2. Εὐσταθίου τοῦ *codd. mss. et Io. Damasc.* τοῦ Εὐσταθίου *editi.*
3. κεκοιμημένων *cod. Rhedig., Anacephal., et Io. Damascenus.*
4. τροφαῖς *Io. Damasc.*
5. βούλει *Io. Damasc.*
VII. — 1. Κωνσταντῖνον *habet Anaceph. et Io. Damasc.*
2. *Libri habent* οὗτοι Ἀνόμοιοι, οἱ καὶ Ἀετιανοὶ, οἳ παντάπασι. *In Anacephal.* Οὗτοι οἱ Ἀνόμοιοι καὶ Ἀετιανοὶ παντά-

filium, inquiunt, illum dicimus, verum ne ex generatione ipsa ulla in patrem affectio derivetur, eundem creatum confitemur. Iidem et spiritum sanctum omnino creaturam esse definiunt, cumque ὁμοούσιον, id est *consubstantialem*, repudient, ὁμοιούσιον, hoc est substantia similem, admittunt. Quod ipsum tamen quidam ex illis respuunt.

V. Pneumatomachi. De Christo isti non male sentiunt sed in spiritum sanctum contumelias jaciunt, cum et creatum asseverent, et a divinitate reiiciant; imo vero abusione quadam vocis propter actionem ipsam creatum esse dicant, nec aliud esse quicquam praeter vim sanctificandi.

VI. Aëriani. Aërius e Ponto oriundus hodieque magna humani generis calamitate superest. Fuerat olim Eustathii episcopi, qui Ariani erroris insimulatus est, presbyter; qui quod episcopus creatus non esset, multa adversus catholicam ecclesiam dogmata commentus est, ac, quod ad fidem attinet, germanus Arii sectator est. Sed amplius quiddam profitetur. Oblationes pro mortuis non esse faciendas; ieiunia quartae feriae, et Parasceues, ac Quadragesimae, nec non et Paschatis interdicit, rerum omnium renuntiationem praedicat. Carnium ac deliciarum ad vitam omne genus adhibet. Quod si quis sectatorum suorum ieiunare velit, definitis hoc diebus facere prohibet, sed quanto libuerit. Neque enim, inquit, legi subiectus es. Episcopum docet nihilo praestantiorem esse presbytero.

VII. Aëtiani. Huius haeresis Aëtius quidam inventor extitit, genere Cilix, qui a Georgio Arianorum episcopo diaconus ordinatus est. Anomoeos illos appellant, alii Eunomianos, ab Eunomio quodam Aëtii discipulo, qui hoc tempore superest. Earumdem partium erat et Eudoxius; sed Constantii imperatoris metu ab illis se segregans Aëtium solum relegari passus est; quamquam in Ariano dogmate perseveravit, sed Aëtium minime secutus est. Porro Anomoei, sive Aëtiani, Christum et spiritum sanctum a deo funditus alienum esse praedicant, quos creatos esse, neque quicquam habere similitudinis asserunt. Quippe syllogismis quibusdam Aristotelicis ac geometricis dei naturam explicare student, iisdemque probare Christum a deo oriri non posse. Eunomiani vero ab ipso profecti omnes, qui ad se veniunt, iterato baptizant, non catholicos solum, sed vel Arianos ipsos, idque eo modo ut pedibus in coelum

πασι *est, quod recepi et h. l. Io. Damascenus praebet* Οὗτοι οἱ Ἀνόμοιοι καὶ οἱ Ἀετιανοὶ παντάπασι.

3. Εὐγενιανοὶ *codd. Rhedig., et Paris.* (*teste Petavio*).

4. „*Deest* ὀρθοδόξους." *Petavius.*

τοὺς πόδας στρέφοντες τῶν βαπτιζομένων, ὡς πολὺς ᾄδεται λόγος. Τὸ δὲ σφαλῆναι ἔν τινι πορνείᾳ, ἢ ἑτέρᾳ ἁμαρτίᾳ οὐδὲν εἶναί φασιν· οὐδὲν γὰρ ζητεῖ θεὸς, ἀλλὰ τὸ εἶναι ἐν ταύτῃ μόνῃ τῇ αὐτῶν νομιζομένῃ πίστει.

Αὗταί τέ εἰσιν ὁμοίως καὶ [5] αἱ τοῦ τρίτου βιβλίου, ἕκτου δὲ ὄντος τόμου κατὰ τὴν ἀκολουθίαν, αἱρέσεις ἑπτά.

5. αἱ om. ed. Petav.

conversis in caput illos intingant; quod de illis percrebuit. Stuprum, aut aliud quodlibet peccatum nihil esse dictitant; neque enim deum aliud quaerere quam ut in ea sola quam ipsi praedicant fide perseveretur.

Hae sunt haereses illae septem quas sextus iste libri tertii tomus complectitur.

---

pag. 811. ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΠΙΦΑΝΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

ΠΕΡΙ ΤΟΥ *ΣΧΙΣΜΑΤΟΣ ΤΩΝ ΑΥΔΙΑΝΩΝ, πεντηκοστὴ, ἡ καὶ ἑπτακοστή.

Κεφ. α'. *Αὐδιανοὶ, εἴτουν Ὠδιανοὶ, τάγμα εἰσίν. Οὗτοι δὲ ἐν μοναστηρίοις τὴν κατοίκησιν κέκτηνται ἀναχωροῦντες, τάγμα ὄντες ἐν ἐρημίαις τε καὶ πλησιαίτερον πόλεων, ἐν προαστείοις τε καὶ ὅποι τὰς ἑαυτῶν μονὰς, ἤτοι μάνδρας, ἔχουσιν. Οὗτος ὁ Αὔδιος τούτων ἀρχηγὸς γεγένηται ἐν χρόνοις Ἀρείου, ὁπηνίκα συνεκροτήθη κατὰ Ἀρείου ἡ σύνοδος τῶν αὐτὸν καθελόντων. Ἦν δὲ ὁ ἀνὴρ ἀπὸ τῆς Μέσης τῶν ποταμῶν ὁρμώμενος, διαφανής τις κατὰ τὴν ἑαυτοῦ πατρίδα, διὰ τὸ ἀκραιφνὲς τοῦ βίου καὶ κατὰ θεὸν ζῆλον καὶ πίστεως· ὃς πολλάκις θεώμενος τὰ ἐν ταῖς ἐκκλησίαις γενόμενα, εἰς πρόσωπον ἐπισκόπων τε καὶ πρεσβυτέρων [1] ἐλεγκτικῶς ἀντετίθει τοῖς τοιούτοις λέγων, Οὐ χρὴ ταῦτα οὕτως γενέσθαι, οὐκ ὀφείλει ταῦτα οὕτως πράττεσθαι· ὡς*
pag. 812. *ἀνὴρ ἀληθεύων, καὶ ὁποῖα φιλεῖ ὑπὸ τῶν φιλαλήθως ἐλευθεροστομούντων ἀνδρῶν, [2] τῶν μάλιστα τὸν βίον ἀκρότατα βιούντων. Διὸ τοιαῦτα ὁρῶν, ὡς προεῖπον, ἐν ταῖς ἐκκλησίαις λαλεῖν ἠναγκάζετο πρὸς ἔλεγχον, καὶ οὐκ ἐσιώπα. Εἴ τινα γὰρ εἶδε τῶν φιλοχρηματούντων τοῦ κλήρου, ἢ ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ ἕτερόν τινα τοῦ κανόνος, πάντως ἐφθέγγετο. Καὶ εἰ ἑώρα τινὰ ἐν τρυφῇ καὶ σπατάλῃ, ἤ τινα παραχαράττοντα τὰ ἐν τῷ ἐκκλησιαστικῷ κηρύγματι καὶ θεσμῷ τῆς ἐκκλησίας, μὴ φέρων ὁ ἀνὴρ προεβάλλετο, ὡς ἔφην, τὸν λόγον. Καὶ ἦν τοῦτο τοῖς μὴ τὸν βίον δεδοκιμασμένον ἔχουσιν ἐπαχθές. Ὑβρίζετο [3] δὲ ἕνεκεν τούτου, καὶ ἀντελέγετο, ἐμισεῖτο, ἔφερε κλυδωνιζόμενός τε καὶ ὠθούμενος καὶ ἀτιμαζόμενος, ἕως χρόνου ἱκανοῦ ἐν*

* σχήματος *codd. mss. et ed. princ.* Contra sectam Audianorum *vertit Cornarius.*

Cap. I. — 1. ἐλεκτικὸς *codd. mss. et edit. princ.*

SANCTI

EPIPHANII

CONTRA HAERESES

LIBRI III. TOMUS I.

DE SCHISMATE AUDIANORUM, quae est haeresis L., sive LXX.

Audiani, sive Odiani, in coetum quendam conventumque collecti in monasteriis habitant, et ab hominum consuetudine separati partim in solitudinibus, partim prope oppida, aut in suburbanis degunt, aut ubicumque mansiones suas sive coenobia collocarint. Huius sectae conditor fuit Audius sub Arii tempora, quando adversus hunc collecta episcoporum synodus est, a quibus est ille damnatus. Sed Audius e Mesopotamia oriundus domi clarus in primis fuit, propter et vitae integritatem et divinae fidei zelum et ardorem. Qui cum saepe nonnulla videret quae in ecclesiis perperam geruntur, episcopos ac presbyteros coram increpare ac redarguere non verebatur, et identidem monere, Non debent haec isto modo fieri, non ita haec administrare convenit. Haec tanquam veritatis amans ac cetera id genus usurpare solebat, quae exquisitae probitatis hominibus familiaria sunt, qui ob egregium pietatis studium summam in loquendo libertatem adhibent. Quare cum nonnulla, sicut dixi, male in ecclesiis geri cerneret, nonnunquam quae sentiret loqui ac redarguere cogebatur, nec omnino tacere poterat. Velut si quem e clericis pecuniarum plus aequo cupidum videret, episcopum, aut presbyterum, aut alium quempiam qui ecclesiasticis ordinibus censentur, exprobrare non dubitabat; aut si quispiam luxu ac deliciis diffflueret, sive ullam ecclesiastici dogmatis ac disciplinae partem adulterando corrumperet, patienti nequaquam ferens animo verbis, uti dixi, castigabat. Quod quidem dissolutioris vitae hominibus molestum erat. Unde maximas propterea contumelias sustinuit, infestis omnium vocibus et odiis exagitatus. At ille iactatus hoc modo et pulsatus, Cap. I.

2. τὸν *codd. mss.* 3. δὲ καὶ ἕνεκεν τούτου *cod. Rhedig.*

ταῖς ἐκκλησίαις συναγόμενος, ἕως ὅτε δεινῶς ἐνέγκαντές τινες ἐξεοῦσι τὸν ἄνδρα διὰ τὴν τοιαύτην αἰτίαν. Ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ' ἐβιάζετο μᾶλλον ἀλήθειαν μὲν λέγειν, μὴ ἀναχωρεῖν δὲ τοῦ συνδέσμου τῆς μιᾶς ἑνώσεως τῆς ἁγίας καθολικῆς ἐκκλησίας. Ὡς δὲ ἐτύπτετο αὐτός τε καὶ οἱ ἅμα αὐτῷ πολλάκις, τὰ δεινά [4] τε ἔπασχε, βαρυστονήσας σύμβουλον λαμβάνει ἑαυτοῦ τὴν [5] ἀνάγκην τῶν ὕβρεων. Ἑαυτὸν γὰρ ἀφορίζει τῆς ἐκκλησίας, πολλοί τε ἅμα αὐτῷ ἀφηνιάζουσι· καὶ οὕτως τὴν διαίρεσιν εἰργάσατο, οὔ τι ἔχων παρηλλαγμένον τῆς πίστεως, ἀλλ' ὀρθότατα μὲν πιστεύων αὐτός τε καὶ οἱ ἅμα αὐτῷ, εἰ καὶ χρὴ τὰ μάλιστα λέγειν ἐν μικρῷ τινι αὐτὸν φιλονείκως φέρεσθαί τε καὶ τοὺς ἅμα αὐτῷ.

Κεφ. β'. Μετὰ γὰρ τοῦ ὁμολογεῖν περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θαυμαστῶς, ὡς ἔχει ἡ καθολικὴ ἐκκλησία, ὀρθοδοξότατά τε φυλάττειν, τά τε ἄλλα [1] πάντα τοῦ βίου θαυμαστά. Ταῖς γὰρ ἰδίαις χερσὶν ἐργαζόμενος, αὐτός τε καὶ οἱ ὑπ' αὐτὸν ἐπίσκοποί τε, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ λοιποὶ πάντες διατρέφονται. Ὕστερον δὲ μετὰ τὸ ἐξεωσθῆναι τῆς ἐκκλησίας ἀπὸ ἄλλου ἐπισκόπου τὰ αὐτὰ συζητοῦντος, καὶ ἀναχωρήσαντος τῆς ἐκκλησίας, χειροτονεῖται οὗτος ἐπίσκοπος. [2] Περὶ οὗ ἐπελαβόμην λέγειν, ἐπειδήπερ ἐν παρεκβάσει γεγένημαι, αὖθις ἐπαναλαβὼν διέξειμι τὴν ὑφήγησιν. Φημὶ δὲ περὶ τῆς ὡς ἐπὶ τὸ σκληρότατον καὶ ἰδιωτικὸν καὶ φιλόνεικον τῆς παρ' αὐτῷ ᾀδομένης
pag. 813. λέξεως ἀπὸ τῆς θείας γραφῆς. Τὸ γὰρ Κατ' εἰκόνα οὗτος καὶ οἱ μετ' αὐτοῦ, ὅπερ ὁ θεὸς δεδώρηται τῷ Ἀδάμ, ἀποκρότως βούλεται ὁρίζειν εἶναι τοῦτο πληρούμενον κατὰ τὸ σῶμα· ἀπὸ τοῦ δῆθεν λεγομένου ῥητοῦ τοῦ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· καὶ εἶτα ἐπιφέρει λέγων ὁ θεῖος λόγος ὅτι, Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. Ἐπειδή, φησί, εἶπεν ἄνθρωπον ἀπὸ τῆς γῆς, ὅρα ὅτι ἀληθέστατα ὅλον τὸ χοϊκὸν εἶπεν ἄνθρωπον, ἄρα τε αὐτὸ τὸ χοϊκὸν προέλεγεν ἔσεσθαι κατ' εἰκόνα θεοῦ. Καὶ ἔστι τοῦτο ἀπόκροτον, ὡς ἔφην, καὶ ἰδιωτικὸν τὸ ὁρίζεσθαι ἄνθρωπον ἐν ποίῳ μέρει τέτακται τοῦ ἀνθρώπου τὸ κατ' εἰκόνα· εἰ χρὴ ὅλως μέρος λέγειν, διὰ τὰ πολλὰ τὰ ἀντιπίπτοντα τῇ τῶν ἀνθρώπων ἐννοίᾳ κατὰ τὸ ῥῆμα τοῦτο καὶ ἔχοντα ζητημάτων πληθύν. Ἢ γὰρ ποιήσωμεν τὸν θεὸν ὁρατόν τε καὶ σωματικόν, εἴπερ ἐν [3] τῷ σώματι τὸ κατ' εἰκόνα πληροῦται σωματικῶς [4] καὶ ἐσχηματισμένως, ἢ ἄνθρωπον τῷ θεῷ ἐξισούμενον τοῦτο φάσκοντες. Διὸ οὐ χρὴ πάντως ὁρίζειν ἢ διϊσχυρίζεσθαι ἐν ποίῳ μέρει τὸ κατ' εἰκόνα πληροῦται, ἀλλ'

4. τε om. in cod. Rhedig.
5. Citavit hunc locum Cl. Salmasius Exercitt in Solin. p. 764.
Cap. II. — 1. τοῦ βίου πάντα cod. Rhedig. Ut anacoluthon discutiatur oratio suadet hanc verborum distinctionem φυλάττειν, τά τε ἄλλα, πάντα τ. β. θαυμαστά.

atque ignominia affectus, aequo animo tolerabat, atque ita diu in ecclesiae communione perstitit, donec vehementius offensi quidam ob eas caussas hominem exturbant. Qui nihilominus ista sustinens, sed ad veritatem perferendam acrius intentus, studebat interim ab ecclesiae catholicae coniunctione ac societate minime divelli. Verum cum ipse cum suis vapularet, et indigna pateretur, his malis ingemiscens, ex harum calamitatum ac contumeliarum violentia consilium cepit. Quare seipsum ab ecclesia segregavit, atque ita pluribus cum illo desciscentibus novum ab eo divortium conflatum. Neque vero ulla in re ab recta fide discedit, sed ipse cum suis sinceram in omnibus religionem tenuit. Quamquam est quiddam perexiguum, in quo paulo pervicacius conflictantur.

Ergo et de patre, filio ac spiritu sancto praeclare et ex ecclesiae catholicae praescripto sentiunt, nec transversum ab eo unguem deflectunt, et est reliquum vitae illis institutum sane quam egregium et admirandum, adeo ut non ipse modo sed et qui illi adhaeserunt episcopi, presbyteri, ac reliqui omnes de manuum suarum labore victitent. Posteaquam vero ab ecclesia pulsus est, ab episcopo quodam, qui ob easdem contentiones ab ecclesia recesserat, episcopus ordinatus est. Verum ut ab hoc diverticulo ad illud tractandum me referam quod eram aggressus, sciendum est quandam illos scripturae vocem duriore quodam et imperitiore modo et vero pertinacius interpretari. Nam quod *ad imaginem dei creatus* Adamus dicitur, praefracte illi referendum ad corpus existimant. Cum enim scriptum sit, *Faciamus hominem ad imaginem nostram et similitudinem*, statim illud subiicitur, deum sumpto de terra pulvere hominem fabricasse. Cum igitur hominem de terra formatum asserat, vides totum illud e terra conflatum verissime hominem vocari. Ex quo sequitur de terreno illo praedictum fore ut ad imaginem dei conderetur. Verum est illud, uti dixi, paulo durius ac simplicius, definire hominem audere quanam in hominis parte sit imaginis illa constituta ratio, si tamen appellatione partis utendum est, eo quod plerique, quod ad hanc vocem attinet, hominum intelligentiae refragari videntur, ac variis quaestionibus implicari. Nam aut aspectabilem deum faciemus ac corporeum, si in corpore nostro corporea perinde ratione ac figura istiusmodi imaginem collocandam putemus, aut cum deo hominem adaequabimus, si haec asserere velimus. Quare non est ullo modo definiendum aut affirmandum quanam in parte imago

Cap. II.

Gen. 1, 27.

Gen. 2, 7.

2. περὶ δὲ οὗ *suspicatus est Petav. Cornarius vertit* Ceterum de quo dicere incepi, quandoquidem *cett.*

3. τῷ *om. ed. Petav. Colon. repetita.*

4. τε καὶ *cod. Rhedig.*

ὁμολογεῖν μὲν τὸ κατ' εἰκόνα εἶναι ἐν τῷ ἀνθρώπῳ, ἵνα μὴ τὴν χάριν τοῦ θεοῦ ἀθετήσωμεν καὶ ἀπιστήσωμεν θεῷ. Ὅσα μὲν γὰρ λέγει ὁ θεὸς, ταῦτα ἀληθῆ τυγχάνει, εἰ καὶ ἐξέφυγε τὴν ἡμῶν ἔννοιαν ἐν ὀλίγοις λόγοις. Ἀρνήσασθαι οὖν τοῦτο τὸ Κατ' εἰκόνα οὐ πιστὸν, οὔτε τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. [5]Ἔστι γὰρ πᾶς ἄνθρωπος σαφῶς κατ' εἰκόνα, καὶ οὐδεὶς τῶν ἐχόντων εἰς θεὸν τὴν ἐλπίδα ἀρνήσεται, εἰ μὴ ἄν τινες ἑαυτοῖς μύθους πλάσσουσιν, ἐκβαλλόμενοι τῆς ἐκκλησίας καὶ τῆς τῶν πατέρων ἐκ προφητῶν τε καὶ νόμου, καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν παραδόσεως.

Κεφ. γ'. Ὥςτε οὖν ἐκεῖνοι φιλονεικότερον ἐν τούτῳ διακείμενοι ἐκτὸς καὶ αὐτοὶ βαίνουσι τῆς κατὰ τὴν ἐκκλησιαστικὴν ὑπόθεσιν παραδόσεως, τῆς πιστευούσης κατ' εἰκόνα μὲν εἶναι πάντα ἄνθρωπον, μὴ ὁρίζειν δὲ ἐν ποίῳ τέτακται τὸ κατ' εἰκόνα, μήτε ἐχόντων τῶν μυθωδῶς περὶ τούτων διαλαμβανόντων, εἴτ' οὖν ἀρνουμένων, δεῖξαι. Οἱ μὲν γὰρ λέγουσιν ἐν τῇ ψυχῇ πληροῦσθαι τὸ κατ' εἰκόνα, νομίζοντες τὸ κατὰ pag. 814. τὴν σάρκα μόνον συλλογίσασθαι δύνασθαι. Καὶ οὐκ ἴσασιν οἱ τοιοῦτοι ὅτι τὸ κατὰ ψυχὴν συλλογίζεται, εἰ χρὴ συλλογισμοῖς προςέχειν, καὶ μὴ ἁπλῶς ἁπλῇ τῇ διανοίᾳ θεῷ προςιέναι, καὶ πιστεύειν ὅτι τὰ ὑπὸ θεοῦ εἰρημένα ἐστὶν ἀλήθεια, αὐτῷ δὲ μόνῳ ἐγνωσμένα τῷ τὴν πᾶσαν ἀλήθειαν εἰδότι. Ἄλλοι δὲ λέγουσιν οὔτε ἐν ψυχῇ, οὔτε ἐν σώματι, ἀλλὰ ἀρετὴν εἶναι τὸ κατ' εἰκόνα. Ἕτεροι δὲ φάσκουσι μὴ εἶναι τὴν ἀρετὴν, ἀλλὰ τὸ βάπτισμα, καὶ τὸ χάρισμα τὸ ἐν τῷ βαπτίσματι, δῆθεν ἐκ τοῦ ῥητοῦ τοῦ εἰρημένου, Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Ἄλλοι δὲ πάλιν τοῦτο οὐ βούλονται, ἀλλὰ θέλουσι λέγειν τότε μὲν εἶναι τὸ κατ' εἰκόνα ἐν τῷ Ἀδὰμ, ἕως ὅτε ἐν παρακοῇ γέγονε, καὶ βέβρωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἐξεώσθη· ἀφ' οὗ δὲ ἐξεώσθη, ἀπώλεσε τὸ κατ' εἰκόνα. Καὶ πολλή τίς ἐστι τῶν ἀνθρώπων μυθοποιΐα, οἷς [1] οὐ χρὴ οὐδὲ πρὸς ὥραν εἶξαι, οὔτε τούτοις, οὔτε ἐκείνοις τοῖς οὕτω ἢ οὕτω λέγουσιν· ἀλλ' εἶναι μὲν πιστεύειν ἐν τῷ ἀνθρώπῳ [2] τὸ κατ' εἰκόνα, ἐν παντὶ δὲ μάλιστα, καὶ οὐχ ἁπλῶς. Ποῦ δέ ἐστιν, ἢ ποῦ πεπλήρωται τὸ κατ' εἰκόνα, αὐτῷ μόνῳ ἔγνωσται τῷ θεῷ, [3] τῷ κατὰ χάριν τῷ ἀνθρώπῳ δωρησαμένῳ τὸ κατ' εἰκόνα. Οὔτε γὰρ ἀπώλεσεν ὁ ἄνθρωπος τὸ κατ' εἰκόνα, ἀλλ' εἰ ἄρα ἐχυδαίωσε τὸ κατ' εἰκόνα, μολύνας ἑαυτὸν ἐν [4] ἀδιαφόροις πράγμασι καὶ ἀνηκέστοις ἁμαρτίαις. Ἰδοὺ

5. ἔτι *vitiose expressum est in ed. Petav.*
Cap. III. — 1. οὐ *om. cod. Rhedig.*
2. τῷ *cod. Rhedig.*
3. τῷ *abest ab utroque edito.*

4. *Cornarius vertit* diversis, *ut* διαφόροις *suspicatus esse appareat.* ἀδιάφορα πράγματα *dici puto* quae nulla praeceptorum dei religione ac temere fiant.

illa consistat. Sed inesse quidem in homine omnino fatendum est, ne divinum beneficium tollamus e medio, ac dei auctoritati diffidamus. Quaecumque enim ille dicit, plane vera sunt, tametsi nonnullae sententiae sint quae aciem nostrae mentis effugiant. Quocirca negare omnino ad imaginem dei expressum hominem, a fide catholica et ecclesia dei alienum est. Siquidem homines omnes ad illius imaginem conditi sunt nec ullus qui quidem in deum speret inficiari istud potest; nisi si qui forte sint qui sibi fabulas confingant, et tam ab ecclesia quam ab ea doctrina sint exclusi, quae a maioribus nostris ex prophetarum, legis, apostolorum et evangelistarum est auctoritate tradita.

Unde cum in hac parte maiore quam par sit contentionis studio ducantur, ab ecclesiastica traditione ac doctrina recedunt. Quae cum omnes homines dei ad imaginem creatos esse fateatur, nullam tamen partem definit in qua istiusmodi imaginis ratio collocanda videatur. Sed nec isti qui ea de re fabulose aliquid asserunt aut negant, demonstrare quidpiam possunt. Etenim nonnulli, quod de imagine dicitur, anima ipsa circumscribunt, id unum rati quod carne concretum est ratiocinari posse. Nec illud intelligunt animam ipsam esse quae ratiocinetur, si quidem attendendae ratiocinationes istae sunt, et non potius sincera ac simplici mente ad deum oportet accedere, et quae ab eo dicta sunt pro certissimis credere, tametsi ab eo solo cognita sint cui omnis est explorata veritas. Aliis placet nec in anima nec in corpore esse sitam imaginem, sed sola virtute contineri. Alii non virtutem, sed baptismum et quae in eo confertur gratiam esse statuunt. Quam illis sententiam dictum illud apostoli persuasit: *Quemadmodum portavimus imaginem terreni, portemus imaginem et coelestis.* Sunt qui hac opinione reiecta ita sentiant: Olim quidem in Adamo divinam illam imaginem extitisse, donec in peccatum lapsus arboris fructu vesceretur atque a paradisi finibus exterminaretur; posteaquam vero pulsus est, tum omnem illam imaginem periisse. Magna est omnino in confingendis fabulis hominum eiusmodi licentia. Quibus ne *ad horam quidem cedere oportet;* et quidem non istis modo, sed nec illis qui hoc aut illo pacto sentiant. Ita porro credendum est imaginem in homine reperiri, ut in toto maxime nec simpliciter resideat. Ceterum ubinam illa maxime sit, et qua parte compleatur, quod dictum est, *ad imaginem,* deus novit, qui singulari hoc imaginis suae beneficio hominum genus afficere voluit. Neque vero hanc ille perdidisse putandus est; tametsi sine ullo rerum discrimine gravissimis se sceleribus inquinans divinae illud imaginis decus vile abiectumqne reddiderit. Quippe

[Margin: Cap. III. — 1. Cor. 15, 49. — Gal. 2, 5.]

γὰρ, μετὰ τὸν Ἀδὰμ τῷ Νῶε λέγει, Ἰδοὺ δέδωκά σοι πάντα ὡς λάχανα ἀγροῦ, θῦσον καὶ φάγε, μὴ φάγε σάρκα ἐν αἵματι ψυχῆς, ὅτι ἐγὼ ἐκζητήσω τὰς ψυχὰς ὑμῶν· πᾶς ὁ ἐκχέων αἷμα ἀνθρώπου ἐπὶ τῆς γῆς, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται τὸ αἷμα αὐτοῦ, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον, καὶ ἐγὼ ἐκζητήσω τὸ αἷμα ὑμῶν ἐκ παντὸς τοῦ ἐκχέοντος αὐτὸ ἐπὶ [5] πρόςωπον τῆς γῆς. Καὶ ὁρᾷς ὅτι ἐν τῷ ἀνθρώπῳ λέγεται τὸ κατ' εἰκόνα μετὰ δεκάτην γενεὰν τοῦ τὸν Ἀδὰμ πλασθῆναι; ἅμα δὲ καὶ Δαβὶδ μετὰ πολὺν χρόνον λέγει πνεύματι ἁγίῳ, Τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος [6] ζῶν. Ἀλλὰ καὶ καθεξῆς [7] μετὰ τοῦτον ὁ ἀπόστολός φησι, Ἀνὴρ οὐκ ὀφείλει κομᾶν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων. Ἀλλὰ καὶ μετὰ τοῦτον Ἰάκωβος φάσκει, λέγων περὶ τῆς γλώσσης ὅτι ἀκατάσχετον κακὸν, μεστὴ ἰοῦ θα-
pag. 815. νατηφόρου. Ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεὸν, καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς κατ' εἰκόνα θεοῦ γεγονότας. Οὐ χρὴ ταῦτα οὕτως γίνεσθαι, ἀδελφοί μου. Καὶ ὅρα ὅτι ἐξέπεσεν ὁ λόγος τῶν λεγόντων τὸν Ἀδὰμ τὸ κατ' εἰκόνα ἀπολωλεκέναι.

Κεφ. δ'. Τῶν δὲ πάλιν λεγόντων τὴν ψυχὴν εἶναι τὸ κατ' εἰκόνα ὁ λόγος ἐστὶ τοιόςδε καὶ ἡ ἀπολογία, ὅτι, φησὶ, ἔστιν ἀόρατος, ὡς ὁ θεός ἐστιν ἀόρατος, ἐνεργητική ἐστι, κινητική ἐστι, διανοητική ἐστι, λογιστική ἐστι, καὶ τούτου ἕνεκα αὐτή ἐστι τὸ κατ' εἰκόνα, ἐπειδὴ θεὸν ἐπὶ γῆς μιμεῖται, κινοῦσά τε καὶ πράττουσα, καὶ τἄλλα ποιοῦσα ὅσαπερ κατὰ τὸ λογιστικὸν πράττει ὁ ἄνθρωπος. Εὑρίσκονται δὲ καὶ οὗτοι συλλογιζόμενοι. Καὶ γὰρ εἰ διὰ ταῦτα καλεῖται κατ' εἰκόνα ψυχὴ, οὐκέτι δύναται εἶναι κατ' εἰκόνα. Ὁ γὰρ θεὸς ἐπέκεινα [1] μυριονταπλάσιον παρὰ τὴν ψυχὴν, καὶ ἔτι περιττότερόν ἐστιν ἀκατάληπτος, καὶ ἀπερινόητος, πάντα εἰδὼς, τὰ προόντα καὶ τὰ παρόντα, καὶ ὁρώμενα [2] καὶ μὴ ὁρώμενα, πέρατα γῆς, καὶ πυθμένας ἀβύσσου, ἄκρα οὐρανῶν, καὶ πάντα τὰ ὄντα, αὐτὸς περιέχων τὰ πάντα, ὑπ' οὐδενὸς δὲ περιεχόμενος· ἡ δὲ ψυχὴ περιέχεται μὲν ἐν σώματι, ἀγνοεῖ δὲ ἀβύσσου τοὺς πυθμένας, [3] οὐκ ἐπίσταται τὸ εὖρος τῆς γῆς, τέρματα τῆς οἰκουμένης ἀγνοεῖ, ἄκρα οὐρανῶν οὐ κατείληφε, πόσα μέλλει ἔσεσθαι ἢ πότε γίνεται, πόσα τε πρὸ αὐτῆς γεγένηται. Καὶ πολλά ἐστι περὶ αὐτῆς καὶ τῶν τοιούτων λέγειν. Ἅμα δὲ καὶ μερισμοὺς ἔχει, θεὸς δὲ ἀμέριστός ἐστι. Φησὶ γὰρ ὁ ἀπόστολος, Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ μυελῶν, καὶ κριτι-

5. προςώπου *cod. Rhedig.*

6. *Exciderunt, ni fallor, verba* μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται κτλ.

7. ὁ ἀπόστολος μετὰ τοῦτον *cod. Rhedig.*

Cap. IV. — 1. *De hoc et similibus compositis vide, si lubet, V. Cl. Hase ad Leon. Diac. p.* 487.

post Adamum ita deus Noëmum alloquitur: *Ecce dedit tibi omnia tanquam olera agri: macta et comede: carnem cum animae sanguine ne comedas, quoniam ego requiram animas vestras. Quicumque effuderit sanguinem hominis in terra, pro huius sanguine illius sanguis effundetur, eo quod ad imaginem dei hominem fecerim; et ego requiram sanguinem vestrum ab eo omni quod effuderit ipsum super faciem terrae.* Vides ut in homine post decimam ab Adamo generationem imago dei constituatur? Quinetiam David longo postea tempore ex sancti spiritus afflatu cecinit, *Universa vanitas omnis homo vivens.* Secundum quem apostolus, *Vir comam alere non debet,* inquit, *cum sit imago et gloria dei.* Sed et post illum Iacobus de lingua disputans. *Malum est,* inquit, *intractabile, plena veneno mortifero. In ipsa benedicimus deum et patrem, et in ipsa maledicimus hominibus, qui ad imaginem dei facti sunt. Non oportet haec ita fieri, fratres mei.* Ex quibus apparet eorum vanam esse rationem qui Adamum dei imaginem amisisse praedicant.

Gen. 9, 3. Psalm. 39, 6. 1. Cor. 11, 14. Iacob. 3, 8.

Quibus vero placuit in anima positam imaginem, hunc in modum ratiocinantur ac sese defendunt: Quod et aspectabilis minime sit, perinde ac deus est, quod agendi, movendi, intelligendi ac ratiocinandi ubi praedita sit, ideo haec imaginem complectitur, quod movendo, agendo, ac reliqua omnia praestando quae ratione ab hominibus geruntur, deum in terris imitetur. Sed isti manifeste ad syllogismos confugiunt. Nam si propterea ad imaginem anima facta dicitur, ad imaginem dici omnino non potest. Deus enim infinitis prae anima partibus, eoque amplius, comprehensionem omnem ac cogitationem effugit, utpote cui prospecta sunt omnia tam praeterita quam praesentia, tam quae videntur quam quae videri nequeunt, terrae fines profundae voraginis ima, coelestium orbium summa, quidquid denique uspiam est. Ipse enim cum omnia comprehendit, tum a nullo comprehenditur. E contrario vero anima corpore continetur, abyssi fundum ignorat, terrae latitudinem, atque orbis habitabilis limites nescit, coelorum summa non assequitur, neque quid futurum sit, aut quando futurum, aut quae ante se iam extiterint cognoscit. Ad haec plura alia tam de illa quam de ceteris id genus commemorare possumus. Praeterea cum deus divisionis omnis expers sit, anima ipsa dividitur; quod his verbis apostolus indicat: *Vivus est enim sermo dei et efficax, et penetrabilior omni gladio ancipiti, et pertingens usque ad divisionem animae et*

Cap. IV. Hebr. 4, 12.

2. *Ita cod. Rhedig. Articulus* τὰ *ante* μὴ ὁρώμενα, *qui in editis vulgo legitur, quique abest a cod. Rhedig., in cod. Ien. a manu sec., sed antiqua, superadditus conspicitur.*

3. *Pro* οὐκ *in ed. Petav. Coloniae repet. vitiose est* καὶ *expressum.*

κὸς ἐνθυμησεων καὶ ἐννοιῶν, καὶ οὐκ ἔστι κτίσις ἀφανης ἐνώπιον αὐτοῦ, καὶ τὰ ἑξῆς. Καὶ ὁρᾷς ὅτι διέπεσε καὶ τούτων ὁ λόγος.

Κεφ. ε'. Καὶ τῶν [1] πάλιν λεγόντων τὸ σῶμα εἶναι κατ' εἰκόνα διαπίπτει πάλιν ὁ λόγος. Πῶς γὰρ δυνατὸν εἶναι τὸ ὁρατὸν τῷ ἀοράτῳ παραπλήσιον; πῶς τὸ σωματικὸν τῷ ἀσωμάτῳ; πῶς τὸ ἁφὴν ἔχον τῷ ἀκαταλήπτῳ; Ὁρῶμεν γὰρ ἡμεῖς ἀπὸ τῶν ἔμπροσθεν οἷς ἔχομεν ὀφθαλμοῖς, τὰ κατόπιν δὲ ἀγνοοῦμεν. Ἐν θεῷ δὲ οὐ πάθος, οὐκ ἐλάττωμα, μὴ γένοιτο, ἀλλὰ πανταχόθεν ἐστὶ φῶς, πανταχόθεν ὀφθαλμὸς, πανταχόθεν δόξα, πνεῦμα ὢν ὁ θεὸς, καὶ πνεῦμα ὑπὲρ πνεῦμα, καὶ φῶς ὑπὲρ πᾶν φῶς. Πάντα γὰρ τὰ ὑπ' αὐτοῦ γενόμενα ὑποβέβηκε τὴν αὐτοῦ δόξαν. Μόνη δὲ ἡ τριὰς ἐν ἀκαταληψίᾳ καὶ ἐν δόξῃ ἀνεικάστῳ καὶ ἀκαταλήπτῳ. Τῶν δὲ πάλιν λεγόντων τὴν ἀρετὴν εἶναι κατ' εἰκόνα, [2] ἀρετὴ δὲ ἄνευ φυλακῆς ἐνταλμάτων οὐ δύναται εἶναι, πολλοὶ δὲ ἐν ἀρετῇ διαφερέστεροι ἀλλήλων· ἀρετῆς γάρ ἐστιν εἴδη πολλά. Οἴδαμεν γὰρ αὐτοὶ καί τινας ἀπὸ ὁμολογητῶν ὑπάρχοντας, οἵτινες ἑαυτῶν τὸ σῶμα δεδώκασι καὶ τὴν ψυχὴν ὑπὲρ τοῦ ἑαυτῶν δεσπότου ἐν ὁμολογίᾳ, [3] ἐν ἁγνείᾳ διατελέσαντες, πίστιν τε ἀληθεστάτην ἐκτήσαντο, εὐσεβείᾳ διενηνόχασι φιλανθρωπίᾳ καὶ εὐλαβείᾳ, ἐν νηστείαις τε διῆξαν, καὶ ἐν πάσῃ ἀγαθότητι, καὶ ἐν ἀρετῆς τεκμηρίοις, συμβέβηκε δὲ αὐτοὺς ἔχειν ἐλάττωμα, ἤτοι λοιδόρους, ἤτοι ὀμνύντας ἐν ὀνόματι θεοῦ, ἢ εἶναι μυθώδεις, ἢ ἀγανακτικοὺς, ἢ βίον κεκτῆσθαι χρυσοῦ καὶ ἀργύρου, καὶ ἄλλων, ἅτινα ἐλλιπῆ ποιεῖται τῆς ἀρετῆς τὰ μέτρα. Τί οὖν εἴπομεν; τὸ μὲν κατ' εἰκόνα διὰ τὴν ἀρετὴν ἐκτήσαντο, διὰ δὲ τὰ ὀλίγα ἀνθρώπινα τῶν ἐλαττωμάτων παρὰ σχῆμα εἶναι τὴν εἰκόνα, καὶ οὐκέτι τελείαν τὴν ἐν αὐτοῖς εἰκόνα; καὶ πάλιν διέπεσεν ὁ τούτων λόγος. Τῶν δὲ πάλιν λεγόντων τὸ βάπτισμα εἶναι κατ' εἰκόνα, πολύ τι διαπίπτει ὁ λόγος. Οὔτε γὰρ Ἀβραὰμ ἔσχε τὸ βάπτισμα, οὔτε Ἰσαὰκ, οὔτε Ἰακὼβ, οὔτε Ἠλίας, οὔτε Μωϋσῆς, οὔτε οἱ πρότερον περὶ Νῶε καὶ Ἐνὼχ, οὔτε οἱ περὶ τοὺς προφήτας, Ἡσαΐαν, καὶ τοὺς καθεξῆς. Τί οὖν; [4] Ἆρα ἐκεῖνοι οὐκ ἔχουσι τὸ κατ' εἰκόνα; Καὶ πολλή τίς ἐστι πρὸς τούτους ἡ ἀντιλογία, ὥςπερ τοὺς περὶ Αὔδιον φιλονείκως ὁρίζοντας εἶναι ἐν τῷ σώματι τὸ κατ' εἰκόνα.

pag. 816.

Κεφ. ϛ'. Φέρουσι δὲ καὶ ἄλλας τινὰς μαρτυρίας οἱ αὐτοὶ Αὐδιανοὶ ἀπὸ τῆς θείας γραφῆς, λέγοντες ὅτι, Ὀφθαλμοὶ κυρίου ἐπὶ τὸν πένητα

Cap. V. — 1. πάλιν *uncinis notavit Petav.*

2. *Suspicor* ἀρετή γε.

3. *Ita codd. mss. Editi* καὶ ἁγνείᾳ, *cum hac distinctione* δεδώκασι, καὶ τὴν ψυχὴν ὑπὲρ τοῦ ἑαυτῶν δὲ ἐν ὁμολογίᾳ καὶ ἁγνείᾳ διατελέσαντες, πίστιν κτλ. *Cornarius vertit* qui corpus suum et animam tradiderunt pro domino suo in confessione, et in castitate vixerunt, fidemque verissimam habuerunt, pietate excelluerunt, benignitateque et reverentia erga homines, et in ieiuniis vixerunt ac omni bonitate, et insignis virtutis.

4. ἆρα *codd. mss.* ἄρα *editi.*

medullarum, et disceptator cogitationum et intentionum cordis, neque est creatura occulta coram ipso, etc. Ex quibus omnibus illorum opinio refellitur.

Nec minus et aliorum reiicienda sententia, qui corpus ad imaginem dei esse factum praedicant. Nam quî fieri potest ut quod aspectabile est ei simile sit quod videri non potest? aut corporeum corporis experti? aut quod contrectari potest ei quod apprehendi nequit? Praeterea nos anteriora duntaxat oculis nostris cernimus, quae pone sunt ignoramus. Penes deum autem neque affectio ulla, neque defectus est, sed undecumque lumen est, undecumque oculus, undecumque gloria. Spiritus enim deus est, qui omnem spiritum exsuperat, et lux luce omni praestantior. Quicquid enim ab ipso conditum est, infra illius decus ac gloriam est. Sola vero trinitas comprehendi non potest, et infinitam quandam gloriam obtinet, quae nec coniectura capitur, nec intelligentia percipitur. Quod ad illos vero pertinet qui in virtute conditionem illam imaginis collocant, ne illi quidem recte sentiunt. Nam virtus sine mandatorum observatione consistere non potest. Sed et virtute plerique invicem antecellunt, quod virtutis genera sint permulta. Ac nos nonnullos e confessoribus novimus qui corpus et animum pro domino suo tradiderunt, et in confessione ac castimonia perseverantes sincerissimam fidem sibi compararunt, ac pietate, humanitate, religione praestiterunt, in ieiuniis assidui fuerunt, in omni denique probitate ac virtutis specimine floruerunt. Iidem tamen vitio aliquo suffusi sunt, ut aut in convicia procliviores essent, aut dei nomen deierarent, aut loquaciores essent, aut iracundia prompti, aut aurum argentumve possiderent, aut aliis denique sordibus obsolescerent, quae nonnihil de iusta virtutis mensura detrahunt. De quibus quid tandem dicturi sumus? An illos imaginis decus illud sua sibi virtute quaesivisse, sed propter humanos aliquos naevos hanc ipsam imaginem specie tenus ab illis geri, nec perfectam absolutamque retineri? Sic illorum explosa sententia est. Iam vero qui in baptismo inesse dicunt imaginem, vehementer aberrant. Nam nec Abraam baptismo initiatus est, nec Isaac, neque Iacob, nec Elias, neque Moyses, nec antiquiores illis Noë, et Henoc, neque prophetae, ut Isaias, et ceteri. Quid igitur? An imaginem illi dei non habuerunt? Magna nobis argumentorum adversus illos copia est, ut et contra Audium, qui imaginem in corpore inesse pertendit. Cap. V.

Alia sunt scripturae testimonia quae ab Audianis efferuntur. Cap. VI.
Velut, *Oculi domini in pauperem respiciunt, et aures eius in preces* Psalm. 9, 28.

ἀποβλέπουσι, καὶ τὰ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· καὶ, Χεὶρ κυρίου ἐποίησε ταῦτα πάντα· καὶ, Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα, σκληροτράχηλοι; καὶ, Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου, καὶ ὅσα τοιαῦτα περὶ θεοῦ γέγραπται, καὶ ὅτι, Εἶδον
pag. 817. τὸν κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ ἦν ἡ κεφαλὴ αὐτοῦ ὡςεὶ ἔριον λευκὸν, καὶ τὸ περιβόλαιον αὐτοῦ ὡςεὶ χιών. Καὶ ὁρᾷς, φησὶ, πῶς ἐστι τὸ σῶμα κατ' εἰκόνα θεοῦ; καί εἰσι κἂν τούτῳ ἀντιπίπτοντες καὶ βιαζόμενοι ὑπὲρ δύναμιν ἀνθρωπείαν, [1] κἂν τῷ, Ὤφθη κύριος τοῖς προφήταις. Καὶ ὤφθη μέν τοι ὡς ἠθέλησε, δυνατὸς ὢν ἐν ἅπασι, καὶ οὐκ ἀρνούμεθα ὅτι εἶδον οἱ προφῆται θεὸν, οὐ μόνον δὲ οἱ προφῆται, ἀλλὰ καὶ οἱ ἀπόστολοι. Φησὶ γὰρ ὁ ἅγιος Στέφανος ὁ πρωτόμαρτυς, Ἰδοὺ, ὁρῶ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ καὶ πατρός. Ἀλλὰ τῇ ἰδίᾳ δυνάμει θεὸς ὁ [2] πανάγιος, φιλανθρωπευόμενος τὸ ἴδιον πλάσμα, [3] ἵνα μή τινες τῶν ἀπίστων νομίσωσι τὰ περὶ θεοῦ λέγειν εἶναι ἁπλῶς λόγῳ, καὶ οὐκ ἀληθείᾳ, καὶ ἕως λόγου ἵστασθαι τὸ κατὰ θεὸν, καὶ μὴ πληροῦν τὸ παρὰ τῷ ἀποστόλῳ εἰρημένον, ὅτι δεῖ τὸν προςερχόμενον θεῷ πιστεύειν ὅτι ἔστι καὶ τοῖς ἀγαπῶσιν αὐτὸν μισθαποδότης γίνεται. Ἵνα οὖν παραθαρσύνῃ τὸν ὑπ' αὐτοῦ πεπλασμένον ἄνθρωπον, τοῖς ἁγίοις αὐτοῦ καὶ ἀξίοις ἑαυτὸν ἀποκαλύπτει θεὸς, ἵνα ἴδωσι φύσει θεὸν, καὶ θεμελιωθῶσι τὴν διάνοιαν, καὶ ἐλπίσωσιν ἐν ἀληθείᾳ, καὶ κηρύξωσιν αὐτὸν ἀληθῶς, καὶ πιστοποιήσωσι τὸν πιστὸν ἄνθρωπον· ὡς ἀμέλει καὶ οἱ Ἑλλήνων παῖδες ἔχουσι περὶ θεοῦ ἕως λόγου τε καὶ φαντασίας. Ἡμεῖς δὲ ἀληθῶς θεὸν ἐπιστάμεθα ἀληθῆ, καὶ ὄντα ἀληθῶς ἐνυπόστατον βασιλέα, ἀκατάληπτον, ποιητὴν τῶν ὅλων, ἕνα θεὸν, καὶ ἐξ αὐτοῦ τὸν μονογενῆ θεὸν, ἐν οὐδενὶ διαλλάττοντα τοῦ πατρὸς, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, μηδὲν ἀπὸ πατρὸς καὶ υἱοῦ [4] διαλλάττον· ὡς καὶ ἐν πάσῃ αἱρέσει περὶ τῆς κατὰ θεὸν πίστεως διὰ πολλοῦ ἐποιησάμεθα τὸν λόγον.

Κεφ. ζ. Καὶ ὅτι μὲν ὤφθη θεὸς ἀνθρώποις πολλάκις εἴπομεν, καὶ οὐκ ἀρνούμεθα. Ἐὰν γὰρ ἀρνησώμεθα τὰς θείας γραφὰς, ἀληθεῖς οὐκ ἐσμεν, καὶ εὑρισκόμεθα ἐκπίπτοντες τῆς ἀληθείας, ἢ τὴν παλαιὰν διαθήκην ἐκβάλλοντες οὐκέτι ἐσμὲν τῆς καθολικῆς ἐκκλησίας. Τὸ δὲ
pag. 818. εὐαγγέλιον ἔφη, Θεὸν οὐδεὶς πώποτε ἑώρακεν, ὁ μονογενὴς θεὸς αὐτὸς ἐξηγήσατο. Καὶ πάλιν ἡ αὐτὴ θεία γραφὴ ὅτι, Ὤφθη ὁ θεὸς τῷ Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ. Καὶ αὐτὸς ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ὅτι, Οἱ ἄγγελοι τούτων ὁρῶσι τὸ πρόςωπον τοῦ πατρός μου

Cap. VI. — 1. κἂν τῷ *scripsi pro* καὶ τὸ, *quod vulgo extat.*
2. πανάγιος *codd. mss.* πανάγαθος *editi libri.*
3. ἵνα *excidit ab ed. Petav. Colon. repet.*
4. διαλλάττων *ed. Petav.*

eorum; item, *Manus domini fecit haec omnia;* et, *Nonne manus mea* Isai. 41, 20.
fecit haec omnia? O durae cervicis homines! item, *Coelum mihi se-* Isai. 66, 2. Ib com.1.
des est, et terra scabellum pedum meorum, ac reliqua, quae ad eum Dan. 7, 9.
modum de deo scripta sunt; praeterea, *Vidi dominum exercituum sedentem in throno excelso et elevato: et erat caput eius tanquam lana alba, et amictus eius sicut nix.* Animadvertis igitur, inquiunt, corpus ad imaginem dei esse factum? Atque hac quidem in parte acerrime se nobis opponunt, et quae supra hominis captum sunt violenter affectant. Quin et illud proferunt, quod dominus prophetis apparuisse legitur. Verum hic quidem perinde ac libitum est videndum se praebuit, cum nihil sit eius potestati subtractum. Neque vero deum negamus a prophetis, imo vero et ab apostolis asserimus esse conspectum. Nam Stephanum martyrum primus: *Ec-* Act. 7, 55.
ce, inquit, *video coelum apertum, et filium hominis stantem a dexteris dei et patris.* Enimvero optimus ille deus singularem opificio suo humanitatem adhibens, ne sibi ipsis infideles aliqui persuaderent, quae de deo dicuntur, verbis omnia, non veritate constare, et quae ab illo pronuntiata sunt, reipsa non expleri. *Oportet autem*, ut Hebr. 11, 6.
apostolus scribit, *accedentem ad deum credere quoniam est, et diligentibus ipsum remunerator est.* Ut igitur condito a se homini fiduciam ingeneraret, pro sua potentia sanctis hominibus, et illo conspectu dignis seipsum detegit deus, ut ipso proprie certoque conspecto animum suum velut stabili quodam fundamento contineant, et spem suam in veritate collocent, atque illum vere ac sincere praedicent, et fidelem denique hominem in suscepta fide confirment. Quemadmodum e contrario gentiles ac Graeci dei notitiam verbi tenus et imaginibus adumbratis obtinent. Nos autem revera deum novimus, verum illum quidem ac vere subsistentem regem, incomprehensibilem, conditorem rerum omnium, unum deum, et ab ipso procedentem unigenitum deum, nec ulla re a patre diversum, nec non et spiritum sanctum qui nihil a patre filioque discrepat. Quod quidem fidei dogma, cum adversus haereses singulas ageremus, pluribus verbis exposuimus.

Ac deum quidem hominibus apparuisse persaepe diximus, nec Cap. VII.
unquam inficiati sumus. Nam si sacrarum literarum auctoritatem negemus, veritatem non sequimur, et ab ea longius aberramus. Aut si vetus testamentum reiicimus, non amplius in catholica ecclesia censemur. Atqui in evangelio scriptum est: *Deum nemo vi-* Ioann. 1, 18.
dit unquam; unigenitus deus ipse narravit. Praeterea eadem scriptura, *Apparuit*, inquit, *deus Abraam, cum esset in Mesopotamia.* Act. 7, 2.
Quin ipse dominus in evangelio, *Angeli*, inquit, *eorum vident fa-* Matth. 10, 18.

τοῦ [1] ἐν οὐρανῷ. Ἀλλὰ πάντως ἐρεῖ τις εἰρηκέναι τὴν θείαν γραφὴν τοὺς προφήτας ἑωρακέναι τὸν θεὸν ἐν τῷ νῷ, ἀπὸ τοῦ ῥητοῦ τοῦ, Καὶ οἱ ἄγγελοι τούτων ὁρῶσι τὸ πρόςωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανῷ, καὶ πάλιν ἀπὸ τοῦ, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται· φήσας δὲ τοῦτο καὶ παραζεύξας κατὰ τὴν αὐτοῦ ἔννοιαν τὰς λέξεις εἴποι δ' ἂν, ὅτι ἐν τῷ νῷ ἕκαστος ὁρᾷ τὸν θεόν· οὐ γὰρ ὀφθαλμοῖς. Ἀντιπίπτει δὲ τούτῳ ὁ θεῖος λόγος, φάσκων διὰ Ἡσαΐου τοῦ προφήτου, Τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ἀκάθαρτα χείλη ἔχων ἐν λαῷ ἀκάθαρτα χείλη ἔχοντι ἐγὼ κατοικῶ, καὶ τὸν κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Καὶ οὐκ εἶπε Τῷ νῷ, οὐδὲ Ἐν τῇ ἐννοίᾳ, ἀλλὰ Τοῖς ὀφθαλμοῖς, τὰ ἀληθῆ καὶ στερεὰ τῆς πίστεως βεβαιούμενος. Τί οὖν [2] εἴπωμεν, τοῦ εὐαγγελίου λέγοντος θεὸν μὴ ἑωρακέναι τινὰ πώποτε, τῶν δὲ προφητῶν καὶ ἀποστόλων φασκόντων, καὶ αὐτοῦ τοῦ κυρίου; [3] Ἆρα ἀντίθετον ἐν τῇ θείᾳ γραφῇ πρὸς ἑαυτήν τι; μὴ γένοιτο. Ἀλλὰ εἶδον προφῆται καὶ ἀπόστολοι, καὶ ἀληθὲς ὑπάρχον· εἶδον δὲ καθὸ ἠδύναντο αὐτοί, καὶ καθὸ ἐνεχώρει, καὶ ὤφθη αὐτοῖς ὁ θεὸς ὡς ἠθέλησεν. Πάντα γὰρ αὐτῷ δυνατά. Καὶ ὅτι μὲν [4] ὁ ἀόρατος θεὸς καὶ ἀκατάληπτος, τοῦτο δῆλόν ἐστι καὶ ὡμολόγηται. Ἀλλὰ πάλιν δυνατός ἐστι ποιεῖν ὃ βούλεται. Οὐ γάρ τις ἀντιτίθησιν αὐτοῦ τῷ βουλήματι. Ἀόρατος οὖν ἐστι τὴν φύσιν καὶ ἀκατάληπτος τὴν δόξαν, βουλομένου δὲ τῷ ὑπ' αὐτοῦ γεγονότι ἀνθρώπῳ ὀπτάνεσθαι, οὐδὲν ἐναντιοῦται τῷ αὐτοῦ βουλήματι. Οὐ γὰρ [5] πάθει συνέχεται τὸ θεῖον, ἵνα ὃ βούλεται μὴ [6] πράττῃ, ἢ πράττῃ ὃ μὴ βούλεται (δυνατὸς γάρ ἐστι ποιῶν ὃ βούλεται), ἀλλὰ πράττει ἅπερ [7] αὐτοῦ πρέπει τῇ θεότητι· μηδὲν ὅλως τῷ θελήματι αὐτοῦ ἀντιπίπτον, ὥστε μὴ δύνασθαι πράττειν ὃ βούλεται, πρεπόντως τῇ αὐτοῦ θεότητι. Καὶ ἀδύνατόν ἐστιν ἰδεῖν θεόν, μάλιστα ἀνθρωπίνην φύσιν, καὶ οὐκ ἐγχωρεῖ τὸ ὁρατὸν ὁρᾶν τὸ ἀόρατον. [8] Ἀλλ' ἀό-
pag. 819. ρατος θεὸς ἐν φιλανθρωπίᾳ καὶ δυνάμει ἐνισχύσας τὸ ἀδύνατον κατηξίωσε τῇ ἑαυτοῦ δυνάμει, ὅπως ἴδῃ τὸ ἀόρατον, καὶ ὃ εἶδε τὸ ἀόρατόν [9] τε καὶ ἄπειρον, οὐ καθὼς ἔσχε τὸ ἄπειρον, ἀλλ' ὡς ἠδύνατο χωρεῖν ἡ φύσις ἐνδυναμωθεῖσα τοῦ ἀδυνάτως ἔχοντος πρὸς ἐπέκτασιν τοῦ δυνατοῦ. Καὶ οὐδὲν διοίσει ἐν τῇ θείᾳ γραφῇ, οὔτε ἀντίθετος λέξις πρὸς λέξιν εὑρεθήσεται.

Cap. VII. — 1. ἐν τῷ οὐρανῷ *editi.*
2. *Libri habent* εἴπομεν.
3. ἄρα *editi.*
4. *Articulum esse delendum vides.*
5. πάθη *vitium est ed. Petav. Colon. repet.*
6. πράττει, ἢ πράττει *codd. mss. et edit. princ.*
7. αὐτοῦ *correxeruut Cornarius (vertit enim* ipsius) *et Petavius. Libri habent* αὐτῷ.
8. ἀλλὰ *cod. Rhedig.*
9. τότε καὶ *cod. Rhedig.*

ciem patris mei, qui in coelis est. Atenim, dicet aliquis, Scriptura deum vidisse prophetas asserit, sed mente intelligentiaque duntaxat, ut ex hoc loco colligi potest: *Angeli eorum vident faciem patris mei, qui in coelis est*: item ex hoc loco: *Beati mundo corde, quoniam ipsi deum videbunt.* Quod qui dixerit, et illas scripturae sententias apud se contulerit, perinde arbitrabitur unumquemque deum mente, non oculis videre. Verum facile iste divini sermonis auctoritate refellitur, cum propheta Isaias dicat, *Miser ego, quoniam confixus sum, eo quod homo impuris labiis in medio populi impura labia habentis ego habito, et dominum exercituum vidi oculis meis.* Non Mente dixit, non Cogitatione, sed Oculis, unaque veram ac solidam fidem statuit. Ecquid ergo dicimus, cum evangelium asserat, *Deum a nemine unquam esse conspectum,* prophetae vero et apostoli, imo dominus ipse, contrarium affirment? An aliqua sunt in scriptura quae sibi invicem repugnent? Minime id quidem. Sed prophetae haud dubie et apostoli deum viderunt, idque ipsum certissimum est; sed hactenus viderunt quatenus poterant ipsi, et quantum licebat, ac quemadmodum voluit deus, se videndum his praebuit. Quippe omnia sunt in eius potestate posita. Neque vero dubium est quin deus videri comprehendique nequeat, idque in confesso est apud omnes. Sed et illud proinde certum, posse illum quae velit efficere. *Nullus est enim qui eius voluntati resistat.* Quare cum et natura visum omnem effugiat, et ipsius comprehendi gloria nequeat, tamen quoties homini, quem produxit, videndum se praebere voluerit, nihil eius voluntati reluctatur. Siquidem nulla in deo inest affectio neque pati quicquam potest, ut aut quod velit non perficiat, aut quod nolit efficiat. Est enim praepotens, et quodcumque libitum est molitur, ita tamen ut quae divinitatem ipsius deceant perpetuo faciat. Nam nihil est, ut dixi, quod voluntati ipsius adversetur, quo minus quae velit pro eo ac divinitati suae convenit exequatur. Deum quidem videri, praesertim ab humana natura, non posse fatemur, neque quod aspectabile est id quod videri omnino non potest intueri fas putamus. Sed idem tamen invisibilis deus pro sua humanitate ac potentia imbecillam aciem ita virtute sua corroborare dignatur, ut quod videri alioqui non potest aspiciat. Porro cum invisibile illud et infinitum aspicit, non quatenus infinitum est illud intuetur, sed quantum illius quod imbecillum est natura capere potest, eiusmodi vi ac virtute confirmata, ut ad potentis illius notitiam adaequare se possit. Quamobrem nihil est in sacris literis a se ipso discrepans, non sententia ulla quae ab alia sententia dissideat.

Matth. 5, 8.
Isai. 6, 5.
Esth. 13, 9.

Κεφ. η΄. Ἔστι δὲ, ὡς πολλάκις τὸ ὑπόδειγμα διηγησάμην, τὸ πρᾶγμα οὕτως ὡς εἴ τις θεάσοιτο δι' ὀπῆς [1] μικροτάτης τὸν οὐρανὸν καὶ εἴποι, Ὁρῶ τὸν οὐρανὸν, καὶ οὐκ ἂν ψεύσοιτο ὁ τοιοῦτος (ὁρᾷ γὰρ οὐρανὸν τῷ ὄντι), εἴποι δέ τις αὐτῷ συνετῶς ὅτι, Οὐχ ἑώρακας τὸν οὐρανὸν, καὶ οὐκ ἂν ψεύσοιτο ὁ τοιοῦτος· ὁ μὲν γὰρ λέγων ἑωρακέναι οὐ ψεύδεται, καὶ ὁ φήσας πρὸς αὐτὸν μὴ ἑωρακέναι τὸ αὐτὸ ἀληθεύει. Οὔτε γὰρ εἶδε τὴν ἐπέκτασιν, οὔτε τὸ πλάτος. Καὶ ὁ μὲν ἑωρακὼς ἠλήθευσεν, ὁ δὲ ἀντειπὼν μὴ ἑωρακέναι οὐκ ἐψεύσατο, ἀλλὰ καὶ αὐτὸς ἠλήθευσε. Πολλάκις γὰρ καὶ ἐπὶ ἀκρωρείᾳ ὄρους ἑστῶτες θεώμεθα καὶ τὴν θάλασσαν, καὶ ἐὰν [2] εἴπωμεν ἑωρακέναι θάλασσαν, οὐκ ἐψευσάμεθα. Εἰ δέ τις ἀντείποι λέγων ὅτι Οὐχ ἑώρακας, καὶ αὐτὸς οὐ ψεύδεται. Ποῦ γὰρ διϊκνεῖται τὸ πλάτος, ποῦ τὸ μῆκος, ποῦ τὸ βάθος, ποῦ οἱ μυχοὶ τοῦ βυθοῦ, καὶ τὰ ἀποτελέσματα, οὐ δύναται εἰδέναι ἄνθρωπος ὤν. Εἰ τοίνυν τὰ περὶ τῶν κτισμάτων οὕτως ἐν ἡμῖν πληροῦται, πόσῳ γε μᾶλλον ἐν τῇ χάριτι ᾗ ἐχαρίσατο ὁ θεὸς προφήταις καὶ ἀποστόλοις; Ἐθεάσαντο οὖν τὸ ὂν τῷ ὄντι, καὶ οὐκ ἐθεάσαντο, ἀλλ' ἐθεάσαντο ὡς ἠδύνατο ἡ φύσις φέρειν, καὶ αὐτὸ κατὰ χάριν δυνάμεως ἧς ἐνεδυνάμωσεν ὁ δυνατὸς ἐν ἅπασι, διὰ φιλίαν τοῦ αὐτοῦ ἀνθρώπου, καὶ [3] δουλεύοντος αὐτῷ ἐν ἀληθείᾳ. Ἐὰν οὖν οἱ τοιοῦτοι νομίσωσι χεῖρας οὕτω τὸν θεὸν ἔχειν, ἢ ὀφθαλμοὺς, ἢ τὰ ἄλλα, διὰ τὸ οὕτως [4] ὀφθῆναι τοῖς προφήταις καὶ ἀποστόλοις, φιλονείκως φέρονται ἐλεγχόμενοι ἀπὸ τῆς ἀληθείας. Ἀλλὰ ὅσα μὲν λέγει ἐν τῇ θείᾳ γραφῇ, πιστεύειν χρὴ ὅτι ἔστι· πῶς δὲ ἔστιν, αὐτῷ μόνῳ ἔγνωσται. Καὶ ὅτι ὤφθη τῷ μὲν ὄντι, ναὶ, ὤφθη δὲ ὡς ἠθέ-
pag. 820. λησε, καὶ ἀληθῶς ὤφθη, ὡς ὤφθη. Πάντα γὰρ δύναται θεὸς, καὶ οὐδὲν αὐτῷ ἀδύνατον. Ἔστι δὲ ἀκατάληπτος, πνεῦμα ὢν ἀπερινόητον, πάντα περιέχων, [5] οὗτος ὑπ' οὐδενὸς περιεχόμενος. Καὶ ὁποῖος ὁ πατὴρ, τοιοῦτος καὶ ὁ υἱὸς, οὕτω καὶ [6] τὸ πνεῦμα ἐν τῇ θεότητι. Μόνος δὲ ὁ μονογενὴς ἐνεδύσατο ἐλθὼν σάρκα, ἐν ᾗ καὶ ἀνέστη, ἣν καὶ συνήνωσε τῇ θεότητι εἰς πνεῦμα συνενώσας, ἐκάθισεν ἐν δόξῃ, ἐν δεξιᾷ τοῦ πατρὸς, κατὰ τὸ γεγραμμένον. Ὡς οὖν ἐστιν ἀκατάληπτος, [7] ἀπερινόητος, οὕτω πάντα τὰ περὶ αὐτοῦ λεγόμενα ἀληθινά ἐστιν ὄντα· ὡς δὲ θεός ἐστιν ἀκατάληπτος, οὕτως πᾶν τὸ περὶ αὐτοῦ λεγόμενον ἀκατάληπτόν ἐστι μὲν, ἀλλὰ ἀκατάληπτον ὁποῖα θεοῦ καὶ

Cap. VIII — 1. μικρῆς *cod. Rhedig.* 2. εἴπωμεν *cod Ien.* εἴπομεν *editi. In cod. Rhedig. desiderantur verba* καὶ ἐὰν εἰπ. ἑωρ. θάλασσαν.
3. δουλεύοντος *emendarunt Cornarius (qui vertit* hominis servientis illi in veritate) *et Petavius. Libri praebent* δουλεύοντι.
4. ὀφθῆναι *correxit Petav., praeeunte Cornario qui* propterea quod sic visus est prophetis *vertit. Libri habent* ὀφθήσεσθαι.
5. *Scribendum* αὐτὸς.

ἀναλογούμενα. Τὸ γὰρ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, τῷ λόγῳ ἑαυτοῦ, [2] φησὶν, ὁ πατὴρ εἴρηκε. Τί οὖν, ὁ λόγος ἐν τῷ πατρὶ, φησὶ, ἦν, ἀλλ' οὐκ ἦν υἱός; Καὶ, Ἔβρεξε κύριος παρὰ κυρίου, ἐν πατρὶ ὢν ὁ λόγος, καὶ, Εἶδον, φησὶ, κατερχόμενον ἐπάνω τῶν νεφελῶν, [3] ὡς υἱὸν ἀνθρώπου. Τοῦτο, φησὶ, προκαταγγελτικῶς ἔλεγεν, οὐχ ὡς τοῦ υἱοῦ ὑπάρχοντος, ἀλλὰ [4] δι' ὃ ἔμελλεν υἱὸς καλεῖσθαι μετὰ τὴν Μαρίαν, καὶ ἀντὶ τῆς σαρκὸς ἀνιέναι, γεννηθεὶς ὁ Χριστὸς ἐκ πνεύματος ἁγίου, καὶ ἀπὸ Μαρίας, προχρηστικῶς, φησὶ, τὰ πάντα ἀναφέρεται εἰς αὐτὸν ἀπαρχῆς. Οὔπω δὲ ἦν, λόγος δὲ ἦν, καθάπερ ἐν ἐμοὶ ὁ λόγος. Ἤδη δὲ εἶπον ὅτι ἀπὸ μέρους Παύλου τοῦ Σαμοσατέως ἔχων τὰ ὅμοια τῆς ἐννοίας· ἕτερα δὲ ἔτι παρ' ἐκεῖνον ὑπερβεβηκὼς τῇ ἐννοίᾳ.

Κεφ. γ'. Καὶ αὐτὸς δὲ οὗτος ἀνατραπήσεται εἰς ἐσχάτην ἐλθὼν ἀρνησιθεΐαν, καὶ ἀλλοτρίαν ὑπόνοιαν ζωῆς αἰωνίου ἐν ἅπασιν. Εἰ γὰρ πρόσφατος ὁ υἱὸς τοῦ θεοῦ κατὰ τὴν θεότητα, ἄρα ὁ Δαβὶδ πρωτεύει, μᾶλλον δὲ καὶ ἐν προκριτέοις ὑπάρχει τοῦ αὐτὸν πεποιηκότος. Οὕτω γὰρ καὶ αὐτὸς διενοεῖτο, μᾶλλον καὶ παρελθὼν τὴν θείαν γραφὴν, κατὰ τὴν αὐτοῦ πεπλανημένην ἔννοιαν φάσκων ὅτι καὶ ὁ ἀπόστολος εἴρηκεν, Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, καὶ ὁ δεύτερος ἀπ' οὐρανοῦ. Εὐθὺς δὲ ἀντιπίπτει αὐτῷ ὁ λόγος τῆς ἀληθείας, καὶ ἐλέγχει αὐτοῦ τὴν ἐσκοτωμένην διάνοιαν. Ἄνθρωπον γὰρ καὶ ἄνθρωπον ἔφη ὁ
pag. 831. ἅγιος ἀπόστολος· καὶ τὸν μὲν πρῶτον ἄνθρωπον τὸν Ἀδὰμ ἐκ γῆς εἶναι χοϊκὸν, τὸν δὲ δεύτερον ἀπ' οὐρανοῦ. Καί τοί γε ἄνθρωπον λέγων, οὐκ ἐξ οὐρανοῦ δὲ ἡ σὰρξ καταβέβηκεν, ἀλλ' ὡμολόγηται καὶ ἀπὸ τούτου ἀπὸ Μαρίας οὖσα. Ἀπ' οὐρανοῦ δὲ καταχρηστικῶς οὐ λέγει σάρκα, ἀλλὰ τὸν δεύτερον ἄνθρωπον, ἐξότε ἄνωθεν ἦλθεν ὁ λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατὰ τὸ γεγραμμένον. Εἰ οὖν προϋπῆρχεν ὁ κύριος, καὶ πάρεστιν, ὃς ἐφεῦρε πᾶσαν ὁδὸν συνέσεως· εἶναι δὲ [1] αὐτὸν ὄντως οὐκ ἀμφιβάλλει ἡ θεία γραφή. Τὰ γὰρ μετὰ ταῦτα σημαίνει προόντα, καὶ τὸ εὑρηκέναι πᾶσαν ὁδὸν συνέσεως, εἶτα Ἐπὶ γῆς ὤφθη, τὴν μέλλουσαν ἔνσαρκον παρουσίαν. Καὶ ὅτι ἀπ' οὐρανοῦ φασι τὸν ἄνθρωπον ἐνηνοχέναι, οὐ λέγει ὁ ἀπόστολος, ἀλλὰ διὰ τὴν συνένωσιν τῆς ἐνσάρκου παρουσίας ἄνθρωπον μὲν αὐτὸν λέγει, διὰ τὸν χρόνον τὸν μεταξὺ Ἀδὰμ καὶ τῆς ἐνσάρκου παρουσίας, ἀπ' οὐρανοῦ δὲ αὐτὸν λέγει διὰ τὸ ἄνωθεν ἡκέναι τὸν θεὸν λόγον καὶ σάρκα,

2. ὁ πατήρ φησιν εἴρηκε *cod. Rhedig.*
3. ὡς *non habet cod. Rhedig.*
4. δι' ὃ *codd. mss. uterque.* δὴ ὃ *editi.*
Cap. III. — 1. αὐτὸν, ὡς *habent omnes libri, mendose, ut neminem fugiet. Reposui veram scripturam* αὐτὸν ὄντως, *syllaba* ον *repetita ex antecedente vocabulo* αὐτὸν, *quo abierat, cum litera* τ *syllabae* τως *in spiritum transiret.*

bum referri oportere indicaret. Nam his verbis, *Faciamus hominem ad imaginem nostram et ad similitudinem,* verbum suum pater alloquitur. Quid igitur? Erat, inquit, in patre verbum, sed nondum erat filius. Item, *Pluit dominus a domino,* quod in patre verbum esset. Et, *Vidi,* inquit, *descendentem supra nubes, quasi filium hominis,* quod velut ante denuntians dixit; non quod adhuc filius existeret, sed ipsum solum, cui filii nomen erat aliquando tribuendum, post Mariam videlicet, quodque ex carne proditurum erat, Christus nimirum de spiritu sancto Mariaque genitus; in quem sic tanquam anticipatione quadam universa conferuntur. Quamquam nondum ipse, quemadmodum et verbum illud, quod in me est. Hoc autem paulo ante monuimus, Photinum ex Pauli Samosateni factione esse, eademque cum illo defendere; tametsi illum ipsum novis erroribus inventisque superavit. Gen. 1, 26. Gen. 19, 24. Dan. 7, 13.

Verum nihilominus et ipse refelletur; qui in extremam impietatem, ac divini numinis abnegationem prolapsus, et aliena a sempiterna vita commenta secutus est. Nam si recens adeo est, quod ad divinitatem attinet, dei filius, consequens est non modo Davidem illo anteriorem esse, sed et eidem conditori suo praeferendum. Atque haec quidem haeretici illius opinio fuit, qui sacrarum literarum auctoritate contempta eius testimonio perperam intellecto sic abutitur. Apostolus, inquit, ita loquitur: *Primus homo de terra terrenus, secundus de coelo.* Atqui statim illi veritatis refragatur oratio, ac tenebricosam illius mentem redarguit. Apostolus enim duplicis hominis mentionem agit, quorum priorem *Adamum e terra terrenum,* alterum e coelo deductum affirmat. Ac licet hominem appellet, non tamen e coelo caro ipsa descendit, sed vel fatente ipso e Maria suscepta est. De coelo vero non abusu quodam sermonis carnem ait esse delapsam, sed secundum hominem duntaxat; ex quo verbum e coelo descendit, *et habitavit in nobis,* quemadmodum scriptum est. Quamobrem et ante dominus existebat, et subinde adfuit, *Qui invenit omnem viam scientiae.* Extitisse vero divina scriptura non dubitat. Nam quae sequuntur ante illum extitisse declarant. Velut *quod omnem viam scientiae reperisse* dicatur, deinde *in terra visus esse,* quae futuram incarnationem, quandoque significabant. Iam vero quod e coelo secum hominem detulisse putant haeretici, non hoc apostolus dicit, verum ob humanam naturam cum divina consociatam hominem illum appellat, atque etiam ob illud tempus quod Adamum inter et incarnationem interiectum est; non quod, ut ille sibi persuadet, verbum a patre processerit, et in Cap. III. 1.Cor.13,47. Ioann. 1,3. Baruc. 3, 37.

ὥς φησι, Ὁ λόγος σὰρξ γενόμενος, οὐχ ὡς αὐτὸς ὑπονοεῖ, λόγον ἐκ πατρὸς προελθόντα καὶ εἰς σάρκα μεταβεβλημένον· οὕτω γὰρ κατὰ τὴν ἠπατημένην αὐτοῦ ἔννοιαν διηγήσατο περὶ τοῦ ὅρου. Εἰ δὲ ἔστιν Ἀδὰμ πρὸ τοῦ εἶναι τὸν λόγον, [2] ἄρα διὰ τίνος ὁ αὐτὸς Ἀδὰμ κέκτισται, καὶ πάντα τὰ πρὸ αὐτοῦ κτίσματα τοῦ θεοῦ; ἢ πρὸς τίνα ὁ πατὴρ εἴρηκε, Ποιήσωμεν ἄνθρωπον; Οὐ γάρ τίς [3] ποτε πρὸς τὸν ἐνδιάθετον αὐτοῦ λόγον, ἢ τὸν προφορικὸν ἐπιτείνεται τὴν συμβουλίαν, ἀλλὰ πρὸς τὸν ἔμφυτον καὶ ἅγιον αὐτοῦ λόγον τῆς μελλούσης τοῦ ἀνθρώπου δημιουργίας ποιεῖται τὴν μετὰ πάσης σοφίας ἐξήγησιν, ἵνα μάθωμεν ἐξ ἀρχῆς εἶναι τὸν παῖδα πρὸς τὸν αὐτοῦ πατέρα, ἵνα μὴ τὸν ἡμέτερον κτίστην πρόσφατον νομίσωμεν, ἀλλὰ σὺν πατρὶ ἀεὶ ὑπάρχοντα πρὸ τῶν αἰώνων· ὡς καὶ Ἰωάννης μαρτυρεῖ λέγων, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς [4] τὸν θεόν.

Κεφ. δ'. [1] Ὥς φησιν [2] αὐτὸς ὁ ἀγύρτης. Καὶ αὐτός φημι εἶναι τὸν λόγον ἀπ' ἀρχῆς, ἀλλ' οὐχ υἱὸν θεοῦ γεγεννημένον. Καὶ εἰ μὴ ἔστιν υἱὸς θεοῦ, μάταιος αὐτοῦ ὁ πόνος, [3] ματαία αὐτοῦ καὶ ἡ προαίρεσις, καὶ ἡ ἐλπὶς, καὶ ἡ διάνοια. Οὐδὲ γὰρ περισσότερον τῶν ἀρνησαμένων αὐτὸν Ἰουδαίων οὗτος λέγει. Οὐ γὰρ λέγει περὶ αὐτοῦ τὸ εὐαγγέλιον ὅτι, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν ἐν τῷ θεῷ, ἀλλ', Ὁ λόγος
pag. 832. ἦν πρὸς τὸν θεόν. Καὶ οὐ λέγει ὅτι ἐν τῷ θεῷ ἦν μόνον, ἀλλὰ θεὸς ἦν ὁ λόγος. Ἀλλ' ἐν τῷ ἀνθρώπῳ μὲν λόγος ἐνδιάθετος ἀεὶ καὶ προφορικὸς ὑπάρχων οὐ δύναται λέγεσθαι ἄνθρωπος, ἀλλὰ ἀνθρώπου λόγος. [4] Εἰ οὐκ ἦν οὔπω τὸ γέννημα, ὡς αὐτὸς λέγει, καὶ εἰ οὔπω ἦν υἱὸς [5] τοῦ θεοῦ θεὸς λόγος, διὰ τίνος τὰ πάντα γεγένηται; ἐπειδή φησι τὸ εὐαγγέλιον, Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ἀλλά φησι, Ὥςπερ διὰ λόγου ὁ ἄνθρωπος πράττει ὃ βούλεται, οὕτως διὰ τοῦ ἰδίου λόγου ὁ πατὴρ διὰ τοῦ ὄντος ἐν αὐτῷ λόγῳ ἐποίησε τὰ πάντα. Πῶς οὖν ὁ κύριος διὰ τοῦ εὐαγγελίου λέγει ὅτι, Ἕως ἄρτι ὁ πατὴρ ἐργάζεται, κἀγὼ ἐργάζομαι; Τὸ δὲ, Ὁ πατὴρ ἐργάζεται, κἀγὼ ἐργάζομαι, οὐ τοῦ πατρὸς μὴ ἐργαζομένου ἐν τῇ τοῦ υἱοῦ ἐργασίᾳ, οὐδὲ τοῦ υἱοῦ [6] ἀλλοτρίου ὄντος, καὶ μὴ ἐργασαμένου ἐν τῇ τοῦ πατρὸς δημιουργίᾳ. Πάντα γὰρ τὰ ἔργα, ὅσα ἔστιν, ἅμα ἐκ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος γεγένηται. Δι' αὐτοῦ γὰρ τὰ πάντα γέγονεν ἀπὸ πατρὸς, καὶ αὐτὸς τὰ πάντα εἰργάσατο σὺν πατρὶ, καὶ σὺν ἁγίῳ πνεύματι. Τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ. Διὸ καὶ μετὰ ἀσφαλείας ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ἔλεγε, γινώσκων τὰς ὑπονοίας τῶν πεπλανημένων, προγνώστης

2. *Libri vulgo* ἆρα.
3. πώποτε *cod. Rhedig.*
4. τὸν *om. in edit. Petavii Colon. repet.*

CAP. IV. — 1. Ἀλλὰ *pro* ὡς *substituendum censuit Petavius.*
2. αὐτὸς *om. in edit. Petavii.*

carnem mutatum fuerit; ita enim ille falso de hoc argumento disseruit. Et vero si Adamus verbo originem antecessit, per quemnam non modo Adamus, sed etiam quae Adamo priores sunt creaturae dei omnes productae sunt? Quis ille vero est cui pater dixit, *Faciamus hominem?* Nemo enim aut ad intimum verbum suum, aut ad illud quod exterius profertur consultationem deliberationemque dirigit. Ideo insitum sibi sanctissimumque suum verbum alloquens pater futuram hominis procreationem sapientissima voce declarat, ut filium apud patrem initio extitisse sciremus, neque conditorem nostrum recens in lucem editum arbitraremur, sed cum patre priorem saeculis omnibus fuisse. Id quod Ioannes ita demonstrat: *In principio erat verbum, et verbum erat apud deum.* Ioann. 1, 1.

Cap. IV.

Atqui verbum, inquit circulator iste, a principio extitisse fateor; filium dei genitum fuisse, id vero non fateor. Verum nisi dei sit filius, inanis est illius labor, inane et animi propositum, vana denique spes omnis et cogitatio. Nihil enim amplius excellentiusque de Christo profitetur quam Iudaei ipsi, qui eundem abnegarunt. Porro non scriptum est in evangelio: *In principio erat verbum, et verbum erat in deo,* sed, *Verbum erat apud deum,* nec in deo verbum modo fuisse dicit, sed *Deus erat verbum.* In ipso quidem homine sermo ille, qui perpetuo aut interior, aut externa voce prolatus est, homo dici non potest, sed hominis sermo. Quod si, ut ille nugatur, nondum velut foetus erant, aut dei filius deus verbum, per quemnam omnia producta sunt? Quandoquidem, ut evangelium asserit, *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil.* Atenim quemadmodum, inquit, homo per verbum suum quidquid libuerit efficit, ita et pater per verbum suum, quod in ipso erat, universa procreavit. Quomodo igitur hoc in evangelio domini dictum accipiendum est: *Pater usque modo operatur, et ego operor?* Ioann. 5, 17.
Quae verba non sic intelligenda sunt, quasi in his quae filius efficit nihil pater ipse moliatur, aut contra abalienandus sit filius, neque se patris opificio agendo aliquid immisceat. Siquidem opera omnia a patre simul et filio et spiritu sancto producta sunt. Nam per ipsum omnia sunt a patre producta, ipseque adeo cum patre et spiritu Psalm. 32, 6.
sancto fabricavit omnia. *Verbo enim domini coeli formati sunt, et spiritu oris eius omnis virtus eorum.* Quocirca caute illud prudenterque dominus in evangelio dixit, cum, utpote deus omnia praevi-

3. καὶ ματαία αὐτοῦ ἡ προαίρεσις *cod. Rhedig.*
4. εἰ δὲ οὐκ ἦν *suspicatus est Petavius.*
5. τοῦ *om. cod. Rhedig.*
6. ἀλλοτρίου ὄντος *emendavit Petavius.* ἀλλοτριοῦντος *vulgo extat in libris. Et Cornarius iam vertit* neque quod filius alienus sit.

ὢν, ὡς θεὸς, καὶ ὡς ἤμελλεν ἕκαστος ἀπὸ τῆς ἀληθείας ἑαυτὸν ἐκβάλλειν, ἔλεγε πρὸς τοὺς Ἰουδαίους, Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ ὁ υἱὸς, ἐὰν μὴ ἴδῃ τὸν πατέρα ποιοῦντα. Καὶ οὐχ ὅτι πρῶτον ὁρᾷ, ἔπειτα πράττει, ἀλλὰ πάντα ἐν ἑαυτῷ ἔχει, καὶ πράττει ἃ βούλεται.

Κεφ. ε'. Πῶς οὖν ταῦτα ἔσται, ὦ Φωτεινέ; ἢ τίς ὁ ἐν σοὶ πάλιν ἡμῖν προβαλλόμενος τοῦτο τὸ ζιζάνιον; τίς ὁ τὸ δηλητήριον τοῦτο κατασκευάσας τῷ βίῳ; πόθεν τὸ πονηρόν σοι ἐνθυμεῖσθαι κατὰ τοῦ κυρίου σου βλάσφημον λαβεῖν ὑπόνοιαν; Οὐκ ἔπεισέ σε Ἀβραάμ, φάσκων πρὸς αὐτὸν καὶ λέγων, Ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν; Ἐλέγχθητι γὰρ ὡς παρ' αὐτῷ ὁ υἱὸς ἐπεδήμησε, καὶ οὐ προφορά τις ὤν, ἀλλ' ἐνυπόστατος θεὸς λόγος. Καὶ ὅπως γνῴης, ὦ ἐθελόσοφε, τὸ πέρας τῶν ἐν ταύτῃ τῇ ὑποθέσει πεπραγματευμένων, ὡς ἐν τῇ θείᾳ γραφῇ ἐπισφραγισάμενος τὸ τέλειον ἡμῖν ἀπεφήνατο
pag. 833. φάσκων ὅτι, Ἔβρεξε κύριος ἀπ' οὐρανοῦ πῦρ καὶ θεῖον ἐπὶ Σόδομα καὶ Γόμοῤῥα παρὰ κυρίου, καὶ οὐκ εἶπεν, Ὁ λόγος τοῦ κυρίου, ἀλλὰ, Κύριος παρὰ κυρίου· ὡς καὶ Δαβὶδ λέγει, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, καὶ ἵνα [1] ὅτι οὐ μετὰ τὴν ἔνσαρκον παρουσίαν ὁ υἱὸς μόνον εὑρίσκεται διηγεῖται, καὶ περὶ τῆς ἀπ' ἀρχῆς ὅτι, Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε. Καὶ περὶ τοῦ ἁγίου πνεύματος, ὦ περιττολόγε, καὶ ἐν ἀργοῖς καὶ περιέργοις ταττόμενε, οὐδεὶς δέξεταί σου τὸν λόγον. Οὔτε γὰρ μειζότερον τὸ πνεῦμα, οὔτε μικρότερον. Τίς γὰρ ταῦτα ἐξεζήτησε, φησὶν, ἐκ τῶν χειρῶν ὑμῶν; Ἐλέγχει σε δὲ ὁ αὐτὸς ἅγιος λόγος, ὡς φάσκει κύριος περὶ τοῦ πνεύματος τοῦ ἁγίου· ὁμολογῶν αὐτὸ γνήσιον τῆς αὐτοῦ θεότητός φησι, Τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ ἐμοῦ λήψεται.

Κεφ. ϛ'. Καὶ πόσαι ἄλλαι τυγχάνουσι μαρτυρίαι; ἐπειδὴ δὲ πᾶσιν ἡ σὴ ἐρεσχελία δῆλός ἐστι πλάνης οὖσα καὶ οὐκ ἀληθείας. Φωραθήσεται δὲ οὐ μόνον ἀπὸ συνετῶν, ἀλλὰ καὶ ἀπὸ τῶν ὀλίγων τι τῆς θείας γραφῆς τὴν ἀκολουθείαν ἐπιγινωσκόντων, δι' ἣν οὐκ ἐπιδεηθήσομαι πολλῶν [1] μαρτύρων, ἢ πολλῆς ἀνατροπῆς· εὐάλωτον γάρ σου τὸ διήγημα καὶ ἡ κακοπιστία. Διὸ ἀρκετῶς [2] ἔχειν τὰ πρὸς σὲ εἰρημένα, [3] ὡς, ἀπὸ γῆς ἀναφύσαντος κνωδάλου [4] ἀτόνου τε καὶ ἀδυνάμου, τῷ ποδὶ τοῦ λόγου συντρίψας καὶ τῇ τοῦ θεοῦ λόγου ἀληθείᾳ, ἢ ὡς ἕλμιγγα,

Cap. V. — 1. *Petavius* γνῴς *desiderat. Sed nihil deerit, si* ἵνα *interpretabimur* ubi.

Cap. VI. — 1. μαρτύρων *codd. mss. uterque.* μαρτυρῶν *ed. princ.* μαρτυριῶν *ed. Petav.* 2. *Libri habent* ἔχειν.

dens, ac quid decepti homines cogitaturi aliquando forent, utque ab se quisque veritatem abiudicaturus esset intelligens, *Nihil,* inquit, *a seipso facit filius, nisi viderit patrem facientem.* Nec est quod suspicetur aliquis primum illum videre, deinde facere. Habet enim in seipso omnia, et quaecumque voluerit perficit. Ioann. 5, 19.

Quinam igitur vera haec esse, Photine, poterunt? Quis ille est, qui in te nobis rursus lolium illud disseminat? Quis illud virus in humanum genus effudit? Quis tantae tibi impietatis, ac tam conscelerаtae contumeliosaeque in deum opinionis auctor fuit? Non vel Abraamus meliorem tibi mentem persuadere potuit, qui deum sic alloquitur: *Qui iudicas omnem terram, non facies iudicium?* Illud vero redarguere te debet, quod apud ipsum versatus esse filius dicitur, non sermonis aliqua prolatio, sed deus verbum subsistens. Atque ut eorum quae in hoc negotio gesta sunt exitum intelligas, o sapientiae inanis affectator, hoc ipso in scripturae loco quod perfectum et absolutum est velut obsignans, declaravit his verbis: *Pluit dominus e coelo ignem, et sculphur in Sodomo et Gomorrha a domino.* Non dixit, Verbum domini, sed Dominus a domino. Ut et David locutus est: *Dixit dominus domino meo.* Ut autem constet non solum post incarnationem filii nomen usurpari, de eo quoque, quod a principio factum est, mentionem facit. *Ex utero,* inquit, *ante Luciferum genui te.* Iam vero de spiritu sancto nemo est, homo loquacissime, et inter otiosos curiososque numerande, qui sermones tuos aequis auribus admittat. Nam neque maior, neque minor dici potest spiritus sanctus. *Quis enim haec,* inquit, *requisivit de manibus vestris?* Quinetiam idem te sanctissimum verbum, Christus videlicet dominus condemnat; qui de spiritu sancto sic loquitur, divinitatis ut suae germanum ac participem agnoscat. Ait enim, *Qui ex patre procedit, et de meo accipiet.* Cap. V. Gen. 18, 25. Gen. 19, 24. Ps. 109, 1 et 3. Esai. 1, 17. Ioann. 15, 26.

Quam multa sunt et alia testimonia! Quae consulto praetereo, quoniam quidem tua omnibus importunitas est manifesta, quae ab errore, non a veritate, proficiscitur, adeo ut non eam modo sapientiores, sed ut illi facile deprehendant qui nonnullum sacrarum literarum usum habuerint. Quare non est quod pluribus adversus illam testimoniis aut longiori refutatione opus esse nobis arbitremur. Nihil enim narratione tua et infidelitate ad convincendum facilius. Unde quae contra te disputata sunt hactenus, satis arbitror futura, ac perinde ut insectum quoddam animal e terra emersum, et imbecillum, sic posteaquam te divini verbi ac veritatis vestigio proculcavi, Cap. VI.

3. *Suspicior scribendum esse* ὂν ὡς. *Cornarius vertit* Quapropter sufficiunt haec adversus te dicta, quem velut animalculum insectum ac impotens *cett.*
4. *Libri vulgo* ἀτόμου.

ἤτοι [5] γῆς ἐντεριώνην καταλείψω. Ἤδη γὰρ καὶ διεσκεδάσθη [6] εἰς ὀλίγον χρόνον ἡ τούτου τοῦ ἠπατημένου αἵρεσις. Ἐπὶ δὲ τὰς ἑξῆς συνήθως θεὸν ἐπικαλούμενος προελεύσομαι*).

ΚΑΤΑ ΜΑΡΚΕΛΛΙΑΝΩΝ,

πεντηκοστὴ δευτέρα, ἢ καὶ ἑπτακοστὴ δευτέρα.

Κεφ. α΄. Τῷ δὲ αὐτῷ πάλιν χρόνῳ (ὑπὸ ἓν γὰρ πάντες οὗτοι ἦσαν) Μάρκελλος γέγονεν ἐν Ἀγκύρῃ· ἔτι γὰρ καὶ δεῦρο, ἀπὸ τοῦ ἔτους τούτου, ὡς ἀπὸ δύο ἐτῶν ἐτελεύτα, ἢ πλείω ἢ ἐλάσσω. Ἐποίησε δὲ καὶ αὐτός τινα διαίρεσιν ἐν τῇ ἐκκλησίᾳ ἀπ' ἀρχῆς τοῦ αὐτοῦ χρόνου, ὀλί-
pag. 834. γην δέ τινα ἔννοιαν ὑπέφαινεν οὗτος, ἀπεικαζόμενος Σαβελλίῳ τε καὶ Ναβάτῳ ἀπὸ [1] τοῦ τῶν Ἀρειανῶν πρὸς αὐτὸν παροξυσμοῦ, δῆθεν διὰ τοῦ λογισμοῦ τῆς πρὸς τοὺς Ἀρειανοὺς ἀντιθέσεως. Ὅθεν καὶ παρά τινων βλασφημεῖται ἀπὸ μέρους, ὡς ἔφην, Σαβελλιανῶν ἐσχηκὼς τὴν ἐρεσχελίαν. Τινὲς δὲ ὑπὲρ αὐτοῦ ἀπελογήσαντο μὴ οὕτως ἔχειν, ἀλλ' ὀρθῶς αὐτὸν βεβιωκέναι, καὶ τῷ φρονήματι αὐτὸν ὀρθῶς ἔχειν διϊσχυρίζοντο. Διὸ πολλὴ περὶ τούτου ζήτησις γέγονε. Καὶ τὰ μὲν κρύφια τῆς ἐννοίας θεῷ ἔγνωσται. Οἱ δὲ ἀπ' αὐτοῦ γεγονότες καὶ κατηχηθέντες, οἱ τὴν ἐκείνου ἔννοιαν ἀγνοοῦντες, οἱ μὴ τὰ ἐκείνου ἀληθῆ διηγούμενοι, οὔτε τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν ἤθελον, ὡς ἔχει ἡ ἀλήθεια, ὅτι μία ἐστὶν ἡ θεότης, μία δοξολογία, ὁμοούσιος οὖσα ἡ τριὰς, καὶ οὐδὲν διαλλάττουσα τῆς ἰδίας δόξης, τριὰς τελεία οὖσα, καὶ μία θεότης, μία δύναμις, μία οὐσία, οὔτε συναλιφή τις οὖσα, οὔτε ὑποβεβηκυῖα. [2] Οὗτος δὲ ἐπιπλεῖστον βουλόμενός τινα λέγειν παρά τισιν, ὡς ὑπὸ τὸν Σαβέλλιον τῷ φρονήματι ἔδειξεν εἶναι. Διὸ καὶ [3] αὐτῇ ἐν αἱρέσει ἐλέγχθη καὶ ἠριθμήθη. Παραθήσομαι δὲ αὖθις καὶ τὴν ἔκθεσιν τοῦ λόγου οὗ πεποίηται Ἰουλίῳ τῷ μακαρίτῃ τῷ Ῥωμαίων ἐπισκόπῳ ὁ αὐτὸς Μάρκελλος, ὑπεραπολογούμενος δῆθεν [4] ἑαυτοῦ. Ἐκ δὲ τῆς ἀπολογίας καὶ τοῦ λιβέλλου φανήσεται ἕτερα παρὰ τὴν πίστιν τῆς ἀληθείας πεφρονηκώς. Εἰ μὴ γὰρ ἕτερα ἐφρόνησεν, ὑπὲρ ποίων εἰς ἀπολογίαν ἤρχετο, εἰ μὴ ἄρα λόγοι ἐξ αὐτοῦ ἐτέθησαν οὐκ ὀρθοὶ, καί τινας ταράξαντες εἰς ταύτην κατήγαγον τὴν ἀπολογίαν; Τοίνυν τὸ ἀντίγραφόν ἐστι τοῦτο.

5. *Vocab.* γῆς *in cod. Rhedig. erasum est.*

6. εἰς ὀλίγον χρόνον *interpretor* in breve tantum tempus duratura.

*) *Subscriptum est in utroque codice* Τέλος τὰ τοῦ Φωτεινιανῶν.

Cap. I. — 1. τούτων *ed. princ.*

2. *Cornarius vertit* Hic vero quum voluerit quaedam diffusius apud quosdam dicere, declaravit se cum Sabellio sentire.

3. *Reposui de coniectura* αὐτῇ *pro* αὐτῇ, *quod in libris est omnibus. Cornarius putavit* αὐτός; *vertit enim* quapropter etiam ipse inter haereticos numeratus est et confutatus.

4. αὐτοῦ *cod. Rhedig.*

sive lumbrici instar, aut terrae interanei, missum postremo faciam. Iam enim brevi admodum tempore illius est haeresis dissipata. Nunc implorata, ut solemus, ope dei ad reliquas haereses progrediemur.

CONTRA MARCELLIANOS,
quae est haeresis LII., sive LXXII.

Per idem tempus (nam in eandem aetatem illi omnes incidunt) Cap. I. Ancyrae Marcellus extitit, qui ad nostra usque tempora pervenit, et duobus abhinc plus minus annis obiit. Hic nonnihil in ecclesia divortii conflavit, eodem fere ut dixi tempore. Verum obscuram admodum dogmatis sui significationem dedit, cum ad Sabellii et Novati factionem adiungeretur, Arianis potissimum pro suo in illum odio hoc ipsum exprobrantibus, quod nimirum adversus Arianos contenderet. Hinc est quod a nonnullis eo nomine incessitur, quasi ad Sabellianorum cavillationes partim adhaeserit. Verum alii eidem patrocinantes verum id esse negant, e contrario vero praeclare illum vixisse ac recte sensisse confirmant. Unde magna de eo controversia conflata est. Enimvero quae in illius animo occulta fuerunt uni deo cognita sunt. Ceterum illius sectatores, et ab eo instituti, cum eius mentem ignorarent, nec quae vere ille sensisset exprimerent, tres hypostases confiteri noluerunt, uti veritas docet, quae unam censet esse divinitatem unamque gloriam et consubstantialem trinitatem, quae nihil in gloria sua diversum habeat, utpote perfecta trinitas, et una divinitas, una virtus, una essentia, neque in unum contracta aut confusa, nec ulla sui parte inferior, aut subiecta. Marcellus autem nonnullorum sententia cum aliquid amplius his astruere vellet, in Sabellii errorem incidisse visus est. Ex quo factum est ut inter haereses ista quoque recensenda ac confutanda veniret. Libet autem et illius orationem subiicere, quam purgandi sui gratia ad beatae memoriae Iulium Romanorum episcopum scripsit. Qua ex defensione et libello nonnulla contra sinceram fidem opinatum esse constabit. Etenim si nihil ab illa diversum sensisset unquam, cuiusnam rei gratia hanc illam sui purgationem institueret, nisi quaedam ab illo parum recte posita ac pronuntiata forent, quae cum aliquos perturbassent, defendendi sui atque excusandi necessitatem attulerint? Exemplum igitur epistolae sic se habet.

ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ ΜΑΡΚΕΛΛΟΥ, ΟΝ ΚΑΘΕΙΛΕΝ Η ΣΥΝΟΔΟΣ ΧΑΡΙΝ ΕΤΕΡΟΔΟΞΙΑΣ.

Κεφ. β'. *Τῷ μακαριωτάτῳ συλλειτουργῷ Ἰουλίῳ Μάρκελλος ἐν Χριστῷ χαίρειν.*

Ἐπειδή τινες τῶν καταγνωσθέντων πρότερον ἐπὶ τῷ μὴ ὀρθῶς πιστεύειν, οὓς ἐγὼ ἐν τῇ κατὰ Νικαίαν συνόδῳ διήλεγξα, κατ' ἐμοῦ γράψαι τῇ θεοσεβείᾳ σου ἐτόλμησαν, ὡς ἂν ἐμοῦ μὴ ὀρθῶς, μήτε ἐκκλησιαστικῶς φρονοῦντες, τὸ ἑαυτῶν ἔγκλημα εἰς ἐμὲ μετατεθῆναι σπουδάζοντες, τούτου ἕνεκεν ἀναγκαῖον ἡγησάμην ἀπαντήσας εἰς τὴν pag. 835. *Ῥώμην ὑπομνῆσαί σε, ἵνα τοὺς κατ' ἐμοῦ γράψαντας μεταστείλῃ ὑπὲρ τοῦ [1] ἀπαντήσαντας αὐτοὺς ἐπ' ἀμφοτέροις ἐλεγχθῆναι ὑπ' ἐμοῦ, ὅτι τε καὶ ἃ γεγράφασι κατ' ἐμοῦ, ψευδῆ ὄντα τυγχάνει, καὶ ὅτι ἔτι καὶ νῦν ἐπιμένουσι τῇ ἑαυτῶν προτέρᾳ πλάνῃ, καὶ δεινὰ κατά τε τῶν τοῦ θεοῦ ἐκκλησιῶν καὶ ἡμῶν τῶν προεστώτων αὐτῶν τετολμήκασιν. Ἐπεὶ τοίνυν ἀπαντῆσαι οὐκ [2] ἠβουλήθησαν, ἀποστείλαντός σου πρεσβυτέρους πρὸς αὐτούς, καὶ ταῦτα ἐμοῦ ἐνιαυτὸν καὶ τρεῖς ὅλους μῆνας ἐν τῇ Ῥώμῃ πεποιηκότος, ἀναγκαῖον ἡγησάμην, μέλλων ἐντεῦθεν ἐξιέναι, ἔγγραφόν σοι τὴν ἐμαυτοῦ πίστιν μετὰ πάσης ἀληθείας τῇ ἐμαυτοῦ χειρὶ γράψας ἐπιδοῦναι, ἣν ἔμαθον, ἔκ τε τῶν θείων γραφῶν ἐδιδάχθην, καὶ τῶν κακῶς ὑπ' αὐτῶν λεγομένων ὑπομνῆσαί σε, ἵνα γνῷς οἷς χρώμενοι πρὸς ἀπάτην τῶν ἀκουόντων λόγοις τὴν ἀλήθειαν κρύπτειν βούλονται. Φασὶ γὰρ μὴ ἴδιον καὶ ἀληθινὸν λόγον εἶναι τοῦ παντοκράτορος θεοῦ τὸν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀλλ' ἕτερον αὐτοῦ λόγον εἶναι, καὶ ἑτέραν σοφίαν, καὶ δύναμιν. Τοῦτον γενόμενον ὑπ' αὐτοῦ ὠνομάσθαι λόγον, καὶ σοφίαν, καὶ δύναμιν, καὶ διὰ τὸ οὕτως αὐτοὺς φρονεῖν, ἄλλην ὑπόστασιν διεστῶσαν τοῦ πατρὸς εἶναί φασιν. Ἔτι μέν τοι καὶ προϋπάρχειν τοῦ υἱοῦ τὸν πατέρα δι' ὧν γράφουσιν ἀποφαίνονται, [3] καὶ μὴ εἶναι αὐτὸν ἀληθῶς υἱὸν ἐκ τοῦ θεοῦ. Ἀλλὰ κἂν λέγουσιν ἐκ τοῦ θεοῦ, οὕτως λέγουσιν ὡς [4] καὶ τὰ πάντα. Ἔτι μὴν καὶ ὅτι ἦν ποτε [5] ὅτε οὐκ ἦν λέγειν τολμῶσι, καὶ κτίσμα αὐτὸν καὶ ποίημα εἶναι, διορίζοντες αὐτὸν ἀπὸ τοῦ πατρός. Τοὺς οὖν ταῦτα λέγοντας ἀλλοτρίους τῆς καθολικῆς ἐκκλησίας εἶναι πεπίστευμαι. Πιστεύω δὲ ἑπόμενος ταῖς θείαις γραφαῖς ὅτι εἷς θεὸς καὶ ὁ τούτου μονογενὴς υἱὸς λόγος, ὁ ἀεὶ συνυπάρχων τῷ πατρί, καὶ μηδεπώποτε ἀρχὴν τοῦ εἶναι ἐσχηκώς, ἀληθῶς ἐκ τοῦ θεοῦ ὑπάρχων,*

Cap. II. — 1. *Libri vulgo* ἀπαντήσαντος. *Quod vitium Cornarius (in versione latina) et Petavius sustulerunt.*
2. ηκολούθησαν *cod. Rhedig.*
3. καὶ *particulam, quae vulgo abest a libris, absorptam syllaba* ται *vocabuli praecedentis, de coniectura revocavi. Etiam*

EXEMPLUM EPISTOLAE MARCELLI, QUEM OB HAERESIM SYNODUS DEPOSUIT.

Beatissimo collegae Iulio Marcellus in Christo salutem. Cap. II.

Cum nonnulli ex iis qui, quod parum integre de fide sentirent, antea condemnati sunt, quique a me in Nicaena synodo convicti sunt, contra me ad pietatem tuam scribere non dubitaverint, me nec recte, nec cum ecclesiae doctrina consentanee de fide statuere, uti crimen suum in me transferrent, propterea necessario Romam mihi veniendum, et te commonendum putavi, ut eos qui contra me scripserunt arcesseres; ut cum advenissent, de duobus illis a me convincerentur, cum illa ipsa falsa esse quae in me scripserunt, tum eos adhuc in pristino errore perseverare et indigna quaedam adversus ecclesias dei ac nos ipsos illarum praesides esse machinatos. Sed cum illi venire noluerint, tametsi presbyteros ad ipsos miseris, ego vero anno integro ac tribus mensibus Romae commoratus fuerim, faciendum mihi omnino censui, ut ante quam hinc proficiscerer, meae fidei professionem tibi sincere atque ex animo, meaque manu perscriptam offerrem; qualem didici atque ex divinis literis sum edoctus, et ut in memoriam tibi revocarem quae perperam ab illis asseruntur; ex quibus intelligeres quibusnam ad auditores decipiendos adhibitis sermonibus veritatem occultare conantur. Inprimis enim negant dominum nostrum Iesum Christum proprium ac verum dei omnipotentis esse verbum. Sed aliud ipsius esse verbum, aliam sapientiam et virtutem esse praedicant. Illum vero, postquam in lucem sit editus, ab ipso verbum, et sapientiam, virtutemque nominatum. Quod cum sentiant, aliam a patre diversam hypostasim esse illum existimant. Praeterea patrem ante filium existere, ex his quae scribunt manifeste declarant, nec ipsum vere esse filium a patre procedentem. Sed etsi a deo esse dicant, perinde illum arbitrantur ac cetera omnia creata proficisci. Ad haec, fuisse aliquando cum nondum esset affirmare non dubitant, adeoque creaturam et opificium esse; quem etiam a patre seiungunt. Ego vero qui haec asserunt ab ecclesia catholica alienos esse persuasum habeo. Tum sacris literis inhaerens credo unum esse deum et unigenitum eius filium verbum, qui cum patre semper existit, nec existendi initium ullum unquam habuit. Idem revera a deo procedens, non

Cornarius vertit et non esse ipsum vere filium ex deo.

4. καὶ τὰ πάντα *correxit C. H. G. Rettberg in Marcellianis Gottingiae* 1794. *editis*, *p.* 107. *Vulgo extat* κατὰ πάντα.

5. ὅτε *codd. mss. uterque.* ὅτι *editi libri.*

οὐ κτισθεὶς, οὐ ποιηθεὶς, ἀλλὰ ἀεὶ ὢν, ἀεὶ συμβασιλεύων τῷ θεῷ καὶ πατρὶ, οὗ τῆς βασιλείας κατὰ τὴν τοῦ ἀποστόλου μαρτυρίαν οὐκ ἔσται τέλος. Οὗτος υἱὸς, οὗτος δύναμις, οὗτος σοφία, οὗτος ἴδιος καὶ ἀληθὴς τοῦ θεοῦ λόγος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀδιαίρε-
pag. 836. τος δύναμις τοῦ θεοῦ, δι' οὗ τὰ πάντα τὰ γενόμενα γέγονε, καθὼς τὸ εὐαγγέλιον μαρτυρεῖ, [6] λέγον, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Οὗτός ἐστιν ὁ λόγος περὶ οὗ καὶ Λουκᾶς ὁ εὐαγγελιστὴς μαρτυρεῖ, λέγων, Καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπαρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. Περὶ τούτου καὶ Δαβὶδ ἔφη, Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Οὕτω καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡμᾶς διδάσκει διὰ τοῦ εὐαγγελίου, [7] λέγων, Ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω. Οὗτος ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθὼν διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ ἐκ τῆς παρθένου Μαρίας γεννηθεὶς, τὸν ἄνθρωπον ἔλαβε.

Κεφ. γ'. Πιστεύω οὖν [1] εἰς θεὸν παντοκράτορα, καὶ εἰς Χριστὸν Ἰησοῦν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν κύριον ἡμῶν, τὸν γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, τὸν ἐπὶ Ποντίου Πιλάτου σταυρωθέντα, καὶ ταφέντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ τῶν νεκρῶν, ἀναβάντα εἰς τοὺς οὐρανοὺς, καὶ καθήμενον ἐν δεξιᾷ τοῦ πατρὸς, ὅθεν ἔρχεται κρίνειν ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα, ἁγίαν ἐκκλησίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. Ἀδιαίρετον εἶναι τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ παρὰ τῶν θείων μεμαθήκαμεν γραφῶν. Εἰ γάρ τις χωρίζει τὸν υἱὸν, τουτέστι τὸν λόγον τοῦ παντοκράτορος θεοῦ, ἀνάγκη αὐτὸν ἢ δύο θεοὺς εἶναι νομίζειν, ὅπερ ἀλλότριον τῆς θείας διδασκαλίας εἶναι νενόμισται, ἢ τὸν λόγον μὴ εἶναι θεὸν ὁμολογεῖν, ὅπερ καὶ αὐτὸ ἀλλότριον τῆς ὀρθῆς πίστεως εἶναι φαίνεται, τοῦ [2] εὐαγγελιστοῦ λέγοντος, Καὶ θεὸς ἦν ὁ λόγος. Ἐγὼ δὲ ἀκριβῶς μεμάθηκα ὅτι ἀδιαίρετος καὶ ἀχώριστός ἐστιν ἡ δύναμις τοῦ πατρὸς ὁ υἱός. Αὐτὸς γὰρ ὁ σωτὴρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός φησι, Ἐν ἐμοὶ ὁ πατὴρ, κἀγὼ ἐν τῷ πατρί· καὶ, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ, Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα. Ταύτην καὶ παρὰ τῶν θείων γραφῶν εἰληφὼς τὴν πίστιν, καὶ παρὰ τῶν κατὰ θεὸν προγόνων διδαχθεὶς, ἔν τε τῇ τοῦ θεοῦ ἐκκλησίᾳ κηρύττω, καὶ πρὸς σὲ νῦν γέγραφα, τὸ ἀντίγραφον τούτου παρ' ἐμαυτῷ κατασχών. Καὶ ἀξιῶ τὸ ἀντίτυπόν σε τούτου τῇ πρὸς τοὺς ἐπισκόπους ἐπιστολῇ ἐγγράψαι, ἵνα μή τινες τῶν ἀκριβῶς μὴ εἰδότων ἡμᾶς κἀκείνοις τοῖς ὑπ' αὐτῶν γραφεῖσι προσέχοντες ἀπατηθῶσιν. Ἔρρωσθε.

Πεπλήρωται.

creatus, non factus, sed existens semper, ac cum deo patre perpetuo regnans. *Cuius regni, ut testatur apostolus, non erit finis.* Luc. 1, 33.
Hic ipse filius, ipse virtus, ipse sapientia, ipse proprium, verumque dei verbum, dominus noster Iesus Christus, indivisa dei virtus; per quem creata omnia producta sunt, ut evangelium docet. *In principio,* inquit, *erat verbum, et verbum erat apud deum, et deus* Ioann. 1, 1.
erat verbum: omnia per ipsum facta sunt, et sine ipso factum est nihil. Hoc demum verbum est de quo Lucas evangelista testatur.
Sicut, inquit, *tradiderunt nobis qui ab initio inspectores et ministri* Luc. 1, 2.
fuere verbi. Ad eundem etiam David respexit, cum ita cecinit:
Eructavit cor meum verbum bonum. Sic et dominus noster Iesus Chri- Psalm. 44, 2.
stus in evangelio nos docuit: *Ego,* inquit, *a patre exivi, et venio.* Ioann. 16, 28.
Hic est qui postremis temporibus nostrae salutis gratia descendens et ex virgine Maria genitus hominem suscepit.

Credo igitur in deum omnipotentem, et in Christum Iesum Cap. III.
ipsius filium unigenitum dominum nostrum, genitum de spiritu sancto, et Maria virgine. Qui sub Pontio Pilato crucifixus est et sepultus, et tertia die resurrexit a mortuis. Ascendit in coelum, et sedet ad dexteram patris; unde venturus est iudicare vivos et mortuos. Et in spiritum sanctum, sanctam ecclesiam, remissionem peccatorum, carnis resurrectionem, vitam aeternam. Iam patris et filii divinitatem dividi non posse e sacris literis didicimus. Nam si quis filium, hoc est omnipotentis dei verbum, separare voluerit, necesse est ut aut duos esse deos arbitretur, id quod a coelesti doctrina confessione omnium abhorret, aut verbum esse deum inficietur, quod et ipsum ab sincera fide videtur alienum, cum evangelista dicat, *Et deus erat verbum.* Ego vero certo illud didici, virtutem patris, hoc est filium, neque dividi, neque separari posse. Ita enim salvator ac dominus noster Iesus Christus loquitur: *In me pa-* Ioann. 14, 10.
ter, et ego in patre, item: *Ego et pater unum sumus,* et, *Qui videt* Ioann. 10, 30.
me, videt et patrem. Hanc igitur quam et a sacris literis accepimus, et a maioribus nostris secundum deum didicimus, fidem cum in ecclesia dei praedico, tum ad te modo perscribo, eiusque penes me exemplar retinui. Postremo illud a te peto, ut eiusdem meae professionis exemplum tuis ad episcopos literis inseras; ne quis eorum, quibus accurate perspecti non sumus, illorum de me scriptis fidem adhibens in errorem inducatur. Valete.

Hactenus epistola.

6. λέγων *codd. mss. uterque et ed. princ.*
7. λέγων *om. cod. Rhedig.*

Cap. III. — 1. εἰς *non agnoscit cod. Rhedig.*
2. εὐαγγελίου *cod. Rhedig.*

pag. 837. Κεφ. δ΄. Εἰ τοίνυν ὁ λίβελλος οὗτος καλῶς ἔχει, οἱ δυνάμενοι ἀναγνώτωσαν, καὶ οἱ δυνάμενοι ἀκριβῶσαι τὰ ἐν αὐτῷ εἰρημένα· καὶ εἰ μὲν καλῶς ἔχει, αὐτοὶ διακρινέτωσαν. Οὐ γὰρ βουλόμεθα [1] πέρα ὧν ἐπιστάμεθα, καὶ τῶν εἰς ἡμᾶς ἐλθόντων λέγειν. Εἰ γὰρ καὶ καλῶς ἔχει ὁ λίβελλος ἐκ τῆς ὑποθέσεως, πάλιν διανοηθήσονται οἱ ἐντυγχάνοντές τε καὶ ἀκούοντες ὅτι οὐκ εἰς μάτην, οὔτε εἰς ἀργότητα, οὔτε κατ' ἐκείνου ἐγίνετο αὐτῷ ἀνάγκη ἀπολογίας, εἰ μὴ ἄρα ἐξήμεσε λόγους τινὰς ταράσσοντας, καὶ ἀναγκάσαντας αὐτὸν εἰς ἀπολογίαν ἥκειν περὶ τῶν ὑπ' αὐτοῦ εἰρημένων. Συμβαίνει γὰρ καὶ μετὰ τὸ ἐσφάλθαι αὐτὸν διὰ τοῦ λιβέλλου ὑπεραπολογήσασθαι, καὶ ἑαυτὸν διορθώσασθαι· ἢ ὅτι μὲν τῷ λιβέλλῳ ἐκόσμησεν αὐτοῦ τοὺς λόγους, ἵνα παρακρύψῃ τὰ ὑπ' αὐτοῦ ῥηθέντα, ἵνα μὴ ἐκπέσῃ διὰ τῆς καθαιρέσεως τοῦ κοινοῦ τῶν ἐπισκόπων συλλόγου τε καὶ τοῦ κανόνος. Ὅμως τὰ περὶ Μαρκέλλου εἰς ἡμᾶς ἐλθόντα ταῦτα. Ἠρόμην δὲ αὐτὸς ἐγὼ χρόνῳ τινὶ τὸν μακαρίτην πάπαν Ἀθανάσιον περὶ τούτου τοῦ Μαρκέλλου, πῶς ἂν ἔχοι περὶ αὐτοῦ. Ὁ δὲ οὔτε ὑπεραπελογήσατο, οὔτε πάλιν πρὸς αὐτὸν ἀπεχθῶς ἠνέχθη, μόνον δὲ διὰ τοῦ προσώπου μειδιάσας ὑπέφηνε, μοχθηρίας μὴ μακρὰν αὐτὸν εἶναι, καὶ ὡς ἀπολογησάμενον εἶχε.

Κεφ. ε΄. Παραθήσομαι δὲ ἅτινά τινες [1] εὑρόντες ἐν τοῖς αὐτοῦ Μαρκέλλου συντάγμασιν, ἃ ἐδόκει ἐπιλήψιμα αὐτοῖς φαίνεσθαι, πρὸς ὃν ἀποτεινόμενοι καὶ αὐτοὶ ἀντισυνέταξαν. [2] Ὑπὸ δὲ ἄλλων πάλιν διὰ τὸ τοὺς [3] ἀντισυντάξας, ὕστερον εἰς ἄλλο τραπέντας ἐλέγχου χάριν, τὰ ἀντισυνταχθέντα ὑπ' αὐτῶν προβαλλόμενοι ἐδείκνυον, καὶ ἐν τοῖς σφῶν αὐτῶν συντάγμασι κατὰ τὰς [4] γενομένας διαιρέσεις ἀναμέσον τῶν περὶ Ἀκάκιον καὶ Βασίλειον τὸν Γαλάτην καὶ Γεώργιον τὸν Λαοδικείας ἐποιήσαντο πρὸς ἔλεγχον τοῦ αὐτοῦ Ἀκακίου. Οὗτος γὰρ ἦν ὁ ἀπὸ τοῦ Μαρκέλλου συνταγμάτων κατὰ Μαρκέλλου εἰπὼν, ἵνα ἐν πᾶσιν ἡμεῖς τῆς ἀληθείας μηδὲν παραλείψαντες δείξωμεν ὅτι οὔτε ἀπευχόμεθα τὰ πρὸς διόρθωσιν, οὔτε συναινεῖν βουλόμεθα τοῖς τι παρὰ τὸ ἀληθινὸν ἐπιχειροῦσι. Καὶ ἔστι ταῦτα ἐκ τῆς Ἀκακίου πρὸς Μάρκελλον ἀντιλογίας τάδε.

Cap. IV. — 1. πέρα *codd. mss. uterque. Et Cornarius* ultra *vertit.* παρὰ *editi.*

Cap. V. — 1. *Suspicor* εὗρον *vel* εὗρον τέως *rescribendum esse pro* εὑρόντες.

2. *Petavius in marg. annotavit* „F. ἄλλοι δὲ πάλιν διὰ τούς. Locus hic corruptus.“ *Suspicor scripsisse Epiphanium* Ὑπὸ δὲ ἄλλων πάλιν, διὰ τὸ αὐτοὺς ἀντισυντάξαι, ὕστερον εἰς ἄλλο τραπέντες κτλ., *h. e.* Ab aliis autem, quod erant contra illum commentati, in contrarias partes deducti rursus quae contra Marcellum scripserant protulerunt et ostenderunt, et cum divisiones Aca-

Ceterum an libellus iste recte se habeat, necne, legant qui possunt, et qui exactam eorum quae in eo scripta sunt intelligentiam habere possunt ecquid in eo vitii sit iudicent. Nihil enim praeterquam quod scimus et ad nos perlatum est asseverare volumus. Ac licet nihil in eo libello non castum ac sincerum sit, vel ex ipso nihilominus argumento qui hunc legunt aut audiunt cogitare debent non frustra nec temere ad hanc illum defendendi sui necessitatem venturum fuisse nisi nonnulla protulisset quae turbarum aliquid excitassent, et eo hominem adduxissent ut dictorum reddenda ratio videretur. Etenim fieri illud potuit ut post errorem per libellum sese excusaret ac corrigeret, aut ut eodem illo libello ita sermonibus suis fucum faceret, ut quae antea dixisset consulto dissimularet, ne in ordinem redigeretur, ab communi episcoporum consessu et canone depositus. Utcumque se res habeat, haec sunt quae de Marcello comparare potuimus. De quo cum aliquando beatum papam Athanasium interrogassem, cuiusmodi eum arbitraretur, ille neque purgavit hominem, neque vero asperius notavit, sed leniter arridens, non multum ab improbitate abhorruisse significavit et in eorum loco qui se purgassent habuit. Cap. IV.

Libet autem hic ea subiicere quae in Marcelli scriptis a quibusdam observata sunt, quae isti reprehendenda putaverunt; unde et in eundem invecti confutandi gratia scripserunt. Quamquam alii pro eo quod qui adversus illum commentati sunt postea contrarias ad partes desciverunt, horum ipsorum lucubrationes refutare aggressi sunt. In quibus vulgatas illas divisiones Acacium inter et Basilium Galatam et Georgium Laodicenum refutandi Acacii caussa scriptis mandarunt. Hic est enim ille qui Marcellum ex ipsiusmet libris coarguit. Quae nos ideo proposuimus, ne veritatem aliqua ex parte praeteriisse videamur. Quoniam neque de emendatione desperamus, nec iis assentiri volumus qui utcumque a veritate discedunt. Quae sequuntur igitur ex Acacii commentario contra Marcellum excerpsimus. Cap. V.

cium inter et Basilium Galatam et Georgium Laodicenum ortae essent, in suis ipsorum scriptis ad confutandum Acacium usi sunt. *Cornarius vertit* Verum ab aliis rursum demonstratum est, quod redarguendi gratia produxerunt ea quae ab ipsis contra illum composita sunt, eo quod ipsi qui contra illum scripserunt postea in aliud mutati fuerunt. Atque hi ipsi in suis ipsorum scriptis contra factas divisiones etiam hoc expresserunt, producto in medium Acacio. Sed et Basilium Galatam, et Georgium Laodicaeae episcopum constituerunt ad eundem Acacium redarguendum.

3. ἀντισυντάξας *codd. mss. et ed. princ.* ἀντισυντάξαντας *ed. Petav.*

4. γενομένας *codd. mss. uterque.* λεγομένας *editi.*

pag. 838.

ΤΑΥΤΑ ΔΙΑ ΜΑΡΚΕΛΛΟΥ.

Κεφ. ς'. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα [1] μετὰ τὴν παρεξήγησιν τῶν εἰς τὰς Παροιμίας ῥητῶν γέγραφεν ὁ Μάρκελλος, λαλῶν τε κατὰ τοῦ θεοῦ ἀδικίαν, ἐπαίρων δὲ εἰς ὕψος τὸ κέρας αὐτοῦ, γενόμενος ὑπὲρ τὰ μέσα τοῦ βιβλίου, καὶ πάλιν θεὶς Ἀστερίου τὰ λέγοντα ῥήματα, Ἄλλος μὲν γάρ ἐστιν ὁ πατὴρ ὁ γεννήσας ἐξ ἑαυτοῦ τὸν μονογενῆ [2] λόγον καὶ πρωτότοκον πάσης κτίσεως, μόνος μόνον, τέλειος τέλειον, βασιλεὺς βασιλέα, κύριος κύριον, θεὸς θεὸν, οὐσίας τε καὶ βουλῆς καὶ δυνάμεως καὶ δόξης ἀπαράλλακτον εἰκόνα· θεὶς οὖν ταῦτα καὶ δυςχεραίνων πρὸς τὴν εἰκόνα τὴν ἀπαράλλακτον, τουτέστι τὸ ἔκτυπον καὶ τρανὲς ἐκμαγεῖον τοῦ θεοῦ τῆς οὐσίας, καὶ τῶν ἑξῆς, φαύλην καλῶν τὴν ὑπόληψιν ταύτην [3] ἐπισυνάπτει τὴν δυςαρέστησιν [4] αὑτοῦ, γράφων ὧδε· Ταῦτα τὰ ῥήματα σαφῶς τὴν ἑαυτοῦ φαύλην περὶ θεότητος ἐλέγχει δόξαν. Πῶς γὰρ ὁ κύριος καὶ θεὸς γεννηθεὶς, ὡς αὐτὸς προλαβὼν ἔφη, δύναται ἔτι εἰκὼν θεοῦ εἶναι; ἕτερον γὰρ θεοῦ εἰκὼν, καὶ ἕτερον θεός. Ὥςτε εἰ μὲν εἰκὼν, οὐ κύριος, οὐδὲ θεὸς, ἀλλ' εἰκὼν κυρίου καὶ θεοῦ. Εἰ δὲ κύριος ὄντως, καὶ θεὸς ὄντως, οὐκέτι ὁ κύριος καὶ θεὸς εἰκὼν κυρίου καὶ θεοῦ εἶναι δύναται. Καὶ ἑξῆς· Οὐδὲν οὖν αὐτὸν ὧν προεῖπον εἶναι βούλεται· πάντως γὰρ τούτων εἰκόνα αὐτὸν εἶναι λέγει. Οὐκοῦν εἰ οὐσίας ἐστὶν εἰκὼν, οὐ δύναται αὐτοουσία εἶναι· καὶ εἰ βουλῆς ἐστιν εἰκὼν, οὐκέτι αὐτοβουλὴ εἶναι δύναται· καὶ εἰ δυνάμεως εἰκὼν, οὐκέτι δύναμις· καὶ εἰ δόξης εἰκὼν, οὐκέτι δόξα. Ἡ γὰρ εἰκὼν, οὐχ ἑαυτῆς, ἀλλ' ἑτέρου τινός ἐστι.

Κεφ. ζ'. Ταῦτα δὲ σὺ, Μάρκελλε, τὰ [1] ῥήματα πρότερον ἐπαινέσας ἐν ἀρχῇ τοῦ βιβλίου, νῦν δὲ ἀρνησάμενος τὸν θεὸν ἐκ θεοῦ λόγον ὄντα τὸν υἱὸν, καὶ μόνον ἐκ μόνου, καὶ τέλειον ἐκ τελείου, σαφῶς τὴν φαύλην σου περὶ θεότητος ἤλεγξας δόξαν. Τοῦ γὰρ βασιλέως τοῦ μεγάλου τὴν εἰκόνα λαβὼν ἀζωΐᾳ καὶ ἀθεότητι, ἀβουλίᾳ τε καὶ ἀδυναpag. 839. μίᾳ, καὶ ἀδοξίᾳ, καὶ τῷ ἀνουσίῳ, ἐκτετμῆσθαι τὴν ἀνοσίαν ὤφειλες γλῶτταν, εἰπὼν ῥῆμα εἰς [2] κύριον, καὶ τελευτήσας εἰς ψυχὴν οὕτως ἀσεβήσασαν. Τὴν γὰρ εἰκόνα τοῦ θεοῦ ἀζωΐᾳ περιγράψας οὔτε κύριον, οὔτε θεὸν, οὐκ οὐσίαν, οὐ βουλὴν, οὐ δύναμιν, οὐ δόξαν εἶναι ταύτην, τούτων δὲ ἀκίνητον εἰκόνα εἶναι θέλεις αὐτὴν, οἱονεὶ ἄψυχον καὶ ἄζωον ἔξω ἐκτεθεῖσαν αὐτὴν ποιῶν. Καὶ [3] ὡςαύτως

Cap. VI. — 1. μετὰ *om. in ed. Petav. Colon. repet.*

2. „Placeat forsitan θεὸν," *scripsit Rettberg in Marcellianis p. 80., ubi edidit* υἱόν.

3. ἐπισυνάπτειν *vitium est ed. Petav. Colon. repet.*

4. αὐτοῦ *codd. mss. et ed. princ.*

Cap. VII. — 1. *Vulgo extat* τὰ ῥήματα τὰ πρότερον. *Delevi alterum* τὰ, *quippe quod accrevit ex praecedente vocabulo.*

2. θεὸν *cod. Rhedig.*

EX ACACII LIBRO CONTRA MARCELLUM.

Haec et his similia Marcellus quaedam contra deum iniqua garriens, et in sublime cornu suum erigens, post suam illam proverbiorum depravationem potius quam interpretationem subiunxit. Ac primum haec Asterii verba proponit: Alius est enim pater, qui unicum ex seipso filium verbum genuit, *primogenitum creaturae omnis,* solus solum, perfectus perfectum, rex regem, dominus dominum, deus deum, essentiae consiliique sui, ac virtutis et gloriae nulla in re discrepantem imaginem. Quibus in mediis adductis hoc potissimum offensus, quod *nulla in re discrepantem imaginem* appellarit, hoc est divinae essentiae ac ceterorum omnium expressam, et evidentem imaginem, istiusmodi sententiam improbandam esse dicit, atque hisce verbis quantum sibi illa displiceant ostendit. Haec Asterii verba manifeste pravam eius de divinitate sententiam arguunt. Etenim qui fieri potest ut dominus ac deus ille, qui sit genitus, ut ipsemet antea scripsit, dei imago censeatur? Aliud enim est imago dei, aliud deus. Quare si imago dei est, non est dominus aut deus, sed imago domini ac dei. Sin revera dominus est ac deus, qui eiusmodi est, dei ac domini imago esse non potest. Subdit postea: Nihil igitur illorum, quae dixi, esse putat ipsum, cum eorum imaginem esse definiat. Unde si essentiae verbi gratia imago sit, ipsamet essentia non erit, neque si consilii sit imago, ipsummet esse consilium poterit. Si virtutis est imago, virtus non est, neque gloria, si huius imago sit. Imago enim non sui, sed alicuius alterius est. Cap. VI. Col. 1, 15.

Haec tu, Marcelle, verba, cum anteo initio libri collaudaveris, nunc autem inficieris, nimirum deum ex deo verbum esse filium, et solum ex solo, et ex perfecto perfectum, perspicue sinistram tuam de divinitate sententiam detegis. Cumque magni regis imaginem capiens vita, divinitate, consilio, potentia, gloria, essentia denique spoliaris, dignus es cui impia lingua praecidatur, quandoquidem consceleratam in deum vocem iecisti ac tam sacrilegum animi sensum postremo prodidisti. Nam qui dei imaginem mutam ac vita carentem finxisti, hanc tu neque dominum, neque deum, nec essentiam, nec consilium, neque virtutem, neque gloriam esse iudicas, sed horum omnium immobilem effigiem, quae nec anima, neque vita praedita sit, velut foras expositam arbitraris, atque ita Cap. VII.

3. *ὡσαύτως scripsi Cornarium (qui vertit* similiter) *et Petavium secutus. Libri tam scripti quam editi habent* ὡς αὐτός.

ἄψυχον καὶ ἀνθρωπίνῃ τέχνῃ μόνῃ συνεστῶσαν, ζῶντος δὲ ζῶσαν οὐ θέλεις εἶναι τὴν εἰκόνα τοῦ θεοῦ, οὐδὲ οὐσίας οὐσίαν εἰκόνα, οὐδὲ βουλῆς καὶ δυνάμεως καὶ δόξης βουλὴν καὶ δύναμιν καὶ δόξαν ἀπαραλλάκτως εἰκόνα. Τὸ δὲ ἀπαραλλάκτως εἰπεῖν οὐχ οἷόν τι καὶ ἀγεννήτως, ἀλλ' ὅτι ἐκτυπῶς καὶ ἀκριβῶς ὡμοιωμένην πρὸς πατρικὴν ἀγαθότητα καὶ θεότητα καὶ πᾶσαν ἐνέργειαν. Καὶ μεθ' ἕτερα. Ἔδει δέ σοι ἄλαλα γενηθῆναι [4] τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ θεοῦ ἀδικίαν ἐν [5] ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Καὶ γὰρ μόνος μόνον ἐγέννησεν ὁ πατὴρ τὸν μονογενῆ, κἂν σὺ μὴ [6] θέλῃς, νῦν ἄλλο τι θέλων, οὐκ ἐξ αἰτίας τῶν Αἰώνων Οὐαλεντίνου τὴν πάροδον λαβόντος τοῦ υἱοῦ, ἀλλ' ἐκ μόνου πατρὸς τὴν γέννησιν ἔχοντος. Καὶ τέλειος τέλειον· ἀτελὲς γὰρ οὐδὲν ἐν πατρὶ, διὸ οὐδὲ ἐν υἱῷ, ἀλλὰ τῆς ἐκείνου τελειότητος καὶ ὑπερτελειότητος γέννημα γνήσιον τοῦ υἱοῦ τελειότης. Καὶ βασιλεὺς [7] βασιλέα· εὐσεβὲς γὰρ τὸν θεὸν βασιλεύειν, πρὸ τῶν αἰώνων γεννηθέντος τοῦ υἱοῦ, καὶ βασιλευομένου βασιλέως, δι' οὗ καὶ τὰ λοιπὰ βασιλεύεται, εὐχαρίστως ὁμολογοῦντος τὴν ὑποταγήν. Οὐκ ἰδιώτην γὰρ, ἀλλὰ βασιλέα γεγέννηκεν ὁ πατὴρ τῆς βασιλείας αὐτοῦ, οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος ἐχούσης. Οὐ γὰρ ἔξωθεν τὸ ἀξίωμα, εἰς οὐσίαν δὲ αὐτῷ συντελεῖ, ὁμοίως πατρὶ γεννήσαντι. Διὸ καὶ γέγραπται τὸ, Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Οὕτως δὲ καὶ κύριος κύριον, καὶ θεὸς θεὸν γεννᾶν παρ' ἡμῶν ὡμολόγηται. Καὶ ἁπλῶς εἰπεῖν, οὐσίας καὶ βουλῆς καὶ δυνάμεως καὶ δόξης εἰκόνα λέγομεν, οὐκ ἄψυχον καὶ νεκρὰν, ἀλλ' οὐσιώδη καὶ βουλητικὴν καὶ δυνατὴν καὶ ἔνδοξον. Δύναμις γὰρ οὐκ ἀδυναμίαν γεννᾷ, [8] ἀλλὰ
pag. 840. αὐτοδύναμιν· καὶ δόξα οὐκ ἀδοξίαν γεννᾷ, ἀλλὰ αὐτοδόξαν· καὶ βουλὴ οὐκ ἀβουλίαν γεννᾷ, ἀλλὰ αὐτοβουλήν· καὶ οὐσία οὐ τὸ [9] ὁμοούσιον, ἀλλὰ αὐτοούσιον. Εἰκὼν ἄρα ἐστὶν ὁ λόγος, θεὸς, ζῶσα σοφία, ὑποστατικὴ, λόγος [10] ἐνεργὴς, καὶ υἱὸς, αὕτη οὐσιωμένη. Αὕτη γὰρ ᾗ προσέχαιρε καθ' ἡμέραν ὁ θεὸς, ὅτε εὐφραίνετο τὴν οἰκουμένην συντελέσας. Σὺ δὲ, Μάρκελλε, ταῦτα ἀρνούμενος ἔμπροσθεν τῶν ἀνθρώπων ἀρνηθήσῃ μὲν ὑπ' αὐτῆς ἐκείνης ἔμπροσθεν τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, ἀρνηθήσῃ δὲ καὶ ἔμπροσθεν τῆς ἐκκλησίας τῆς ὑπὸ τὸν οὐρανὸν γραφούσης περὶ σοῦ πανταχοῦ τῇ γῇ, Ἄκουε λόγον κυρίου, γράψον τὸν ἄνδρα τοῦτον, ἐκκήρυκτον ἄνθρωπον, ὅτι

4. *Verba* τὰ χείλη *absunt ab utroque codd. mss. et ab ed. princ.*

5. ὑπερηφανίᾳ (ὑπρη-φαι' cod. Ien.) codd. mss. ὑπερηφανείᾳ editi.

6. θέλῃς cod. Rhedig. θέλ^ς cod. Ien. θέλεις editi.

7. βασιλε^ω (i. e. βασιλέως) cod. Rhedig. βασιλέα (βασιλε' cod. Ien.) reliqui libri.

8. ἀλλ' cod. Rhedig.

9. *Petavius suspicatus est* ἀνούσιον. *Nam in annotatiuncula eius editionis margini adscripta* „Corn. ἀνούσιον" *vocabulum breviatum* Corn. *haud dubie vitio typographi laborat, cum certe Cornarium neque in graeca Epiphanii editione,*

inanimam, et humana solum arte constantem. Viventis autem dei viventem imaginem esse negas, aut essentiam essentiae, aut consilii, virtutis ac gloriae, consilium, virtutem ac gloriam; ut haec imago ab eo cuius imago est nulla in re discrepet. Iam cum nulla re discrepare dicitur, non perinde est ac si ingenitam esse fateremini, sed illud solum ostenditur, ad paternae bonitatis et divinitatis et actionis omnis exemplar exactissime absolutissimeque esse illam expressam. Deinde paulo post: *Muta tua illa esse dolosa labia oportebat, quae loquuntur adversus deum iniustitiam cum superbia et contemptu.* Psalm. 30, 19. Etenim solus solum pater unicum filium genuit. Quamvis minime id tibi placeat, cui aliud modo placet. Neque vero a quodam Valentinianorum Aeonum principio filius processit, sed a solo patre genitus est; item perfectus perfectum genuit. Nihil enim inest imperfectum in patre; ideo nec in filio potest inesse, cum illius perfectionis quae perfectionem omnem superat germanus foetus sit filii perfectio. Sed et rex regem genuit. Pietate quippe consentaneum est regnare deum; cum interim genitus ante saecula filius, idemque rex regno alterius subiectus, per quem ipsius regno cetera subiacent, subiectum se esse grato animo fateatur. Non enim privatum, sed regem illum genuit regni sui pater; quod neque temporis initio, neque vitae fine circumscriptum est. Quoniam eius dignitas non extrinsecus adscita, sed ut in patre, a quo genitus est, ad essentiam ipsam pertinet. Ob id scriptum illud est, *Et regni illius non erit finis.* Luc. 1, 33. Eodem modo et dominus dominum, et deus deum, uti nos asserimus, genuit. Atque, ut uno verbo definiam, essentiae, consilii, virtutis, et gloriae non mutam ac mortuam imaginem, sed essentia consultandique vi praeditam, ac potentem, et gloriosam esse defendimus. Virtus enim imbecillitatem non generat, sed ipsam per sese virtutem. Ita gloria non ignobilitatem, sed gloriam; consilium non consilii expers aliquid, sed et ipsum consilium; essentia denique non essentia carens aliquid, sed essentiam gignit. Quare verbum ipsum imago deus est, vivensque sapientia subsistens, verbum efficax, et filius, eademque illa sapientia essentiam habet. Haec enim est qua se quotidie *deus oblectabat, cum absoluto terrarum orbe gaudebat.* Prov. 8, 30 Quae quidem omnia cum tu, Marcelle, coram hominibus neges, *negabit et illa te coram patre, qui in coelis est.* Matth. 10, 33. Negaberis vero praeterea et coram ecclesia, quae sub coelo est, quae ubique terrarum de te scribit, *Audi verbum domini*: Ier. 22, 30.

neque in latina illam scripturam tueri videamus. Excudendum igitur erat Corr., *h. e.* Corrige. 10. ἐναργής *codd. mss. uterque.*

οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ, καθήμενος ἐπὶ θρόνου Δαβίδ.

Κεφ. η'. [1] *Καὶ μεθ' ἕτερα μνημονεύσαντος Μαρκέλλου τῶν Ἀστερίου ῥητῶν, ἐπιφέρει λέγων·*

Θεὶς οὖν ταῦτα, καὶ χωρῶν τῇ ἀρνήσει [2] τῆς τοῦ σωτῆρος ἡμῶν εἰκόνος καὶ οὐσίας, καὶ τῆς μονογενοῦς υἱότητος ἐκ πατρὸς, καὶ τῶν πρωτοτοκίων πάσης κτίσεως, καὶ τῆς ἐκ μονογενοῦς μονότητος, καὶ τῆς ἐκ τελείου τελειότητος, καὶ τῆς ἐκ βασιλέως βασιλείας, καὶ τῆς ἐκ κυρίου κυριότητος, καὶ τῆς ἐκ θεοῦ θεότητος, οὐσίας τε ἁπλῶς, καὶ βουλῆς, καὶ δυνάμεως, καὶ δόξης θεοῦ εἰκόνος ἀπαραλλάκτου, οὐ μικροῖς λόγοις ἀρνούμενος ἔμπροσθεν τῶν ἀνθρώπων, διὸ καὶ ἀρνηθησόμενος ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ, ἄντικρυς ταῦτα γράφεις. Ταῦτα τὰ ῥήματα σαφῶς τὴν φαύλην αὐτοῦ περὶ θεότητος πατρὸς καὶ υἱοῦ παρίστησι δόξαν. Ἡ δὲ τούτων ἄρνησις τὴν σὴν ἐνδιάστροφον καὶ φαύλην περὶ θεότητος καὶ οὐσίας Χριστοῦ, σαφῶς ἤλεγξεν ἑτεροδοξίαν.

Κεφ. θ'. [1] *Καὶ μεθ' ἕτερα ἐπιφέρει τὰ Μαρκέλλου.*

Ἕωλα οὖν τὰ ἑξῆς ἐπιφέρει γράφων· Οὐδὲν αὐτῶν ὧν προεῖπεν εἶναι βούλεται. Πάντων γὰρ τούτων εἰκόνα αὐτὸν εἶναι λέγεις. Οὐκοῦν εἰ οὐσίας ἐστὶν εἰκὼν, οὐκέτι αὐτοουσία δύναται εἶναι· καὶ εἰ βουλῆς ἐστιν εἰκὼν, οὐκέτι αὐτοβουλὴ εἶναι δύναται· καὶ εἰ δυνάμεως, οὐκέτι δύναμις· καὶ εἰ δόξης, οὐκέτι δόξα. Ἡ γὰρ εἰκὼν οὐχ ἑαυτῆς, ἀλλ' ἑτέρου τινὸς εἰκών ἐστιν. Ἕωλα δὲ, Μάρκελλε, καὶ ψευδῆ ταῦ-
pag. 841. *τα. Πάντα γὰρ αὐτὸν ἃ προεῖπον Ἀστέριος εἶναι βούλεται, λέγων, Βασιλεὺς βασιλέα, κύριος κύριον, θεὸς θεόν. Καὶ λύει σου τὴν ἄψυχον εἰκόνα, τὴν κατὰ σὲ ἀνθρωπίνῃ τέχνῃ συνεστῶσαν μόνῃ. Πάντων γὰρ τούτων ζῶσαν εἰκόνα λέγει, καὶ ζῶντος εἰκόνος ἐκμαγεῖον οὖσαν τοῦ γεγεννηκότος, καὶ οὐσίας αὐτοουσίαν εἰκόνα λέγει, καὶ βουλῆς αὐτοβουλὴν, καὶ δυνάμεως αὐτοδύναμιν, καὶ δόξης αὐτοδοξίαν, καὶ οὐχ ἑαυτῆς, ἀλλ' ἑτέρου [2] εἰκόνος. Σὺ δὲ θεὸν ἐκ θεοῦ τὸν υἱὸν οὐχ ὁμολογῶν, οὐδὲ φῶς ἐκ φωτὸς, οὐδὲ δύναμιν ἐκ δυνάμεως, οὔτε θεὸν, οὔτε φῶς, οὐ δύναμιν, οὐκ οὐσίαν, οὐ βουλὴν, οὐ δόξαν τὸν υἱὸν εἶναι [3] θέλων, ἀλλά τι σῶμα, ταῦτα ἀφανίζεις ἀσεβῶς ἐν τῇ συντελείᾳ μετὰ τούτου. Καὶ ἀρνῇ μὲν τὸ, Θεὸς ἦν ὁ λόγος, υἱὸν δὲ*

Cap. VIII. — 1. *Verba* Καὶ - - - λέγων *in utroque codd. mss. inscriptionis instar rubro sunt colore superscripta.*

2. τῆς τοῦ *omiss. in ed. Petav. Colon. repet.*

Cap. IX. — 1. *Verba* Καὶ - - Μαρκέλλου *in utroque codd. mss. item sunt ad inscriptionis instar posita, et minio picta.*

2. *In omnibus libris tam scriptis quam editis est* εἰκόνος.

3. *Haec de coniectura correxi. Nam in libris scriptum est vulgo* θέλεις; ἀλλὰ τὸ σῶμα ταῦτα ἀφανίζει - - μετὰ τούτων. *Verte* sed corpus aliquod, quo fit ut illa omnia (*divinitatis insignia, intell.*

scribe virum hunc abdicatum hominem; quoniam non crescet ex eius semine princeps amplius in Iuda, sedens in throno David.

Post haec cum ex Asterio Marcellus nonnulla commemorasset subiecit Acacius. Cap. VIII.

His itaque positis, longius deinde progressus imaginem salvatoris et essentiam, et unici filii ex patre, nec non et primogeniti omnis creaturae conditionem negans, atque illam eiusdem singularitatem, quae a singulari deo manat, et perfectionem a perfecto, et regiam ab rege potestatem, a domino dominatum, et divinitatem a deo, et essentiam denique ac consilium, virtutem, gloriamque nullo modo diversae imaginis dei funditus tollens, neque paucis verbis coram hominibus inficians, adeoque coram patre illius inficiandus, haec aperte scripsisti: Eiusmodi verba pravam ipsius de patris ac filii divinitate sententiam aperte demonstrant. Verum tu illis potius negandis perversam depravatamque tuam de Christi divinitate et essentia opinionem rectae fidei contrariam perspicue prodidisti.

Post haec Marcelli verba subiicit. Cap. IX.

Inepta proinde sunt quae Marcellus adiecit: Nihil eorum, quae antea commemoraverat, esse statuit; tu enim istorum omnium esse censes imaginem. Unde si essentiae imago est, ipsa esse non potest essentia. Et si consilii imago sit, consilium ipsum esse nequit; neque virtus, si virtutis; neque gloria, si quidem imago gloriae est. Nam imago non sui ipsius, sed alterius alicuius imago est. Sed haec insulsa, Marcelle, sunt ac falsa. Asterius enim omnia haec illum esse indicat quae antea numeravit, cum dixit: Rex regem, dominus dominum, deus deum. Quibus verbis tuam illam inanimam effigiem, ac solo, ut arbitraris, hominis artificio constitutam funditus evertit. Quippe illorum omnium vivam esse docet imaginem. Hoc est vivam vivi genitoris effigiem, et essentiae essentiam, et consilii consilium, virtutis virtutem, et gloriae gloriam; neque porro sui ipsius, sed alterius imaginem esse demonstrat. Tu vero cum deum ex deo filium esse nolis, neque lumen de lumine, neque virtutem ex virtute, neque deum, neque lumen, neque virtutem, nec essentiam, neque consilium, neque gloriam esse filium existimas * * * sed haec impie corpus, in fine mundi, una cum illis extinguunt. Ita Ioannis illud testimonium abnegas, *deus*

δόξαν, βουλήν *cett.*) impie una cum hoc corpore interitura esse in fine mundi censeas. *Pro* τὸ σῶμα *possit etiam* αὐτὸ σῶμα. *Petavius in marg. suae editionis adscripsit* „Haec alieno loco posita, aut corrupta sunt". *Cornarius verba ex verbis expressit ita* Verum corpus haec abolet impie in consummatione cum his.

θεοῦ καλεῖς ἢ ὀνόματι μόνῳ, ἢ [4] τῶν ἀνθρώπων, ἵν' ἑτερογενῆ γεννῶν εἴη ὁ θεὸς, θέσει γεννητὸν υἱὸν, κατὰ τὸ, Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, καὶ κατὰ τὸ, Ἐλάβετε πνεῦμα υἱοθεσίας, καὶ τὸ, Ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ. Οὐσίας οὖν, καὶ δυνάμεως, καὶ βουλῆς, καὶ δόξης ἀπαράλλακτον λέγων Ἀστέριος εἰκόνα τὸν υἱὸν τοῦ πατρὸς, πάντως οἱονεὶ τοὺς πατρικοὺς χαρακτῆρας ἐνεῖναι λέγει τῷ υἱῷ, καὶ τὰ ἐπινοούμενα τοῦ πατρὸς τετυπῶσθαι, ἢ δεδόσθαι τῷ υἱῷ, οὐκ ἄλλα παρ' αὐτὸν ὄντα. Πάντα οὖν ἃ προεῖπεν αὐτὸν εἶναι βούλεται. Οὐ γὰρ τὴν ἐν χρώμασιν εἰκόνα νοεῖ, οὐδὲ τρίτον ζωγράφον εἰςάγει, ἵνα διαφωνοῦντος πρὸς τὸν πατέρα διὰ χρωμάτων τὰς ποιότητας [5] ἀλλαχοῦ γράφῃ, καὶ τοῦτο υἱὸν [6] καλῇ. Οὕτω γὰρ σὺ νοήσας καὶ μὴ νοήσας φῄς. Οὐκοῦν εἰ οὐσίας ἐστὶν εἰκὼν, οὐ δύναται αὐτοουσία εἶναι· καὶ εἰ βουλῆς, οὐκέτι αὐτοβουλή. Καθ' ἡμᾶς γὰρ εἰ οὐσίας ἐστὶν εἰκὼν ζῶσα, αὐτοουσία δύναται εἶναι, καὶ ἔστι. Καὶ οὕτως οὐσίας οὐσίαν εἰκόνα λέγομεν, διὰ μίμησιν ὁμοιοτάτην ζωῆς τε καὶ ἐνεργείας. Οὕτω [7] δὲ καὶ βουλῆς βουλὴν εἰκόνα, τὸν μεγάλης βουλῆς ἄγγελον, καὶ δυνάμεως καὶ δόξης δύναμιν καὶ δόξαν. Καὶ τούτων παραστατικὸν τὸ, Ὥςπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως καὶ τῷ υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ, Ὥςπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωο-
pag. 842. ποιεῖ. Τὸ γὰρ Ὥςπερ, οὕτως, εἰκονικῆς ἐστι μιμήσεως καὶ ὁμοιώσεως ἀκριβὲς ἐκμαγεῖον.

Κεφ. ι'. [1] Καὶ μεθ' ἕτερα ὀλίγα· Οὐ γὰρ ὁ λόγος [2] θεός· ἀλλ' ὁ Ἰησοῦς παρέχων ζωὴν καὶ κάλλος καὶ μορφὴν, αὐτὸς ἄζωος καὶ ἀκαλλὴς καὶ ἄμορφός ἐστιν, ἐν νεκρότητι ἢ [3] τῷ μὴ εἶναι νοούμενος· ἀλλὰ πατρικοῖς χαρακτῆρσι μεμόρφωται, οὐχ ὡς ἕτερος αὐτὸς ὢν, ἑτέρους δὲ τοὺς χαρακτῆρας τῆς μορφῆς ἔχων, ἀλλ' ἐν τῷ εἶναι αὐτοῦ οἱ χαρακτῆρές εἰσι, καὶ ἐν τοῖς χαρακτῆρσι τὸ εἶναι αὐτοῦ. Ἡ δὲ εἰκὼν ἑτέρου, καὶ οὐχ ἑαυτῆς εἰκὼν οὖσα, καθὰ καὶ σὺ θέλεις, τοῦ πρωτοτύπου ἐν ἑαυτῇ τοὺς χαρακτῆρας φέρουσα τὴν ἑτερότητα παρίστησιν. Ἑτερότητα δὲ ὡς ὁμοιότητα. Οὐχ ἑαυτῆς γὰρ, ἑτέρου δέ τινος εἰκών ἐστιν οὗτος ὢν, ὅ ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. Εἰκὼν οὖν τοῦ πατρὸς ὁ υἱὸς, ζῶσα ζῶντος, ἐν κινήσει καὶ ἐνεργείᾳ, δυνάμει τε καὶ

4. *Suspicor* τινα ἀνθρώπων. *Petavius putabat* τὸν ἄνθρωπον.
5. *Scribendum* ἀλλαχῇ, *ni fallor.*
6. *Libri habent* καλεῖ. *At etiam Cornarius ita vertit ut eum* καλῇ *voluisse appareat.*
7. δὲ *om. cod. Rhedig.*
CAP. X. — 1. *Verba* Καὶ μεθ' ἕτερα ὀλίγα *in utroque codd. mss. ad inscriptionis instar sunt posita, et minio picta.*

erat verbum, filio porro dei vel nomine tenus, vel solum hominem appellas; ut diversi a se generis filium producat deus, quique sola sit adoptione filius; cuiusmodi in illis locis exprimitur, *Filios genui, et exaltavi*, item, *Accepistis spiritum adoptionis*, item, *Afferte domino, filii dei.* (Esai. 1, 2. Rom. 8, 15. Psalm. 28, 1.) Cum igitur Asterius filium paternae essentiae, virtutis, consilii, gloriaeque nulla re diversam imaginem esse velit, necesse est ut paternas, velut in filio, notas ac figuras inesse iudicaverit, eaque quae de patre animo concipiuntur in filio expressa, vel ei concessa, quae non sint ab ipso patre diversa. Ergo haec quae dixerat omnia esse vult filium. Non enim velut adumbratam coloribus imaginem cogitavit, neque tertium pictorem invexit, ut discrepantis a patre filii sic tanquam coloribus qualitates alibi exprimeret, idque ipsum appellaret filium. Hoc enim tu sive prudens, sive imprudens asseris, cum ita loqueris. Igitur si essentiae imago est, essentia ipsa esse non potest, neque consilium, si imago consilii est. Nostra vero sententia, si essentiae viva sit imago, essentia ipsa esse potest, estque revera. Atque ita essentiae imaginem esse confitemur, ad exactam vitae et actionis similitudinem expressam. Eodem modo et consilii imaginem consilium facimus, *magni scilicet consilii angelum*, (Esai. 9, 6.) ac postremo gloriae et virtutis imaginem gloriam ac virtutem esse statuimus. Quae quidem omnia his verbis a Christo declarantur: *Sicut pater habet vitam in seipso, sic dedit et filio vitam habere in seipso:* et, *Sicut pater suscitat mortuos et vivificat.* (Ioann. 5, 26. et 21.) Eiusmodi quippe voces, *Sicut, sic*, similitudinem quandam imaginis, et ad imitationem expressam effigiem demonstrant.

Deinde paucis interiectis, Non enim, inquit, divinum verbum, (Cap. X.) Iesus scilicet vitam et pulchritudinem et decorem tribuens vitae ipse ac pulchritudinis et decoris expers est, in morte, vel eo statu in quo nihil omnino sit, constitutus, sed paternas in se notas habet expressas; non quasi alter ipse sit, et aliis figurae notis praeditus, verum et in eius essentia propriae illius notae positae sunt, et in propriis notis essentia consistit. Ceterum imago cum alterius, non suimet ipsius imago sit, ut et ipse statuis, exemplaris in se figuram gerens diversitatem indicat, sed eiusmodi diversitatem quae idem ac similitudo sit. Non enim sui ipsius existens ille ipse, sed cuiuspiam alterius est imago imago, inquam, non aspectabilis dei. Patris igitur imago filius est, vivens utique viventis, motu atque effi-

2. ϑεὸς, [ἀλλ'] ὁ Ἰησοῦς *ed. Petavii. Melius fortasse quam feci distingues interrogationis signo* Οὐ γὰρ ὁ λόγος ϑεός; Ἀλλ' ὁ Ἰησοῦς, ὁ παρέχων *cett., h. e.* Nonne enim verbum deus est? Immo Iesus, quamquam ipse vitam praestet, *cett.*

3. τὸ *cod. Rhedig.*

βουλῇ καὶ δόξῃ, οὐκ ἄψυχος, οὐδὲ ἀκίνητος, ἐν ἑτέρῳ μὲν τὸ εἶναι ἔχουσα, καὶ γραφομένη, αὐτὴ μὲν ἐν ἑαυτῇ καὶ δι' ἑαυτῆς, ἐν κινήσει μὴ οὖσα. Καὶ εἰκών ἐστιν ἀπαράλλακτος, οὐ τῆς ἀπαραλλαξίας πατέρα ποιούσης, ἀλλ' υἱὸν ἀπηκριβωμένον.

[4] Πεπλήρωνται τὰ ἐνθάδε Ἀκακίου.

Νῦν δέ φασιν οἱ ὀρθόδοξοι καὶ ἀδελφοὶ ἡμέτεροι καὶ ὁμολογηταὶ παρά τινων ὑπὸ Μαρκέλλου καταλειφθέντων μαθητῶν ἔκθεσιν εἰληφέναι ὁμολογίας περὶ πίστεως ἀπολογουμένης· ἧς τὰ λεπτολογήματα αὐτὸς μὴ κατειληφὼς αὐτὴν ἐνταῦθα παρεθέμην. Καὶ ἔστι τὸ ἀντίγραφον τόδε.

Η ΕΠΙΓΡΑΦΗ *ΠΙΣΤΕΩΣ ΤΟΥ ΜΑΡΚΕΛΛΟΥ.

Κεφ. ιά. Τοῖς αἰδεσιμωτάτοις καὶ ἁγιωτάτοις ἐπισκόποις, τοῖς ἐν Διοκαισαρείᾳ ὑπερορισθεῖσιν ὑπὲρ τῆς εἰς τὸν σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν ὀρθοδόξου πίστεως, Εὐλογίῳ, Ἀδελφίῳ, Ἀλεξάνδρῳ, Ἀμμωνίῳ, Ἁρποκρατίωνι, Ἰσαάκ, Ἰσιδώρῳ, Ἀννουβίωνι, Πιτίμῳ, [1] Εὐφρατίῳ, Ἀαρώνῃ, οἱ ἀπὸ Ἀγκύρας τῆς [2] Γαλατίας πρεσβύτεροι, Φωτεινὸς, Εὐστάθιος, ἕτερος Φωτεινὸς, Σιγέριος, καὶ διάκονος Ὑγῖνος, καὶ ὑποδιάκονος Ἡρακλείδης, καὶ ἀναγνώστης Ἐλπίδιος, καὶ προστάτης Κυριακὸς, ἐν κυρίῳ χαίρειν.

pag. 843. Ἐνδεδημηκότων ἡμῶν πρὸς τὴν ὑμετέραν θεοσέβειαν ἀπὸ τῆς προειρημένης ἡμετέρας πατρίδος, τὴν προσήκουσαν ἐπίσκεψιν ποιούμενοι, καὶ ἐπερωτωμένων ἡμῶν παρὰ τῆς ὑμετέρας ὁσιότητος περὶ τῆς ἐν ἡμῖν πίστεως ὅπως ἔχομεν, καὶ ἀποδεξάμενοι ὑμῶν τὴν τοιαύτην κηδεμονικὴν πεῦσιν, ἥνπερ ἐποιήσασθε, [3] διὰ μάλιστα τοὺς βουλομένους ματαίως θρυλλεῖν περὶ ἡμῶν τινα ψευδῆ, ἀναγκαῖον ἡγησάμεθα πληροφορῆσαι ὑμᾶς περὶ τούτου, οὐ μόνον ἐκ τῶν ὑποδειχθέντων τῇ ὑμετέρᾳ ὁσιότητι παρ' ἡμῶν γραμμάτων κοινωνικῶν πρὸς ἡμᾶς γραφέντων τοῦ τρισμακαρίου πάπα Ἀθανασίου, ἀλλὰ καὶ ἐκ ταύτης ἡμῶν τῆς ἐγγράφου ὁμολογίας, ὡς ὅτι οὔτε φρονοῦμεν, οὔτε πεφρονήκαμέν τί ποτε ἐκτὸς τῆς κατὰ Νίκαιαν ὁρισθείσης οἰκουμενικῆς καὶ ἐκκλησιαστικῆς πίστεως· ἥνπερ ὁμολογοῦμεν δυνάμει ταύτην φρονεῖν, ἀναθεματίζοντες τοὺς τολμῶντας κτίσμα λέγειν τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν Ἀρειανὴν αἵρεσιν, καὶ Σαβελλίου, καὶ Φωτεινοῦ, καὶ Παύλου τοῦ Σαμοσατέως, καὶ τοὺς μὴ λέγοντας τὴν ἁγίαν τριάδα τρία πρόσωπα ἀπερίγραφα, καὶ ἐνυπόστατα, καὶ ὁμοούσια, καὶ συναΐδια, καὶ

4. *Verba* Πεπλήρωνται τὰ ἐνθάδε Ἀκακίου *in codd. mss. rubro sunt scripta. Pro* πεπλήρωνται *in cod. Rhedig. et editis est* πεπλήρονται.

ciendi vi, nec non et virtute, consilio gloriaque praedita, non anima motuque carens, aut eiusmodi quae in alio ut sit habeat, et quodammodo pingatur, in seipsa vero ac per sese minime moveatur. Cum autem imago nulla in re ab exemplari diversa dicitur, patrem exacta illa similitudo non facit, sed filium omnibus ad illud exemplar numeris expressum.

Hactenus ex Acacio.

Iam vero quidam ex orthodoxis fratribus nostris et confessoribus expositionem fidei a quibusdam Marcelli discipulis accepisse se dicunt, quae fidei suae rationem ille reddidit. Quam quidem hic adscribendam putavi, tametsi singula, quae ad illam pertinent, nondum accurate cognoverim. Exemplum vero est eiusmodi.

EXPOSITIO FIDEI MARCELLI.

Venerabilibus et sanctissimis episcopis Diocaesareae propter orthodoxam salvatoris nostri Iesu Christi fidem exulantibus, Eulogio, Adelphio, Alexandro, Ammonio, Harpocrationi, Isaaco, Isidoro, Annubioni, Pitimo, Euphratio, Aaroni, presbyteri qui Ancyrae in Galatia sunt, Photinus, Eustathius, alter Photinus, Sigerius, et diaconus Hyginus, subdiaconus Heraclides, et Elpidius lector, et Cyriacus defensor, in domino salutem. Cap. XI.

Cum ad pietatem vestram e patria nostra, pro eo ac par est, invisendi vestri gratia venissemus, interrogati a vestra sanctitate sumus, ecquid de fide sentiremus. Quam quidem sollicitudinis officiique plenam interrogationem magnopere probantes, ob eos praecipue qui falsa de nobis nonnulla temere spargunt, necessarium duximus certiores vos de tota re facere, non ex iis solum communicatoriis literis quas a beatissimo papa Athanasio ad nos scriptas vobis ostendimus, verum etiam ex ipsa professione nostra hisce literis expressa; ut illud intelligeretis, nihil nos neque sentire modo nec unquam sensisse quod ab generali et ecclesiastica fidei regula, quae in Nicaena synodo constituta est, abhorreret; quam nos pro viribus amplecti profitemur, et eos anathemate damnamus qui creaturam esse spiritum sanctum asserunt, sed et Arianam haeresim, et Sabellii, ac Photini, Paulique Samosateni, una cum iis qui sanctissimam trinitatem tres esse personas negant, nullis terminis circumscriptas, subsistentes, consubstantiales, coaeternas, et perfectas.

* πίστις τοῦ (πίστ^ς τ^ cod. *Ien.*) codd. *mss.* 2. Γαλατείας cod. *Rhedig.* γαλα^τ cod. *Ien.*

Cap. XI. — 1. Εὐφατίω cod. *Rhedig.* 3. δι' ἃ ed. *princ.*

αὐτοτελῆ, ἀναθεματίζοντες δὲ καὶ τοὺς πλατυσμὸν, ἢ συστολὴν, ἢ ἐνέργειαν τοῦ πατρὸς τὸν υἱὸν λέγοντας, καὶ τοὺς τὸν θεὸν λόγον, τὸν υἱὸν τοῦ θεοῦ, προαιώνιον, καὶ συαΐδιον τῷ πατρὶ [4] καὶ ἐνυπόστατον, καὶ αὐτοτελῆ, υἱὸν καὶ θεὸν μὴ ὁμολογοῦντας.

Κεφ. ιβ'. Εἴ τις τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα λέγει, ἀνάθεμα ἔστω. Εἴ τις ἀρχὴν ἢ τέλος τῷ υἱῷ τοῦ θεοῦ καὶ λόγῳ, ἢ τῇ βασιλείᾳ αὐτοῦ δίδωσιν, ἀνάθεμα ἔστω. Εἴ τις μέρος τοῦ πατρὸς λέγει τὸν υἱὸν, ἢ τὸ πνεῦμα τὸ ἅγιον, καὶ μὴ ὁμολογεῖ τὸν υἱὸν τοῦ θεοῦ ἐκ τῆς τοῦ πατρὸς οὐσίας πρὸ πάσης ἐπινοίας γεγενῆσθαι, ἀνάθεμα ἔστω. Περὶ δὲ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ὁμολογοῦμεν ὅτι υἱὸς τοῦ θεοῦ καὶ ἄνθρωπος γέγονε χωρὶς ἁμαρτίας, κατὰ [1] πρόςληψιν πάσης τῆς ἀνθρωπείας φύσεως, τουτέστι ψυχῆς λογικῆς καὶ νοερᾶς, καὶ σαρκὸς ἀνθρωπίνης. Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς
pag. 841. οὐσίας τοῦ πατρὸς, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. Τοὺς δὲ λέγοντας, Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὴν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. Ἐγὼ Φωτεινὸς πρεσβύτερος τῆς κατὰ Ἄγκυραν [2] καθολικῆς ἐκκλησίας οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται. Ἐγὼ Σιγέριος πρεσβύτερος τῆς αὐτῆς οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται. Ἐγὼ Ὑγῖνος διάκονος τῆς αὐτῆς οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται. Ἐγὼ Ἡρακλείδης ὑποδιάκονος τῆς αὐτῆς οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται. [3] Ἐγὼ Ἐλπίδιος ἀναγνώστης ὁ ταύτης οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται. Ἐγὼ Κυριακὸς προστάτης τῆς αὐτῆς οὕτω πιστεύω καὶ φρονῶ ὡς προγέγραπται.

Ταῦτά ἐστι τὰ ὑπ' αὐτῶν πρὸς τοὺς ὁμολογητὰς καὶ πατέρας γραφέντα. Εἰ τοίνυν δύναται παρὰ συνετῶν νοεῖσθαι ἐν καλλίοσιν ὑπάρ-

4. καὶ *om. in ed. Petav. Colon. repet.* CAP. XII. — 1. πρόςληψιν *emendarunt Cornarius (vertit enim* iuxta assumptionem totius humanae naturae) *et Petavius. Libri habent* πρόληψιν.

Eodem etiam anathemate condemnamus illos qui filium patris collationem, aut contractionem, aut actionem esse dicunt, quique divinum verbum deique filium non omnibus saeculis priorem, patrique coaeternum, ac subsistentem, perfectum denique filium, ac deum esse confitentur.

Si quis eundem patrem et filium et spiritum sanctum esse dicit, anathema sit. Si quis initium aut finem dei filio ac verbo, vel regno ipsius adscribit, anathema sit. Si quis filium vel spiritum sanctum partem esse patris asserit, neque filium dei ex patris essentia prius omni cogitatione genitum fatetur, anathema sit. Quod vero ad incarnationem divini verbi et unigeniti dei filii pertinet, confitemur filium illum esse dei hominemque factum sine peccato, posteaquam integram hominis naturam assumpsit, hoc est ratione et intelligentia praeditam animam humanamque carnem. Credimus in unum deum patrem omnipotentem, omnium visibilium invisibiliumque conditorem, et in unum dominum Iesum Christum filium dei, genitum ex patre, unigenitum, hoc est ab essentia patris, deum de deo, lumen de lumine, deum verum de deo vero, genitum, non factum, consubstantialem patri, per quem omnia facta sunt quae in coelo, quaeque in terra sunt. Qui propter nos homines, et propter nostram salutem descendit, et incarnatus est, et homo factus, et passus est, et resurrexit tertia die, ascendit in coelum, et venturus est iudicare vivos et mortuos: et in spiritum sanctum. Eos autem qui dicunt, Fuit aliquando cum non erat, et antequam gigneretur non erat, aut e nihilo, sive ex altera persona, aut essentia dicunt extitisse, sive converti mutarique posse dei filium affirmant, hos anathemate damnat catholica et apostolica ecclesia. Ego Photinus presbyter Ancyranae ecclesiae ita credo et sentio ut hic scriptum est. Ego Sigerius presbyter eiusdem ecclesiae ita credo et sentio ut hic scriptum est. Ego Hyginus diaconus eiusdem ecclesiae ita credo et sentio ut hic scriptum est. Ego Heraclides subdiaconus eiusdem ecclesiae ita credo et sentio ut hic scriptum est. Ego Elpidius lector eiusdem ecclesiae ita credo et sentio ut hic scriptum est. Ego Cyriacus defensor eiusdem ecclesiae ita credo et sentio uti hic scriptum est. Cap. XII.

Haec sunt quae ad confessores et patres illi scripserunt. Quae si in melioribus esse numeranda intelligentes iudicaverint, per me

2. καθολικῆς, *quod omissum in editis, restitui ex codd. mss. utroque.*
3. *In cod. Rhedig. subscriptio Elpidii sequitur post subscriptionem Cyriaci, hac scripturae varietate, quod* ὁμολογῶ *habet pro* φρονῶ.

χειν, καὶ δὴ οὕτω τετάχθω. Εἰ δὲ καὶ ἐκεῖσε πάλιν διὰ τῆς ἐν αὐτῇ τῇ ἀπολογίᾳ διαλογῆς ἔσφαλταί τινα τὰ οὐκ ὀρθὰ ὑπάρχοντα, πάλιν ὡςαύτως τοῖς φιλομαθέσι τετάχθω. Ὡς οὖν τῶν προειρημένων πάντων τὴν ὑφήγησιν διεξήλθομεν περὶ τοῦ αὐτοῦ Μαρκέλλου, παρελεύσομαι καὶ τοῦτον, καὶ [4] εἰς τὰς ἑξῆς διασκοπήσομαι.

ΚΑΤΑ ΗΜΙΑΡΕΙΩΝ,

πεντηκοστὴ τρίτη, ἢ καὶ ἑπτακοστὴ τρίτη.

Κεφ. α'. Ἐν τῇ τοῦ θεοῦ δυνάμει [1] τοῦ Ἀρείου τὰ σχέτλια διαῤῥήξαντες, καὶ τῶν μετ' αὐτὸν, Φωτεινοῦ τέ φημι, ἀλλὰ καὶ Μαρκέλλου, ἐν ᾧ ὀλίγῳ ἔδοξε παρασεσαλεῦσθαι, ἃ ἐξ ὑπαρχῆς ἐξήμεσεν ὡς ἐν μέθῃ, ὁ ἀνὴρ προληφθείς (γένοιτο δὲ τοὺς αὐτοῦ διορθωθῆναι, εἴ γε διορθώσοιντο), ἀλλὰ καὶ τῶν ἐξ αὐτοῦ τοῦ Ἀρείου γεγενημένων τὰ ζιζάνια διὰ τοῦ θείου λόγου τοῦ ὑπὲρ πᾶσαν μάχαιραν δίστομον τομωτέρου ἐκτεμόντες τῆς ἐξ αὐτοῦ τοῦ Ἀρείου φυείσης ὑλομανίας, διασκοπήσωμεν πῶς τινες ἡμιαρείζουσιν, ἐκείνου μὲν τὸ ὄνομα ἀρνούμενοι, αὐτὸν δὲ καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐνδεδυμένοι, προσχήματί τινι προςποιητῶς [2] ἐπιπλασσόμενοι ἑαυτοῖς τὸ πρόσωπον ἠλλοιωμένον· ὡς ἡ τῶν ἐπὶ σκηνῆς πέπλασται δραματουργία, ὥςτε προσωπίοις ἑτέροις τὰς ἑαυτῶν ὄψεις ἐπικρύπτειν, καὶ ἔνδοθεν τοῦ προςώπου τὰ τῆς κωμῳδίας αἰσχρά τε καὶ μέθης ἔμπλεα διηγεῖσθαι, ἢ ἄλλως φερόμενοι, ἢ σχηματοποιοῦντες τῶν παλαιῶν τοὺς μύθους τῶν παρ' αὐτοῖς ποιητῶν τοῦτο ἐργασαμένων. Οὕτω καὶ οὗτοι πλανᾶν ἐθέλοντες τοὺς ἀκεραίους, αὐτοὶ μέν εἰσι καὶ τῷ προσώπῳ καὶ τῷ ἤθει καὶ τῇ κακοδοξίᾳ ὁποίᾳ Ἄρειος καὶ Ἀρειομανῖται, δῆθεν δὲ καὶ κολακείας ἕνεκα ἀπατηλῆς τὴν παρ' ἐκείνοις ὁμολογουμένην ἐνδιάστροφον διδασκαλίαν κατακοσμεῖν ἐθέλοντες, κτίσμα μὲν τὸν υἱὸν τοῦ θεοῦ φασιν. Ἵνα δὲ δῆθεν ἀπατήσωσι, καὶ τῷ υἱῷ τοῦ θεοῦ τι χαρίσωνται, μετὰ θωπείας τοῖς ἀπὸ τοῦ λόγου τούτου [3] πτυρομένοις ἀγυρτωδῶς ἐπιλέγουσιν ὅτι, Οὔ φαμεν κτίσμα ὡς ἓν τῶν κτισμάτων, οὔτε γέννημα ὡς ἓν τῶν γεννημάτων. Τὸ δὲ ὁμοούσιον τέλειον ἐκβάλλουσι, δῆθεν ὡς ἀλλότριον ὂν τῆς θείας γραφῆς. Περὶ δὲ τούτων ἐν τῇ κατὰ Ἄρειον ἀκρότατα διελέχθημεν. Ἵνα δὲ [4] καὶ ὅμοιον [5] τούτῳ ῥῆμα προβάλλοιντο, οἱ περὶ Βασίλειον, φημὶ, καὶ Γεώργιον, [6] ὡς τῆς Ἡμιαρείων ταύτης τῆς αἱρέσεως προστάται, φασὶν, Οὐ λέγομεν ὁμοούσιον, ἀλλὰ ὁμοιούσιον. Ἦσαν δὲ

pag. 815.

4. εἰς *uncinis notavit Petavius.*

Cap. I. — 1. τὰ Ἀρείου τὰ σχ. διαρρήξαντες *cod. Rhedig.*

2. *Libri vulgo* ἐπιπλαζόμενοι.

3. πτυρομένοις *recepi scripturam in margine exempli Schottiani, quod penes me est, ex cod. nescio quo, siglo M. notato, adscriptam. Petavius in margine suae editionis annotavit* „γρ. πειρωμένοις. Lego πτυρωμένοις vel πυρουμένοις.“ *In codd. Ien. et Rhedig., atque in editis legitur* πυρομένοις. *Verbo* πτύρω *etiam alibi usus est Epiphanius, uti haer.* 70, 9., *cf.* 66, 61. *Cornarius vertit* cum assen-

ut eiusmodi habeantur licet. Sin in hac ipse excusatione ac disputatione titubatum ab illis nonnihil est, ac parum recte positum, suum apud eruditos locum ordinemque teneant. Postremo cum de Marcello superiorem omnem narrationem abunde instituerimus, ab hoc ad alias haereses transibimus.

ADVERSUS SEMIARIANOS, quae est haeresis LIII., sive LXXIII.

Posteaquam opitulante deo Arii, eorumque qui Ario successerunt, infelicia dogmata perrupimus, inprimisque Photini, sed et Marcelli priora illa discussimus, in quibus nonnihil titubare visus est, quaeque initio perinde atque ebrietate correptus evomuit (atque utinam illius sectatores, siquidem fieri potest, emendentur), ad haec cum exorta ab ipsomet Ario zizania verbo, *quod est omni gladio ancipiti penetrabilius*, exciderimus, considerandum modo nobis est quemadmodum, pullulante mala illa Arii fruticatione, genus quoddam emerserit sectae quam Semiarianorum vocant. Qui quidem licet illius nomen eiurent, eundem ipsum tamen, ac sceleratam illius opinionem induunt, et ementita quadam specie ac larva faciem suam obducunt ac dissimulant. Cuiusmodi histrionum in theatris esse consuevit actio, qui sub alienis vultibus delitescentes ac personati quae in comoediis turpissima et ebrietatis plena continentur edisserunt, sive veterum poëtarum fabulas gestu ipso et conformatione corporis exprimant. Sic et isti simplicioribus illudere cupientes, cum et vultu ipso et moribus et impio dogmate ab Ario Arianisque non differant, nihilominus quodam adulationis artificio perditissimam omnium confessione illorum doctrinam fucare ac dissimulare cupientes, ita dei filium creaturam est dictitant ut, quo facilius decipiant, ac videlicet dei filio gratificentur, si quos viderint ob eiusmodi sermones exturbari, circumforaneorum more statim blandiendo subiiciant, Non perinde creaturam illum facimus ac ceterarum aliquam neque foetum ceterorum instar foetuum esse dicimus. Iam *Consubstantialis* vocem tanquam a sacris literis alienam penitus explodunt. Sed de his, cum adversus Arium ageremus, accuratissime disputavimus. Ceterum, ut aliud illius simile nomen obiiciant, Basilius inprimis ac Georgius, Semiarianorum istius sectae principes, Filium, inquiunt, non ὁμοούσιον, hoc est, *consubstantialem*, sed ὁμοιούσιον, hoc est *simili*

Cap. I.

Hebr. 4, 12.

tione ad eos qui per sermonem hunc corrupti sunt praestigiatorum more dicunt, *cett.*

4. καὶ *om. cod. Rhedig.*

5. τούτων *cod. Rhedig.*

6. καὶ τῆς *vitium est ed. Petav. Colon. repet.*

οὗτοι οἱ ἀπὸ τῆς συνόδου διαιρεθέντες αὐτῆς τῆς Ἀρειομανίτιδος αἱρέσεως, ὁ αὐτὸς Βασίλειος Ἀγκυρῖνος τούτων ἀρχηγὸς, καὶ Γεώργινος ὁ Λαοδικείας [7] τῆς πρὸς Ἀντιόχειαν Δάφνης, ἤγουν Κοίλης Συρίας. Οἱ δὲ αὐτοὶ καὶ περὶ τοῦ ἁγίου πνεύματος ἴσως τοῖς Πνευματομάχοις εἰσὶν ἔχοντες. Οὐκέτι γὰρ ὡς μετὰ δυςωπήσεως, ἢ μετά τινος διστακτικοῦ λόγου, ὡς περὶ τοῦ υἱοῦ αἰσχυνόμενοι τέλειον κτίσμα αὐτὸν εἰπεῖν, ὅπερ καὶ οὕτως ἔχουσι, διὰ δὲ τὸν πρὸς ἀνθρώπους φόβον ἐπιφέρουσι τὸ ὁμοιούσιον, καὶ τὸ κτίσμα [8] οὐχ ὡς ἓν τῶν κτισμάτων, — περὶ δὲ
pag. 846. τοῦ ἁγίου πνεύματος, ὡς ἔφην, οὐ διστακτικῶς ὁρμῶνται, ἀλλ', ὡς λυσσητῆρες κύνες, ἀφειδῶς κτίσμα [9] αὐτὸ παντάπασιν ὁρίζονται, καὶ οὕτως διαβεβαιοῦνται καὶ ἀλλότριον πατρὸς καὶ υἱοῦ ὑπάρχον. Καὶ ἵνα μή τις εἴποι κατὰ συκοφάντησιν κατά τινων ἡμᾶς λέγειν, ἐνταῦθα παραθήσομαι, ὡς ἔγραψεν ἕκαστος αὐτῶν, ἐπιστολὴν, Βασίλειος μὲν μίαν, Γεώργινος δὲ ὁ Λαοδικείας ἅμα Βασιλείῳ καὶ τοῖς σὺν αὐτῷ ἄλλην. Καί εἰσιν αἵδε.

Κεφ. β΄. Ἡ ἁγία σύνοδος ἡ ἐν Ἀγκύρᾳ προσεγγίζοντος τοῦ Πάσχα ἐκ διαφόρων ἐπαρχιῶν συγκροτηθεῖσα, κυρίοις τιμιωτάτοις καὶ ὁμοψύχοις συλλειτουργοῖς τοῖς ἐν Φοινίκῃ, καὶ τοῖς λοιποῖς, τοῖς τὰ αὐτὰ ἡμῖν φρονοῦσιν, ἐν κυρίῳ χαίρειν.

Εὐχόμεθα μὲν μετὰ τὴν ὡς ἐν πυρὶ τοῖς ἐν μέσῳ γεγενημένοις ὑπὲρ τῆς πίστεως πειρασμοῖς βάσανον τῆς ἐκκλησιαστικῆς πίστεως, καὶ τὰ ἐπὶ τῆς Κωνσταντίνου πόλεως διὰ Μάρκελλον γεγενημένα, καὶ μετὰ τὴν ἔκθεσιν τῆς πίστεως ἐν τῇ συνόδῳ συγκροτηθείσης ἐπὶ τοῖς ἐγκαινίοις τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, καὶ μετὰ ταῦτα κατὰ Σαρδικὴν, καὶ τὴν ἐκεῖ αὖθις ἀνθήσασαν πίστιν, καὶ ἔτι μετὰ τὰ ἐν Σιρμίῳ ἐπὶ Φωτεινῷ γεγενημένα, [1] εἰ μὲν καὶ λογισμοῖς, οὓς ἐφ' ἑκάστῳ περὶ τῆς πίστεως κεφαλαίῳ ἐπερωτηθέντες περὶ τῶν ἐν Σαρδικῇ πρὸς τὴν ἀνατολὴν διεστώτων ἐξεθέμεθα, ἠρεμῆσαι λοιπὸν, καὶ ἑνωθείσης ἐν τῇ εὐσεβεῖ βασιλείᾳ τοῦ δεσπότου ἡμῶν [2] Κωνσταντίου τῆς ἀπὸ ἀνατολῆς ἕως δυσμῶν ἐκκλησίας, ἐκβεβλημένων τῶν σκανδάλων, εἰρηνεύειν τε καὶ ταῖς λατρείαις τοῦ θεοῦ προσανέχειν. Ἐπειδὴ δὲ, ὡς ἔοικεν, οὐ παύεται ὁ διάβολος διὰ τῶν οἰκείων σκευῶν σπουδάζων καθ' ἑαυτὸν, ἵνα δὴ πάντως τά τε [3] περὶ τοῦ κυρίου προῤῥηθέντα καὶ διὰ τοῦ ἁγίου ἀποστόλου σύμφωνα, ὡς ἐπὶ προφυλακῇ [4] τῶν πιστῶν, κηρυχθέντα εἰς ἀποστασίαν ἐργάσηται, ἐπινοῶν καινισμοὺς κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως, καὶ νῦν ἐν μορφώσει τινὰς εὐσεβείας οἰκειώσασθαι, καὶ βεβήλους καινυφωνίας δι' αὐτῶν ἐπινοῆσαι κατὰ τῆς εὐσεβοῦς γνησιότητος τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, πρότερον μὲν ἀκούοντες

7. „De hoc loco consule notas" *Petavius.*

8. οὐχ *reposui ex emendatione Cornarii* (*vertit enim is* et creaturam non ut unam ex creaturis) *et Petavii. Vulgo abest a libris*

9. αὐτῷ *cod. Rhedig.*

Cap. II. — 1. ἔτι μὴν *corrigendum*

substantia praeditum, asserimus. Atqui hi demum fuerunt qui post synodum ab insana Arianorum factione separati sunt; quorum dux Basilius Ancyranus extitit, una cum Georgio Laodiceae et Daphnes ad Antiochiam, hoc est Coelesyriae. Iidem et de spiritu sancto eadem cum illius oppugnatoribus tenent. Neque vero tergiversando aut haesitando, quemadmodum in filio quem cum absolute creaturam pronuntiare non audeant, etsi id omnino sentiant, nihilominus hominum existimationem veriti, vocem illam ὁμοιούσιον obtrudunt, et creaturam ab ceterarum conditione diversam esse definiunt, cum de spiritu sancto, inquam, agitur, non timide ac diffidenter, sed rabidorum canum more toto impetu feruntur et creaturam esse sine ulla cunctatione docent, et a patre ac filio abalienare conantur. Ac ne quis calumniari me quicquam arbitretur, utriusque hic epistolam attexam, Basilii scilicet unam, et Georgii Laodiceae, quam cum Basilio et sociis scripsit, alteram. Quae sunt eiusmodi.

Sacrosancta synodus, quae Ancyrae paulo ante Pascha variis ex provinciis collecta est, venerabilibus dominis, et concordibus eiusdem ministerii sociis, his, qui in Phoenice ceterisque locis eiusdem nobiscum fidei sunt, in domino salutem. EPISTOLA PSEUDO-SYNODI ANCYRANAE. Cap. II.

Vehementer illud quidem optabamus, ut post illam ecclesiasticae fidei probationem, quae in persecutionibus illis ob religionem conflatis sic tanquam in igne explorata fuerat et post ea quae Constantinopoli ob Marcellum acciderunt ac post expositionem fidei, quae in synodo Antiochiae propter templi dedicationem collecta proposita est, ac deinceps in Sardicensi repetita, qui fides quodammodo refloruisse videtur, denique post ea quae Syrmii propter Photinum gesta sunt, sed et post rationes illas quas de unoquoque fidei capite de Sardicensi illo Occidentalium ab Orientalibus dissidio interrogati nuper edidimus, quod reliquum est, in quiete otioque versari, et sub religiosissimo domini nostri Constantii imperio, conciliata ubique ab ortu ad occasum ecclesia, eiectisque scandalis pacem obtinere ac divinis obsequiis insistere. Sed quoniam, ut videtur, diabolus, quo scilicet omnia illa, quae a domino praedicta sunt, et ab apostolo consentanee ad fidelium cautionem de defectione praedicata, ad exitum deducat, novis quibusdam commentis contra ecclesiasticae fidei sinceritatem oppositis id agere molirique non desinit, ut nonnullis specie quadam ementitae pietatis adiunctis *profanas quasdam* 1. Timoth. 6, 20.
vocum novitates, adversus religiosam unigeniti dei filii germanitatem

putavit Petavius. Ego suspicor εἰ μή. 2. *In utroque codd. mss* Κωνσταντίνου *mihi videor legere. Etiam Cornarius vertit* Constantini.
3. παρὰ *suspicatus est Petavius. Probo.*
4. τῶν *om. cod. Rhedig.*

κατὰ τὴν Ἀντιόχειαν διατρέχειν τινὰς, ἀλλὰ καὶ [5] κατὰ τὴν Ἀλεξάν-
pag. 847. δρειαν, ἔτι τε [6] καὶ τὴν Λυδίαν, εἴτε κατὰ τὴν Ἀσίαν, καὶ ἐμβαλεῖν σπινθῆρας ἀσεβείας ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, [7] ἐλπίζομεν διὰ τὸ τολμηρὸν τῆς ἀσεβείας καὶ τοσοῦτον ἀναιδὲς αὐτῶν, ὑπερμαχούντων καὶ [8] τῶν κατὰ τόπον κυρίων συλλειτουργῶν, μαρανθῆναι τὴν [9] ἐπινοηθεῖσαν αἵρεσιν, καὶ σβεσθῆναι τὴν κακίαν. Ἐπειδὴ [10] δὲ ἑξῆς οἵ τε ἐκ τῶν προειρημένων τόπων ἐπιδημοῦντες καὶ [11] οἱ ἀπὸ τῶν κατὰ τὸ Ἰλλυρικὸν ἀπαγγέλλουσιν ὡς σπουδὴν τιθέντες οἱ τούτου τοῦ κακοῦ ἐξευρεταὶ, καὶ πλείονας βλάπτειν τολμῶντες, καὶ πρὸς κακίαν ζυμοῦν, οὐκέτι ἀνασχόμενοι ὑπερτίθεσθαι, ἀλλὰ καὶ τοῖς γράμμασιν ἐντυγχάνοντες τοῖς τοῦ ὁμοψύχου συλλειτουργοῦ ἡμῶν Γεωργίου τοῦ τῆς Λαοδικείας ἐκκλησίας, ὧν τὰ ἀντίτυπα ὑπετάξαμεν, καὶ τὰς μαρτυρίας τῶν διαμαρτυραμένων πρὸς ἡμᾶς ἐπὶ θεοῦ εὐλαβηθέντες, ὡς ἐνεδίδου ὁ καιρὸς, τῆς ἁγίας ἡμέρας τοῦ Πάσχα ἐπικειμένης, συναχθέντες ὅσοι γε ἠδυνήθημεν [12] καὶ συναχθῆναι, διὰ [13] καὶ τὸν χειμῶνα τοῖς πολλοῖς ἐμποδὼν γενέσθαι, ὡς διὰ τῶν γραμμάτων ἐσήμαναν, ἐκθέσθαι εἰς τοῦτο τὸ εἶδος τῆς πίστεως τὸ ἰδίωμα ἐσπουδάσαμεν, ὅσον ἐπὶ τοῖς λοιποῖς, τῇ ἐν Ἀντιοχείᾳ, ὡς προέφαμεν, ἐκτεθείσῃ τε πίστει τῇ ἐν τοῖς ἐγκαινίοις, ἀλλὰ καὶ ἐν τῇ Σαρδικῇ, ἣν ἀνείληφεν ἡ ἐν Σιρμίῳ σύνοδος, καὶ τοῖς ἐκεῖθεν λογισμοῖς, διαρθρώσειν ἀκριβῶς τὴν εἰς τὴν ἁγίαν τριάδα τῆς καθολικῆς ἐκκλησίας πίστιν, πρὸς δὲ τοῦτο, ὡς προέφημεν, τῆς καινοτομίας τὸ εἶδος μόνον, ὡς [14] ἐνεδίδου τὸ πνεῦμα, ὑπαγορεύσαντες. Καὶ παρακαλοῦμεν ὑμᾶς, κύριοι τιμιώτατοι συλλειτουργοὶ, ἐντυχόντες, [15] ὅτι ἐράσθητε τῇ ἐκ πατέρων παραδοθείσῃ πίστει, καὶ ὡς σύμφωνα ὑμῖν φρονοῦμεν, ὡς πεπιστεύκαμεν, ὑποσημήνασθαι· ἵνα πληροφορηθέντες οἱ τὴν αὐτὴν ἀσέβειαν ἐπεισάγειν τολμῶντες, ὅτι καθάπερ κλῆρόν τινα τὴν ἐκ τῶν ἀποστολικῶν χρόνων διὰ τῶν ἐν τῷ μέσῳ ἄχρι καὶ ἡμῶν πατέρων ὑποδεξάμενοι πίστιν φυλάσσομεν, [16] ἢ αἰσχυνθέντες διορθωθήσονται, ἢ ἐπιμένοντες ἀποκηρυχθῶσι τῆς ἐκκλησίας, τὴν ἀποστασίαν τῷ υἱῷ τῆς ἀνομίας, ὃς τολ-

5. κατὰ *omissum in ed. Petavii Coloniae repetita*

6. *Corrigendum videtur* ἔτι τε κατὰ (*vel* καὶ κατὰ) τὴν Λυδίαν, εἴτε κατὰ τ. Ἀσίαν κτλ.

7. ἠλπίζομεν *Petavius. Libri habent* ἐλπίζομεν.

8. τῶν *om. cod. Rhedig.*

9. π. ονοηθεῖσαν *vitium est ed. Petavii Colon. repet.*

10. δὲ *om. in ed. Petav. Colon. repet.*

11. αἱ *codd. mss. uterque. An fortasse subintellegendum* ἐκκλησίαι?

12. καὶ *uncinis notavit Petavius.*

13. *Petavius emendavit* διὰ τὸ καὶ τὸν *cett.*

14. ἐδίδου *cod. Rhedig.*

15. *Ita libri. Suspicor restituendum esse* ὅτι ἐρρώσθητε τῇ ἐκ πατέρων παραδοθείσῃ πίστει, καὶ ὡς σ. ὑμῖν φρονοῦμεν, ὡς πεπιστεύκαμεν, ὑποσημήνασθαι, *h. e.* Quocirca etiam atque etiam vos precamur, venerabiles domini collegae, ut, quoniam invaluistis in fide a patribus tradita, etiam nos cum vobis concinere, id quod persuasum habemus, significare velitis. *Petavius annotavit* „Fort. ἠράσθητε, sed parum sincerus

per illos excogitet, cum et antea nonnullos Antiochiam obire, nec non et Alexandriam ac Lydiam, et Asiam audissemus, ibique impietatis suae scintillas rudiorum animis immittere, magna nos spes tenet, pro tanta sceleris audacia ac tam proiecta illorum impudentia, si et nos, et qui in illis locis ministri domini ac collegae sunt, ecclesiae propugnationem susciperemus, inventam illam nuper haeresim profligari, atque omnem illam improbitatem posse restingui. Quoniam vero tam ab iis postea, qui ex illis locis huc profecti sunt, quam ex Illyricorum nuntiis accepimus mali huius auctores omnem industriam adhibere, ac plerisque perniciem machinari, eosque velut fermentum quoddam ad nequitiam distendere, rem ultra differendam esse non censuimus. Sed cum literas insuper ab unanimi collega nostro Georgio episcopo Laodicenae urbis accepissemus, quarum exemplum hic adscripsimus, et eorum denuntiationes qui coram deo nos obtestabantur reveriti essemus, pro eo ac per tempus licebat, imminente sacrosancto Paschatis die, in unum collecti, quotquot adesse potuimus (nam plerosque hiems interclusit, ut ex eorum literis didicimus), operam dedimus ut ad receptam fidei formulam proprium quiddam atque expressius adderetur, ut post ceteras fidei professiones, eam nimirum quae Antiochiae sub ecclesiae dedicationem proposita est, nec non et in Sardicensi synodo, quam Sirmiensis amplexa est, et ad rationes illas quae in hisce conciliis explicatae sunt, catholicae ecclesiae de sancta trinitate dogma distinctius explicatum a nobis accederet. In qua quidem nova fidei declaratione nihil aliud quam quod spiritus sanctus mentibns nostris suggerebat dictare studuimus. Quocirca etiam atque etiam vos precamur, venerabiles domini ac collegae, ut lectis his literis cum vobis traditam a maioribus fidem cordi esse, tum nos eadem vobiscum sentire ac profiteri significetis; ut qui impietatem illam disseminare non verentur, cum id certo compererint, illam nos fidem quam ab apostolicis inde temporibus continuata ad patres nostros usque successione accepimus, velut patrimonium tueri ac defendere, vel pudore affecti ad meliorem mentem se conferant, vel si in improbitate persistant, ab ecclesia proscribantur, utpote qui iniquitatis filio, qui vel in dei

hic locus.“ *Cornarius vertit* ut eam adepti ampleximini traditam ex patribus fidem, et quod consona vobiscum sentimus ac credimus significare, quo certiones facti *cett. Verbum* ἐντυγχάνειν *h. l. non significat legere sed precari, quomodo eo etiam usus est haer.* 56, 2. *et haer.* 68, 4., *et alibi. Ceterum malim* ἐντυγχάνοντες, *quod restituendum esse fortasse suadet etiam scriptura cod. Ien.* ἐντυγχόντες

16 ἢ *edidit Petavius, auctore Cornario, qui vertit* ut aut pudefacti corrigantur, aut *cett. Codd. mss. et edit. princ. habent* ἣν.

μᾶν ἀπειλεῖ καὶ εἰς τὸν ναὸν τοῦ θεοῦ καθῖσαι ἤδη, δι' ἑαυτὸν προπαρασκευάζοντες.

Κεφ. γ'. pag. 848. Ἡ πίστις ἡμῶν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα [1 ὅ] ἐστιν. Οὕτω γὰρ ἐδίδασκε τοὺς ἑαυτοῦ μαθητὰς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰπὼν, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. Οὐκ οὖν οἱ ἀναγεννώμενοι εἰς ταύτην τὴν πίστιν εὐσεβῶς νοεῖν τὰς ἐκ τῶν ὀνομάτων ἐννοίας ὀφείλομεν. Οὐ γὰρ εἶπε, Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ ἀσάρκου καὶ σαρκωθέντος, ἢ τοῦ ἀθανάτου καὶ θανάτου πεῖραν λαβόντος, ἢ τοῦ ἀγεννήτου καὶ γεννητοῦ, ἀλλ', Εἰς τὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἵνα ὀνομάτων προςακούοντες ἀπὸ τῶν φυσικῶν, [2] ἐν οἷς τὸν πατέρα αἴτιον ὁμοίας αὐτοῦ οὐσίας [3] ἐννοοῦμεν, καὶ τὸ ὄνομα τοῦ υἱοῦ ἀκούοντες ὅμοιον [4] νοήσωμεν τὸν υἱὸν τοῦ πατρὸς, οὗ ἐστιν ὁ υἱός. Ἐπιστεύσαμεν οὖν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὐκ εἰς κτιστὴν καὶ κτίσμα. Ἄλλο γάρ ἐστι κτιστὴς καὶ κτίσμα, ἄλλο πατὴρ καὶ ὁ υἱὸς, διότι κεχώρισται τούτων ἑκάτερον τῇ ἐννοίᾳ. Τὸ γὰρ κτίσμα λέγων πρῶτον κτιστήν φημι, καὶ τὸ υἱὸς, ὡς ἀπὸ σωματικῶν προςλαμβανόμενον, καὶ διὰ τὰ πάθη καὶ τὰς ἀποῤῥοίας τῶν σωματικῶν πατέρων καὶ υἱῶν, καθαρῶς τὴν τοῦ ἐξ ἀσωμάτου πατρὸς ἀσωμάτου υἱοῦ ὕπαρξιν ἵστησιν [5] ἔννοιαν. Διὰ τοῦτο καὶ τὴν τοῦ κτίσματος ἀπὸ σωματικοῦ παρέπλεξεν ἔννοιαν. Καὶ ἐπειδὴ τὸ κτίσμα [6] οὐ ποιεῖ υἱὸν μόνον, ἀπὸ τοῦ κτιστοῦ καὶ τοῦ κτίσματος λαβὼν τὸ ἀπαθὲς τοῦ κτίζοντος, ὡς πρὸς τὸ κτίσμα, καὶ τοῦ κτίσματος τὸ ἐξ ἀπαθοῦς τοῦ κτίζοντος ὑφεστῶτος πάγιον, [7] οἷον ὁ κτίζων ἐβούλετο, τελείαν ἐκ τοῦ σωματικοῦ πατρὸς, καὶ [8] υἱοῦ ἐκ σωματικοῦ κτιστοῦ καὶ κτίσματος, τὴν περὶ πατρὸς καὶ υἱοῦ καθαρῶς ἡμᾶς ἐπαίδευσεν ἔννοιαν. Ἀφαιρουμένου γὰρ ἀπὸ τοῦ κτίσματος τοῦ τε ἔξωθεν ὑφεστῶτος, καὶ τοῦ ὑλικοῦ, καὶ τῶν ἄλλων [9] ὅσα περὶ σωματικοῦ κτίσματος τὸ ὄνομα περιέχει, μόνη ἀπὸ τοῦ κτίσματος μένει ἡ ἀπαθὴς, φημὶ, τοῦ κτίσματος, καὶ τελεία τοῦ κτιζομένου, καὶ [10] οἷον ἠβούλετο ὁ κτίζων κτίζεσθαι τὸ κτιζόμενον, ἔννοια. Εἰ οὖν ἀπὸ τοῦ κτιστοῦ, καὶ τοῦ κτίσματος τὰ ἄλλα

Cap. III. — 1. *Reponendum suspicor* ὁμοῦ ἐστιν.

2. ἐν οἷς *verba uncinis notavit Petavius.*

3. *Libri habent* ἐννοῶμεν.

4. νοήσομεν *cod. Rhedig.*

5. *Rescribendum puto* ἐννοίᾳ, *vel* ἐννοεῖν, *aut supra* καθαρῶς εἰς τὴν, *quod Petavio visum est. Cornarius vertit* et propter affectus et defluxus corporalium patrum et filiorum intelligentiam exhibet pure, quod ex incorporali patre incorporalis filius originem habet, *ut* καθαρῶς τὴν περὶ τοῦ ἐξ ἀσωμ. π. ἀσ. υἱοῦ ὕπαρξιν ἵστησιν ἔννοιαν *cogitasse videatur. Neque hoc displicet. Ceterum quod ad verba* διὰ τὰ πάθη καὶ τὰς ἀποῤῥοίας τῶν σωματικῶν πατέρων καὶ υἱῶν *attinet, adverte* ἀποῤῥοίας *referri ad* υἱῶν *ut* πάθη *ad* πατέρων.

6. *Libri vulgo* ὃ ποιεῖ.

7. οἷον ὁ *coniectura supplevi, comparatis locis gemellis quae paulo infra re-*

templo sedem suam iam nunc se collocaturum minatur, defectionem per sese comparent.

Igitur fides nostra ad patrem et filium et spiritum sanctum refertur. Sic enim dominus noster Iesus Christus discipulos suos instituit. *Euntes*, inquit, *docete omnes gentes, baptizantes eos in nomine patris et filii et spiritus sancti.* Quare qui in hanc fidei formam iterato geniti sumus, nominum eiusmodi notiones religiose debemus accipere. Neque enim dixit, Baptizantes eos in eius nomine qui carnis expers carnem induit, neque immortalis et mortem experti, neque ingeniti et geniti, sed, *In nomine patris et filii et spiritus sancti:* ut appellationes naturalibus ex rebus translatas audientes patrem sui similis naturae principium intelligamus, itidemque filii nomen audientes filium eius patris cuius filius est similem esse cogitemus. Credimus igitur in patrem et filium et spiritum sanctum, non in creatorem, et creaturam. Aliud enim est creator et creatura, aliud pater et filius. Ob id utrumque notione ipsa separatum est. Nam cum creaturam dico, priorem esse creatorem significo. At filii vox ex rebus usurpata corporeis, et ab affectionibus illis ac profluviis seminum, quae in corporeis patribus filiisque cernuntur, purgata quodammodo ac defaecata mentem nostram in una incorporei filii ab incorporeo patre productione defigit. Quapropter creaturae quoque ex eo quod corporeum est translatam notionem illigavit. Et quoniam creaturae nuda ratio filium constituere nequit, a creatore et creatura quaedam secernens a creatore nimirum, si ad creaturam referatur, passionis expertem statum a creatura vero firmum quiddam et solidum, quod ab experte passionis creatore profectum est, tam a corporeo patre et filio quam a creatore et creatura perfectam nobis ac sinceram de patre filioque notitiam informavit. Etenim si a creatura certas qualitates exemeris, velut quod extra creatorem subsistat, quod cum materia concreta sit, aliaque id genus quae corporeae creaturae appellatio continet, sola deinceps supererit a passione remota perfectaque creaturae, eiusque quem creator procreari voluerit notio. Si igitur a creatore

Cap. III.

Matth. 28, 19.

petuntur. Petavius suspicatus est καὶ οἷον ἐβούλετο.

8. *Correxi* υἱοῦ. *Libri habent vulgo* υἱόν. *In editis vulgo distinctum est ita* πάγιον κτίζων, ἐβούλετο τέλειαν — πατρὸς, καὶ *celt. Cornarius vertit* Et quoniam creatura, quae facit filium solum, a creatore alienitatem a passione accepit, ita ut ex creantis alienitate a passione ipsa creatura subsistat, utpote quam creans firmam prout voluit fecit, perfectam sane ex corporali patre ac filio, et ex corporali creatore ac creatura intelligentiam de patre et filio nos docuit.

9. ὅσαπερ σωματικοῦ *suspicatus est Petavius.*

10. οἷον *scripsi Petavio suasore pro* ὃν, *quod libri praebent. Cornarius suspicatus esse videtur* καθ' ἣν. *Vertit enim* (intelligentia) iuxta quam creans creare voluit quod creatum est.

πάλιν ἐκβάλλοντες τὴν ἐξ ἀπαθοῦς τοῦ κτίζοντος, καὶ τελείου τε [11] καὶ παγίου, καὶ οἷον ἐβούλετο εἶναι τὸ κτίσμα, μόνην λαμβανομένην ἔν-
pag. 849. νοιαν, ἀκόλουθόν ἐστιν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὀνομάτων, ἐπειδὴ μάλιστα εἰς πατέρα καὶ υἱὸν πιστεύειν ἐδιδάχθημεν, μίαν οὖν τινα [12] εὐσεβῶς λαμβάνειν ἡμᾶς ἔννοιαν [13] δεῖ.

Κεφ. δ'. Διὸ καὶ ἐπὶ [1] τούτῳ ἐκβαλλομένου τοῦ κατὰ τὸ πάθος ἢ ἀποῤῥοὴν τὸν πατέρα πατέρα νοεῖσθαι τοῦ υἱοῦ, καὶ τὸν υἱὸν μὴ σπερματικῶς καταβεβλημένον σωματικοῖς φύσεως τελειοῦσθαι, καὶ κινουμένοις ἀεὶ πρὸς αὔξην καὶ φθορὰν, ὡς τὰ σωματικὰ [2] ἔχει τοὺς χαρακτῆρας, μόνη παραληφθήσεται ἔννοια τοῦ ὁμοίου. Ὡς γὰρ ἀπὸ τοῦ κτίσματος, πάλιν ἐροῦμεν, πάντων ἐκβεβλημένων παρελήφθη ἡ ἀπαθὴς μὲν τοῦ κτίζοντος, τελεία, καὶ οἵαν ἠβούλετο, καὶ ἡ παγία τοῦ κτίσματος, οὕτω καὶ ἐπὶ τοῦ πατρὸς καὶ υἱοῦ, ἐκβεβλημένων τῶν σωματικῶν πάντων, παραληφθήσεται μόνη ἡ ὁμοίου καὶ κατ' οὐσίαν ζώου γενεσιουργία. Ἐπειδὴ πᾶς πατὴρ ὁμοίας οὐσίας αὐτοῦ νοεῖται πατήρ. Εἰ δὲ μετὰ τῶν λοιπῶν ἁπάντων ἔκ τε τοῦ πατρὸς καὶ υἱοῦ σωματικῶν ὀνομάτων ἐκβαλλομένων ἐννοιῶν συνεκβάλλοιτο καὶ ἡ [3] ὁμοία κατ' οὐσίαν ζώου πατρὸς παρέχουσα ἡμῖν νοεῖν, οὐκέτι ἔσται πατὴρ καὶ υἱὸς πιστευόμενος, ἀλλὰ κτιστὴς καὶ κτίσμα, καὶ περιττὰ ὀνόματα, μηδὲν παρ' ἑαυτῶν εἰςφερόμενα, καὶ ἔσται οὕτως κτιστὴς μὲν, ὡς θεὸς, κατ' [4] οὐδὲν ὅλως πατήρ. Ὅτι γὰρ οὐκ ἐνεργείας λέγεται πατὴρ ὁ πατὴρ, ἀλλ' ὁμοίας ἑαυτῷ οὐσίας τῆς κατὰ τὴν τοιάνδε ἐνέργειαν ὑποστάσης, δῆλον ἐκ τῶν [5] φυσικῶν καθέστηκε λογισμῶν. Πολλὰς γὰρ ἐνεργείας ἔχων ὁ θεὸς, ἄλλῃ μὲν ἐνεργείᾳ κτιστὴς νοεῖται, καθὸ οὐρανοῦ, καὶ γῆς, καὶ πάντων τῶν ἐν τούτοις, ἀλλὰ καὶ τῶν ἀοράτων κτιστής ἐστι, πατὴρ δὲ μονογενοῦς ὢν οὐχ ὡς κτιστὴς, ἀλλ' ὡς πατὴρ γεννήσας νοεῖται. Εἰ δὲ διὰ τὴν ὑπόνοιαν τὴν περὶ τοὺς σωματικοὺς πατέρας τε καὶ υἱοὺς, τῶν παθῶν δεδιὼς μή τι πάθῃ γεννῶν ὁ ἀσώματος, εἰ μὴ ἀτελὲς εἴη τὸ γεννώμενον, καὶ ὅσα συμβαίνει περὶ τὸν σωματικὸν πατέρα τε καὶ υἱὸν εὐλαβούμενος, ἀφέλοιτο τὴν γνησίαν ἐπὶ πατρὸς καὶ υἱοῦ ἔννοιαν, ὁποῖον ἂν λέγοι ἕτερον ποίημα,
pag. 850. καὶ οὐδέποτε ἐρεῖ τὸν υἱὸν υἱόν. Εἴτε γὰρ μεγέθει ὑπερβάλλοντα

11. καὶ *excidit ab ed. Petavii Colon. repet.*

12. λαμβάνειν εὐσεβῶς *cod. Rhedig.*

13. *Rescribo* δεῖν. *Quum correcturam significat etiam versio Cornarii* consequens est a patris et filii nominibus quandoquidem maxime in patrem et filium credere edocti sumus, unam quandam intelligentiam nos pie accipere oportere.

Cap. IV. — 1. *Scribendum puto* ἐπὶ τῷ οὕτω. *In cod. Rhedig. est* τούτου *pro* τούτῳ.

2. ἔχει reposui *ex cod. Rhedig.* ἔχειν *reliqui libri.*

3. *Rescribendum puto* ὅμοιον.

4. *Corrigendum suspicor* κατ' οὐδὲν δὲ ὅλως πατήρ.

5. λογικῶν *cod. Rhedig.*

et creatura segregatis reliquis unicam illam notionem deligamus, qua a passionis experte perfectoque ac stabili creatore, et eiusmodi denique, cuiusmodi creaturam esse voluit, derivatam illam concipimus, consentaneum est ut ex patris filiique vocibus, quandoquidem in patrem ac filium credere praecipue dedicimus, eandem, ut pios ac religiosos decet, notitiam hauriamus.

Quamobrem si in re proposita in patre discernamus id quod adhaerere solet, ut cum quadam affectione profluvioque filii pater intelligatur, et filium nullo semine propagatum concipiamus animo, neque eiusmodi, ut corporeis naturae viribus adolescat, et ad incrementum corruptionemque vicissim transeat, quae sunt propriae rerum corporearum notae: his, inquam, circumscriptis omnibus nihil praeter similis notionem habebitur. Ut enim cum a creatura (nam id denuo repetendum est) exclusimus omnia, unum illud sumpsimus, in creatore quidem statum quendam passionis expertem, in creatura vero perfectam et qualem conditor voluit, ac solidam naturae qualitatem, sic in patrem et filium corporeis omnibus amputatis unica similis quod ad essentiam attinet animalis generatio transfertur. Pater enim sui similis substantiae pater a nobis intelligitur. Quod si una cum ceteris omnibus notionibus, quae ex patris et filii nominibus corporearum rerum propriis cogitatione praeciduntur, naturae quoque animalis cum patre similitudo tollatur, e qua intelligendi rationem omnem ducimus, patrem amplius nullum, aut filium esse credemus, sed creatorem, ac creaturam, et supervacanea quaedam nomina, quae nihil per seipsa conferant. Ita fiet ut deus creator sit, nec ulla tamen ratione sit pater. Quod enim pater non ipsius actionis, sed naturae cuiusdam similis, quae per illam actionem existit, pater appelletur, naturales ipsae rationes evidenter ostendunt. Nam cum multa penes *deum* actionum genera sint, alia est actio, qua creatorem intelligimus, quatenus coeli terraeque, et quae his continentur omnium, nec non et eorum quae videri nequeunt creator est. Eundem vero unici filii parentem non tanquam creatorem, sed tanquam patrem, qui genuit, esse cognoscimus. Verum si propter illam, quam mente concipimus, corporeis in patribus ac filiis conditionem passionibus obnoxiam, vereatur aliquis, ne si corporis expers deus generare dicatur, quaedam ei tribuatur affectio, aut id ipsum quod gignitur imperfectum censeatur, ac cetera id genus quae corporeo patri filioque conveniunt, si id inquam metuens germanam patris ac filii notionem auferat, eo demum relabetur, talem ut filium asserat, qualia sunt opificia reliqua, nec illum omnino filium appellet. Ete-

λέγοι, ὡς οὐρανὸν ὄρους ἢ βουνοῦ, τοῦ τῶν ποιημάτων γένους αὐτὸν, κἂν μεγέθει ὑπερβάλλων [6] νοοῖτο, ἐλέγξει· εἴτε χρείᾳ ὡς πρῶτον αὐτὸν γεγονότα, εἴτε εἰς τὴν ἄλλων δημιουργίαν ὑπουργήσαντα, οὔτε αὐτὸν οὕτως ἔξω ποιήσει τῆς τῶν ποιημάτων ἐννοίας. [7] Ὡς γὰρ οὐδὲν διαφέρει τὸ τῇ λαβίδι ἐκ τοῦ θυσιαστηρίου τὸν ἄνθρακα, μὴ αὐτῇ τῇ χειρὶ λαμβάνεσθαι, καὶ διὰ ταύτης [8] ἡ χαλκευτικὴ εἴη ἐπελαύνειν τὸν σίδηρον (ἔσται γὰρ καὶ ἡ λαβὶς καὶ ὁ διὰ ταύτης ἐλαυνόμενος σίδηρος τοῦ γένους τῶν ποιημάτων), οὕτως οὐδὲν [9] διοίσει τῶν ποιημάτων ὁ δι' οὗ τὰ πάντα, εἰ μὴ ἔστιν υἱὸς, ὡς ἡ φυσικὴ ἔννοια ὑποβάλλει. Ποιηθεὶς δὲ πρῶτος ἔσται τῶν ποιημάτων, καὶ ὄργανον γινόμενος τῷ ποιητῇ δι' οὗ τὰ πάντα ὁ κτιστὴς ἐργάζεται.

Κεφ. ε΄. Καὶ οὐκ ἄν τις σοφίσαιτο τὴν τοῦ ἰδίως πατρὸς καὶ τοῦ ἰδίως υἱοῦ ἔννοιαν ἐκ τῶν [1] κοινοτέρων υἱῶν λεγομένων, ἐπεὶ οὕτως πολλοὶ ἔσονται [2] υἱοὶ τοῦ θεοῦ, ὅταν λέγῃ, Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν· καὶ τὸ, Οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; καὶ, Ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· οἳ οὐκ ἐκ θελήματος σαρκὸς, φησὶ, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. Καὶ πρὸς τούτοις περὶ ἀψύχων, ὡς, Ὁ τετοκὼς βόλους δρόσου. Ἐπὶ γὰρ πλέον διὰ τούτων κατασκευασθήσεται ἀπὸ τῆς [3] κοινῆς τὸ μὴ εἶναι μὲν αὐτὸν υἱὸν, ὡς οὐδὲ ταῦτα, ποίημα δὲ ὄντα ὡς ταῦτα, κλήσεως υἱοῦ μόνης μετέχειν. Ἡ δὲ ἐκκλησία πεπίστευκεν ὅτι θεὸς οὐ μόνον ἐστὶν κτιστὴς κτισμάτων (τοῦτο γὰρ Ἰουδαῖοί τε καὶ Ἕλληνες ἐπίστανται), ἀλλ' ὅτι καὶ πατήρ ἐστι μονογενοῦς, οὐ μόνον τὴν κτιστικὴν ἔχων ἐνέργειαν, ἀφ' ἧς κτιστὴς νοεῖται, ἀλλὰ [4] καὶ ἰδίως, καὶ [5] μονογενῶς [6] γεννητικὴν, καθ' ἣν πατὴρ μονογενοῦς ἡμῖν νοεῖται. Τοῦτο γὰρ παιδεύων ἡμᾶς ὁ μακάριος Παῦλος γράφει, Τούτου γὰρ χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. [7] Καθ' ὁμοιότητα τῶν οἰκείων οὐσιῶν τοὺς υἱοὺς ἔχοντες, οὕτω καὶ πατὴρ ἐν οὐρανοῖς ὀνομάζεται, ἀφ' οὗ οἱ πατέρες οἱ ἐπὶ γῆς κατ' οὐσίαν ὠνομάσθησαν, καθ' ὁμοιότητα τῆς ἑαυτοῦ οὐσίας πάντως τὸν ἐξ αὐτοῦ ἔχων γεγεννη-
pag. 851. μένον υἱόν. Καὶ οὐ δύναται ἡ ἐπὶ τῶν καταχρηστικῶς καὶ ὁμωνύμως λεγομένων υἱῶν ἔννοια τῷ μονογενεῖ ἁρμόζειν. Ὥσπερ γὰρ πυξίον

6. νοεῖτο *codd. mss. et edit. princ.*

7. ὡς οὐ γὰρ οὐδὲν *cod. Rhedig.*

8. εἰ χαλκ. εἴη *suspicatus est Petavius. Cornarius vertit* et artis fabrilis est ferrum in hunc usum vel alium per manum fabricare. *Mihi quidem videtur reponendum* ἢ χαλκ. οἶδε.

9. *Vox* διοίσει *in cod. Rhedig. inducta est.*

Cap. V. — 1. *Suspicor* κοινότερον.

2. οἱ υἱοὶ *codd. mss.*

3. „Deest fortasse κλήσεως." *Petavius.*

4. καὶ *om. cod. Rhedig.*

nim sive magnitudine superare dixerit, quemadmodum coelum monte
aliquo vel colle maius est, ad operum nihilominus conditionem,
quantumvis magnitudine antecellere velit, eundem illum abiiciet:
sive usu et obsequio praestare ceteris velit, quod reliqua omnia
praecesserit, et ad eorum productionem operam suam contulerit,
nihilo tamen magis ab opificiorum notione vindicabit. Ut enim nihil
interest, si forcipe, non manu ipsa, carbo de altari capiatur, quo
illius beneficio fabrilis ars ferream laminam inducat, propterea quod
tam forceps quam ferrum, quod per illam ducitur, inter opera cen-
sentur, ita nihil a productis operibus ille per quem facta sunt omnia
differet, nisi filius sit; quemadmodum naturalis ratio persuadet.
Quin factus ipse primum erit omnium opus, ac velut conditoris in-
strumentum; per quod universa moliatur.

Neque vero ex iis qui vulgo filii nominantur proprie dicti pa- Cap. V.
tris, aut filii rationem cavillatorie debet eludere. Nam alioqui plu-
res erunt dei filii. Velut cum dicit, *Filios genui, et exaltavi, ipsi* Esai. 1, 2.
vero spreverunt me; item, *Nonne pater unus est omnium vestrum?* Malach. 2, 10.
item, *Quotquot receperunt eum, dedit eis potestatem filios dei fieri,* Ioann. 1,12.
qui non ex voluntate carnis, neque ex voluntate viri, sed ex deo nati
sunt. Quid quod et inanimis quoque rebus idipsum tribuitur? *Qui* Iob. 38, 28.
genuit, inquit, *stillas roris.* Ex his enim omnibus ut plurimum id
efficietur ut ex communi illa significatione dei filius nullo modo sit
filius, uti nec illa ipsa sunt, sed opus sit dei duntaxat eorum in-
star, ac solius appellationis particeps. Ecclesia porro deum credit
non modo creatarum rerum esse conditorem (hoc enim Iudaei Grae-
cique pariter agnoscunt), sed et unici filii patrem; qui non solum
procreatricem actionem habeat, propter quam creator intelligitur,
sed et proprie uniceque generandi, ex qua unici filii patrem esse
cognoscimus. Hoc enim beatus nos Paulus his verbis edocuit: *Hu-*
ius, inquit, *gratia, flecto genua mea ad patrem, a quo omnis pater-* Ephes. 3, 4.
nitas in coelo et in terra nominatur. Ut enim patres illi in terra no-
minantur, qui ad suae naturae similitudinem expressos habent filios,
sic in coelo pater ille dicitur a quo terreni patres, qui naturae pro-
ductores sunt, vocantur; quod omnino ad naturae suae similitudi-
nem genitum ex ea sese filium habet. Neque potest eorum filiorum
notio, qui abusione quadam vocis, et homonymos dicuntur, ad uni-
cum dei filium accommodari. Quemadmodum pyxis ea proprie vo-

5. *Non dubito quin reponendum sit* μονογενοῦς.

6. γεννικὴν *cod. Rhedig.*

7. „Deest fortasse aliquid.“ *Petavius. Cornarius vertit* Sicut enim hi qui secundum propriarum essentiarum similitudinem filios habent, sic *cell. Suppleo et corrigo* Καθ’ ὁμοιότητα τῶν καθ’ ὁμοιότητα τῶν οἰκείων οὐσιῶν τοὺς υἱοὺς ἐχόντων, οὕτω *cell.*

μὲν λέγεται κυρίως τὸ [8] ἐκ πυξίου κατεσκευασμένον, κοινότερον δὲ καὶ καταχρηστικῶς ἀπ' ἐκείνου πυξίον καὶ τὸ ἐκ [9] μολίβου, καὶ χαλκοῦ, καὶ ἄλλης τινὸς ὕλης γεγονὸς, οὔτε οὖν ὡς ὁ τετοκὼς βόλους δρόσου, τουτέστιν οὐσιωδῶς (καταχρηστικῶς γὰρ ἐνταῦθα ἐπὶ τοῦ ποιήματος τὸ τοῦ τόπου παρείληπται), οὔτε ὡς τὸ, Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα (καὶ ἐνταῦθα γὰρ καταχρηστικῶς ἀπὸ τῆς εὐνοίας καὶ τιμῆς προςωνόμασται), οὔτε τὸ, Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι (καὶ τοῦτο γὰρ τῆς κατ' ἀρετὴν καὶ μίμησιν τῆς ποιήσεως εἴληπται), οὕτως ὁ μονογενὴς νοηθήσεται, ἀλλὰ κυρίως, ὡς μόνος ἐκ μόνου ὅμοιος κατ' οὐσίαν ἐκ τοῦ πατρὸς, οὗπερ καὶ ὠνομάσθη καὶ ἐνοήθη υἱὸς γεννηθείς.

Credimus in unum deum, patrem omnipotentem etc., et in filium dei etc., simpliciter, ac nihil vehementius elocuti. Postea vero totam ut fabulam agerent, addiderunt, Consubstantiale reiicimus, tanquam a sacris literis alienum. Istud vero damnamus, dissimilem esse patris filium. Atque haec demum erat callidissimorum venatorum illecebra. Sic enim inter sese mussitabant, ac docebant: Creatura quidem est dei filius; sed similis patri, eo videlicet sensu qui omnium hominum usu ac consuetudine familiaris est. Etenim plastae statuas effingunt, ac simulacra ex auro, argento, aliave materia, aut coloribus in ligno exprimunt; quae similitudinem habent illa quidem, exemplaribus vero suis nullo modo sunt aequalia. Sic ab illis callide quiddam excogitatum est huiusmodi ut filium patri similem esse faterentur, licet nihil in ipso paternae divinitatis inesset. Haec illorum decreta nonnulli, qui cum ipsis erant, partim propter temporis calamitatem approbarunt, et vero magna ex parte conscii ac fautores erant. Quidam tamen inscii et imprudentes abrepti sunt, ut paulo post apparuit. Erant enim inter illos Patrophilus Scythopolitanus, et Philippus, qui huius successor constitutus illic fuerat, cum aliis plerisque, qui hanc haeresim amplectebantur. Hodie vero post illorum obitum, ubi ipsorum impietas longe lateque propagata, audaciam ac licentiam nacti ac carnis brachio freti, nulla re iam obstante, quorum consilium inierant aperte

Cap. XXIV.

quam certe Cornarium recte interpretatum esse video post hunc.

τουσι σαφῶς τὸ αὐτῶν ἐπιχείρημα, οὐκέτι οὔτε αἰδοῖ τινι κατεχόμενοι, οὔτε ἰνδαλλόμενοι ἀπό τινος προστάγματος. Εἰς τὸ μή [2] τινι δοκεῖν κατὰ [3] κενοῦ φέρεσθαι, καὶ τὴν ἐκτεθεῖσαν ἐκεῖ, καὶ ὑπ᾽ αὐτῶν τῶν περὶ Ἀκάκιον πίστιν, μεθ᾽ ὑπογραφῆς τῶν ἐν αὐτῇ τῇ συνόδῳ γενομένων, ἐνταῦθα παραθήσομαι. Καὶ ἔστιν ἥδε.

Κεφ. κε΄. Οἱ συνελθόντες ἐπίσκοποι ἐκ διαφόρων ἐπαρχιῶν ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας, κατὰ πρόσταγμα τῆς εὐσεβείας τοῦ θεοσεβεστάτου βασιλέως ἡμῶν Κωνσταντίου, τάδε διελαλήσαμεν ἡμεῖς οἱ συναχθέντες ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας κατὰ βασιλικὸν βούλημα.

Τῇ χθὲς ἡμέρᾳ, ἥτις ἦν πρὸ πέντε Καλανδῶν [1] Ὀκτωβ., πᾶσαν σπουδὴν εἰςηνεγκάμεθα μετὰ πάσης εὐταξίας τὴν εἰρήνην τῇ ἐκκλησίᾳ διαφυλάξαι, καὶ [2] τῆς πίστεως εὐσταθῶς διαλαβεῖν, ὡς προςέταξεν ὁ θεοφιλέστατος βασιλεὺς ἡμῶν Κωνστάντιος, κατὰ τὰς προφητικὰς φωνὰς, καὶ μηδὲν παρὰ τὰς θείας γραφὰς παρειςενέγκαι τῇ ἐκκλησιαστικῇ πίστει. Ἐπειδὴ δὲ ἐν τῇ συνόδῳ τινὲς τοὺς μὲν ἡμῶν ὕβρισαν, τοὺς δὲ ἐπεστόμισαν, οὐ συγχωροῦντες λαλεῖν, τοὺς δὲ ἀπέκλεισαν ἄκοντας, καὶ τοὺς καθηρημένους δὲ ἐκ διαφόρων ἐπαρχιῶν εἶχον μεθ᾽ ἑαυτῶν, καὶ τοὺς παρὰ κανόνα κατασταθέντας ἦγον μεθ᾽ ἑαυτῶν, ὡς πανταχόθεν θορύβου πλῆρες γενέσθαι τὸ συνέδριον, καθὼς καὶ ὁ λαμ-
pag. 873. πρότατος κόμης Λεωνᾶς, καὶ ὁ λαμπρότατος ἡγούμενος τῆς ἐπαρχίας Λαυρίκιος αὐτοψίᾳ παρέλαβε, τούτου ἕνεκεν διαλαλοῦμεν, ὡς οὐ φεύγομεν τὴν αὐθεντικὴν πίστιν ἐν τοῖς ἐγκαινίοις τοῖς κατὰ Ἀντιόχειαν προκομίζοντες, [3] οἳ καὶ αὐτοὶ μάλιστα οἱ πατέρες ἡμῶν κατ᾽ ἐκεῖνο καιροῦ πρὸς τὸ ὑποκείμενον τῆς ζητήσεως συνέδραμον.

Ἐπειδὴ πολλοὺς ἐθορύβησε τὸ ὁμοούσιον καὶ τὸ [4] ὁμοιούσιον ἐν τοῖς παρελθοῦσι χρόνοις, καὶ μέχρι νῦν, ἀλλὰ καὶ ἕως ἄρτι λέγεται καινοτομεῖσθαι ὑπό τινων τὸ ἀνόμοιον υἱοῦ πρὸς πατέρα, τούτου χάριν τὸ ὁμοούσιον ὡς ἀλλότριον τῶν γραφῶν ἐκβάλλομεν, τὸ δὲ ἀνόμοιον ἀναθεματίζομεν, καὶ πάντας, ὅσοι τοιοῦτοι τυγχάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς ἐκκλησίας. Τὸ δὲ ὅμοιον τοῦ υἱοῦ πρὸς πατέρα σαφῶς ὁμολογοῦμεν, κατὰ τὸν ἀπόστολον τὸν λέγοντα περὶ τοῦ υἱοῦ, Ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. Ὁμολογοῦμεν δὲ καὶ πιστεύ-

2. τινι *dedi de coniectura. Libri habent* τινα. *Petavius, cui ante* καὶ τὴν ἐκτεθεῖσαν *verba* ἐγὼ δὲ *excidisse visa sunt, ita distinxit ut* εἰς τὸ μή τινα δοκεῖν κατὰ καινοῦ φέρεσθαι *ad* προςτάγματος *retraherentur. Cornarius contra vertit* neque aliquo praecepto coerciti. Quo vero non videamur ex inani ferri, etiam editam illic ab Acacio fidem cum subscriptione *cett.*

3. κενοῦ *scripsi ex emendatione Cornarii. In libris tam scriptis quam editis legitur* καινοῦ.

Cap. XXV. — 1. *Vulgo* ὀκτώ. *Iam Cornarius correxit vertens* ante quintum Calendas Octobres.

illa praedicant. Nullus enim iam illos pudor retardat, neque mandato ullo coërciti simulationem quandam ac speciem prae se ferre coguntur, ne nova et inusitata quaedam agitare videantur. Sed illam fidei formulam, quam Acacius cum suis illic proposuit, una cum eorum qui ei synodo interfuerunt subscriptione libet hic adscribere. Ea est eiusmodi.

Qui variis e provinciis religiosissimi imperatoris nostri Constantii mandato Seleuciae in Isauria convenimus episcopi, haec communi consensu decrevimus: Cap. XXV. FIDEI EXPOSITIO IN CONCILIABULO SELEUCIENSI EDITA.

Hesterna die, quae erat A. D. V. Cal. Oct., omni studio ac moderatione in id incubuimus ut pacem ecclesiae sanciremus, ac constantem et solidam fidei regulam constitueremus, pro eo ac dei amantissimus imperator noster Constantius iussit, ex prophetarum oraculis; sic ut nihil praeter sacrarum literarum auctoritatem in ecclesiasticam fidem inveheremus. Sed quoniam in synodo nonnulli alios e nostris contumeliis affecerunt, aliis silentium indixerunt, nec quae vellent eloqui permiserint, alios invitos excluserunt, tum eos qui depositi erant variis e provinciis adhibuerunt, quosdam vero praeter canonem secum adduxerunt, ut undecumque turbulentissimus esset ille consessus, quemadmodum clarissimus comes Leonas, et clarissimus provinciae praefectus Lauricius oculis suis viderunt: eam ob caussam palam profitemur nihil nos subterfugere, et primariam illam fidei formulam, quae in Antiochenae ecclesiae dedicatione proposita est, in medium proferre. Cuius auctores patres illi nostri ad eiusmodi quaestionem disceptandam per illud tempus conventus habuerunt.

Cum hactenus Homousii et Homoeousii vocabula plerosque ad hodiernum tempus usque perturbarint, et a nonnullis etiamnum innovari istud ferant, ut dissimilis patri filius esse dicatur, ob id *Homousii*, hoc est *Consubstantialis* vocem tanquam a sacris literis peregrinam reiicimus, *Anomoeum* vero, hoc est *Dissimile*, condemnamus, et quicumque eiusmodi sunt ab ecclesia alienos esse censemus. Similem vero patris esse filium aperte profitemur, et apostolum in eo sequimur, qui de filio loquens, *Qui est*, inquit, *imago dei invisibilis*. Col. 1, 15. Confitemur autem et credimus in unum deum, patri omni-

2. *Ita libri omnes. Petavius supplet* τὰ τῆς. *Ego mallem* περὶ τῆς. *Ita* διαλαμβάνειν περί τινος *habuimus haer.* 51, 4. 64, 53. 66, 15. 73, 31., *alibi. Cornarius vertit* et fidem firmiter distingueremus.

3. οἷ *ego.* ᾗ *Petavius volebat. Libri habent* οἱ. *Cornarii versio:* ubi etiam maxime patres nostri illo tempore ad subiectam quaestionem concurrerunt.

4. ὁμοούσιον *codd. mss.*

ομεν εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε καὶ ἀοράτων. Πιστεύομεν δὲ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀπαθῶς πρὸ πάντων αἰώνων, θεὸν λόγον, θεὸν ἐκ θεοῦ, μονογενῆ, φῶς, ζωὴν, ἀλήθειαν, σοφίαν, δύναμιν, δι' οὗ τὰ πάντα ἐγένοντο, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴτε ἀόρατα. Τοῦτον πιστεύομεν ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν [5] ἁμαρτιῶν, σάρκα ἀνειληφέναι ἐκ τῆς [6] ἁγίας παρθένου, καὶ ἐνανθρωπήσαντα, παθόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναστάντα, καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καθέζεσθαι ἐν δεξιᾷ τοῦ πατρὸς, πάλιν ἐρχόμενον ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν δὲ καὶ εἰς ἓν ἅγιον πνεῦμα, ὃ καὶ Παράκλητον ὠνόμασεν ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐπαγγειλάμενος μετὰ τὸ ἀνελθεῖν αὐτὸν πέμψαι τοῖς μαθηταῖς τοῦτο, ὃ καὶ ἀπέστειλεν, δι' οὗ καὶ ἁγιάζει τοὺς ἐν τῇ ἐκκλησίᾳ πιστεύοντας, καὶ βαπτιζομένους ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. [7] Τοὺς δὲ παρὰ ταύτην τὴν πίστιν ἄλλο τι κηρύττοντας ἀλλοτρίους οἶδεν ἡ καθολικὴ ἐκκλησία. Ὅτι δὲ ταύτῃ τῇ πίστει ἰσοδυναμεῖ καὶ ἡ ἐν Σιρμίῳ πρώην ἐκτεθεῖσα πίστις, ἐπὶ τῆς εὐσεβείας τοῦ βασιλέως ἡμῶν, γνωρίζουσιν οἱ ἐντυγχάνοντες τῇ πίστει.

pag. 874. Κεφ. κς'. Ὑπέγραψαν οἱ παρόντες, Βασίλειος, Μάρκος, καὶ Γεώργιος ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, Παγκράτιος, καὶ Ὑπατιανὸς, καὶ οἱ πλεῖστοι ἐπίσκοποι τῆς δύσεως. Γεώργιος ἐπίσκοπος [1] Ἀλεξανδρείας ἐξεθέμην τὴν πίστιν οὕτως, ὁμολογῶ φρονεῖν ὡς πρόκειται. Ἀκάκιος ἐπίσκοπος Καισαρείας ἐξεθέμην τὴν πίστιν οὕτως, ὁμολογῶ φρονεῖν ὡς πρόκειται. Οὐράνιος ἐπίσκοπος Τύρου, Εὐτύχιος ἐπίσκοπος Ἐλευθεροπόλεως. Ζωΐλος ἐπίσκοπος [2] Λαρίσσης τῆς Συρίας, Σέρας ἐπίσκοπος ἐκ [3] Παραιτονίου τῆς Λιβύης, Παῦλος ἐπίσκοπος Ἐμίσης, Εὐστάθιος ἐπίσκοπος [4] Ἐπιφανίας, Εἰρηναῖος ἐπίσκοπος Τριπόλεως τῆς Φοινίκης, Εὐσέβιος ἐπίσκοπος Σελευκείας τῆς Συρίας, Εὐτυχιανὸς ἐπίσκοπος Πατάρων τῆς Λυκίας, Εὐστάθιος ἐπίσκοπος Πιναρῶν καὶ [5] Σιδύμων, Βασίλειος ἐπίσκοπος Καυνίων τῆς Λυδίας, Πέτρος ἐπίσκοπος Ἵππου Παλαιστίνης, Στέφανος ἐπίσκοπος Πτολεμαΐδος τῆς Λιβύης, Εὐδόξιος ἐπίσκοπος, Ἀπολλώνιος ἐπίσκοπος [6] Ὀξυρίγχου, Θεόκτιστος ἐπίσκοπος Ὀστρακίνης, Λεόντιος ἐπίσκοπος Λυδίας, Θεοδόσιος ἐπίσκοπος τῆς Φιλαδελφίας Λυδίας, Φοῖβος ἐπίσκοπος Πολυχαλάνδου τῆς Λυδίας, Μάγνος ἐπίσκοπος Θεμισῶν τῆς Φρυγίας, Εὐάγριος ἐπίσκοπος Μιτυλήνης τῶν νήσων, Κυρίων ἐπίσκοπος Δολίχης,

5. ἁμαρτιῶν (ἁμαρτ͂ cod. Ien.) codd. mss. uterque. ἁμαρτίας editi.
6. ἁγίας om. in ed. Petav. Colon. repet.
7. τοὺς codd. mss. et ed. princ. τοῦτο ed. Petav.

Cap. XXVI. — 1. τῆς addit cod. Rhedig.
2. λαρίσης cod. Rhedig.
3. Vulgo Παρατονίου. Cod. Rhedig. habet παρὰ τονίου.

potentem, factorem coeli et terrae, visibiliumque et invisibilium. Credimus etiam in dominum nostrum Iesum Christum filium dei, et ab ipso genitum citra passionem ullam ante omnia saecula, deum verbum, deum de deo, unigenitum, lucem, vitam, veritatem, sapientiam, virtutem, per quem omnia facta sunt quae in coelis et in terra sunt, sive visibilia, sive invisibilia. Hunc ipsum credimus in fine saeculorum ad extinguendum peccatum carnem e sancta virgine sumpsisse, hominemque factum, passum item pro peccatis nostris, resurrexisse, et in coelum subvectum sedere ad dexteram patris, et iterum venturum cum gloria iudicare vivos et mortuos. Credimus et in unum sanctum spiritum, quem salvator et dominus noster Iesus Christus Paracletum vocavit, eundemque post discessum suum missurum se apostolis promisit. Quem et revera misit, et per eum fideles in ecclesia sanctificat, qui baptizantur in nomine patris et filii et spiritus sancti. Quicumque vero praeter hanc fidem aliud quiddam praedicant, alienos novit ecclesia catholica. Quemadmodum vero cum hac fidei formula consentanea sit ea quae Sirmii nuper exposita est coram religiosissimo imperatore nostro norunt qui hanc ipsam legerint.

Subscripserunt qui aderant, Basilius, Marcus, Georgius Alexandriae episcopus, Pancratius, Hypatianus, et plurimi occidentis episcopi. Cap. XXVI. Ego Georgius episcopus Alexandriae hanc fidei professionem edidi, atque ita ut scriptum est me sentire profiteor. Ego Acacius episcopus Caesarea hanc fidei professionem edidi, atque ita ut scriptum est me sentire profiteor. Uranius episcopus Tyri. Eutychius episcopus Eleutheropolis. Zoilus episcopus Larissae Syriae. Seras episcopus ex Paraetonio Libyae. Paulus episcopus Emissae. Eustathius episcopus Epiphaniae. Irenaeus episcopus Tripolis Phoenices. Eusebius episcopus Seleuciae Syriae. Eutychianus episcopus Patarorum in Lycia. Eustathius episcopus Pinarorum et Didymorum. Basilius episcopus Cauniorum Lydiae. Petrus episcopus Hippi Palaestinae. Stephanus episcopus Ptolemaidis Libyae. Eudoxius episcopus. Apollonius episcopus Oxyrinchi. Theoctistus episcopus Ostracines. Leontius episcopus Lydiae. Theodosius episcopus Philadelphiae Lydiae. Phoebus episcopus Polychalandae Lydiae. Magnus episcopus Themisorum Phrygiae. Evagrius episcopus Mytilenes insularum, Cyrion episcopus Doli-

4. Ἐπιφανείας *restituit Petavius.*

5. Σιδύμων *restitui ex libris mss. et ed. princ. Nam Petavius edidit* Διδύμων. *Pro* Πιναρῶν *mutato accentu fortasse reponendum* Πινάρων.

6. *Ita ed. princ. cum libris mss. Petavius edidit* Ὀξυρύγχου.

Αὔγουστος ἐπίσκοπος Εὐφράτης, [Μάγνος ἐπίσκοπος Θεμισῶν τῆς Φρυγίας,] Πολυδεύκης ἐπίσκοπος ἐπαρχίας δευτέρας Λιβύης, Παγκράτιος ἐπίσκοπος Πηλουσίου, Φιλίκαδος ἐπίσκοπος Αὐγουστάδων Φρυγίας ἐπαρχίας, Σεραπίων ἐπίσκοπος Ἀντιπύργου τῆς Λιβύης, Εὐσέβιος ἐπίσκοπος Σεβαστῆς τῆς Παλαιστίνης, Ἡλιόδωρος ἐπίσκοπος Σωζούσης τῆς Πενταπόλεως, Πτολεμαῖος ἐπίσκοπος Θμούεως Αὐγουστονίκης, Αὔγαρος ἐπίσκοπος Κύρου Εὐφρασίας, Ἐξερέσιος ἐπίσκοπος Γερασῶν, Ἀραβίων ἐπίσκοπος Ἀδράων, Χαρίσιος ἐπίσκοπος Ἀζώτου, [7] Ἐλισσαῖος ἐπίσκοπος Διοκλητιανουπόλεως. Γερμανὸς ἐπίσκοπος Πέτρων, [8] Βαρόχιος ἐπίσκοπος Ἀραβίας, ὁμοῦ ἐπίσκοποι μγ΄.

ΠΕΠΛΗΡΩΤΑΙ ΕΩΣ ΩΔΕ Η ΤΩΝ ΠΡΟΕΙΡΗΜΕΝΩΝ ΗΜΙΑΡΕΙΩΝ ΚΑΙ ΑΡΕΙΑΝΩΝ ΕΚΘΕΣΙΣ.

pag. 875. Κεφ. κζ. *Οἱ νουνεχεῖς ταύτην καὶ τὰς ἄλλας διελθόντες γνῶτε πῶς ῥᾳδιουργόν ἐστι τὸ ἐπιχείρημα θατέρου αὐτῶν τοῦ συστήματος, καὶ οὐδὲν ὀρθὸν, οὐδὲ βραχὺ μετέχον τῆς κατὰ θεὸν ὁμολογίας. Φάσκει γὰρ ὁ κύριος λέγων, Ὃ εἰς τὸ οὖς ἠκούσατε, ἐπὶ τῶν δωμάτων κηρύξατε, καὶ, καθὼς ὁ ἅγιος ἀπόστολός φησι, Ἀλήθειαν λαλείτω ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. Ὁ δὲ προφήτης τὴν τούτων κακόνοιαν διελέγχων ἐκφαίνει λέγων, Μετὰ τοῦ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ, ἐν δὲ τῇ καρδίᾳ αὐτοῦ ἔχει τὴν ἔχθραν, εἶτ᾽ οὖν κακίαν. Οὕτω καὶ οὗτοι περὶ Ἀκάκιον· ἐκ τῶν περὶ [1] Βασίλειον δὲ διῃρημένοι, βουλόμενοι λῦσαι τὸν σύνδεσμον τῆς [2] ἀληθοῦς ὁμολογίας, νόθον τινὰ καὶ εὐάλωτον ἐκ πανταχόθεν ἀπολυτὴν ἔθεντο ἔκθεσιν, εἰς τὸ δύνασθαι αὐτοὺς ἀπὸ τούτων τῶν εἰρημένων, εἰ μὲν θέλοιέν τινας ἀπατᾶν, δύνασθαι ὁμολογεῖν τὸ δίκαιον· εἰ δὲ [3] θελήσαιεν τῆς ἑαυτῶν κακοδοξίας ἐκφᾶναι τὸ δηλητήριον, ἔσται αὐτοῖς αὕτη ἡ ἔκθεσις ἐπαμφοτερίζουσα τὰς πρὸς δύο σχέσεις, καὶ δυναμένη ποιεῖν ἑκάστης αὐτῶν ποιήσεως τὴν ὁμολογίαν. Ἀλλ᾽ ἐπειδήπερ ἐν τῇ κατὰ τὸν Ἀκάκιον ταύτῃ τῇ ἀπὸ τῶν ἄλλων δύο συνόδων διαιρεθείσῃ συνόδῳ, — ἔφημεν γὰρ πῶς εἰς τρία τάγματα ἡ τῆς Ἀρειανῶν διῃρέθη τάξις, ὡς ὁ μὲν Εὐδόξιος, καὶ Γερμανὸς, Γεώργιός τε ὁ Ἀλεξανδρεὺς, Εὐζώϊός τε Ἀντιοχείας, εἰς ἓν τάγμα ἀπεσχίσθησαν, Βασίλειός τε καὶ Ἐλεύσιος, Εὐστάθιος καὶ Γεώργιος ὁ Λαοδικείας, Σιλουανός τε ὁ Ταρσοῦ, Μακεδόνιος ὁ Κωνσταντινουπολίτης, καὶ ἄλλοι πλείους ὡσαύτως εἰς ἓν τάγμα διῃρέθησαν, Ἀκάκιος δὲ πάλιν, ὡς προεῖπον, καὶ [4] Μελέτιος, καὶ Εὐτύχιος, καὶ ἄλ-*

7. ἐλισαῖος *cod. Rhedig.*

8. „γρ. Βαρίχιος" *Petavius. Fortasse ex cod. Parisino.*

CAP. XXVII. — 1. Βασίλειον *correxit Petavius. Libri habent* Βασιλέως, *errore haud singulari.*

2. ἀληθοῦς (ἀληθῦ, *cum rasura in fine vocabuli, cod. Ien.*) *codd. mss.* ἀληθινῆς *editi.*

3. θελήσαιεν *scripturam recepit Petavius ex marg. mei exemplaris edit. princ.,*

ches. Augustus episcopus Euphratesiae. Pollux episcopus provinciae secundae Libyae. Pancratius episcopus Pelusii. Philicadus episcopus Augustadorum Phrygiae provinciae. Serapion episcopus Antipyrgi Libyae. Eusebius episcopus Sebastae Palaestinae. Heliodorus episcopus Sezusae Pentapolis. Ptolemaeus episcopus Thmueos Augustonices. Augarus episcopus Cyri Euphrasiae. Exeresius episcopus Gerasorum. Arabion episcopus Adraorum. Charisius episcopus Azoti. Elissaeus episcopus Diocletianopolis. Germanus episcopus Petrarum. Barochius episcopus Arabius. Omnes episcopi numero XLIII.

HACTENUS SEMIARIANORUM ET ARIANORUM FIDEI EXPOSITIO.

Cum hanc et ceteras id genus fidei expositiones vos legitis, quibus prudentiae inest ac iudicii nonnihil, animadvertite quaeso quam subdolum ac malitiosum sit unius ex illa secta partis consilium, ac nihil rectum habeat, neque vel levissime divinae fidei sit professionis consentaneum. Etenim dominus ita commonefecit: *Quod in aurem auditis, praedicate super tecta.* Atque ut apostolus hortatur: *Veritatem unusquisque loquatur cum proximo suo.* At propheta illorum improbitatem non sine reprehensione declarat. *Cum proximo*, inquit, *loquitur pacifica, in corde vero suo habet inimicitiam*, sive malitiam. Talis est Acacius iste cum suis. Nam cum se a Basilio et eius asseclis disiunxissent, quo verae confessionis vinculum ac nexum dissolvere cupientes adulterinam nescio quam, et ad refellendum facilem, et in omnes partes versabilem, fidei professionem ediderunt, ut ex concepta ipsa verborum formula, si quibus imponere vellent, iustam ac legitimam confessionem prae se ferre videri possent, sin perfidiae suae virus patefacere cuperent, eiusmodi illis ad manum esset fidei professio, quae utrimque spectans ad quamlibet illorum simulationem aptum quiddam exprimeret. Sed quoniam in hoc Acacii conventiculo, quod ab aliis duobus est seiunctum, — iam enim diximus tres in partes Arianorum sectam esse divisam; quare Eudoxius, Germanus, Georgius Alexandrinus, Euzoius Antiochenus in unam factionem segregati sunt, Basilius vero Eleusius, Eustathius, Georgius Laodicenus, Silvanus Tarsensis, Macedonius Constantinopolitanus, et alii complures separatim suum corpus effecerunt, Acacius denique, ut supra dixi, cum Meletio, Eutychio, et aliis nonnullis tertias in partes discesserunt.

Cap. XXVII. — Matth. 10, 27. — Eph. 4, 27. — Psalm. 27, 3.

ubi legitur siglo M. *addito. In libris lon. repet.*) θελῆσαι ἐν. 4. μελίτιος *codd. mss. uterque.*
vulgo extat (uti etiam in edit. Petav. Co-

λοι τινὲς ἄλλο τάγμα καὶ οὗτοι γεγόνασι, καὶ ἦν τὸ πᾶν κυβείας [5] ἔμπλεων τὸ ἔργον· ἃ γὰρ ἕκαστος ἐφρόνει, ταῦτα καὶ ὁ ἕτερος εἶχεν, εἰς σχίσματα δὲ διηρέθησαν πρὸς ἀλλήλους, ἢ μίσει τινὶ [6] τῷ πρὸς ἀλλήλους, διὰ τὸ Κύριλλον τὸν Ἱεροσολυμίτην πρὸς Εὐτύχιον ἔχειν μῆνιν, καὶ [7] Εὐτύχιον πρὸς Κύριλλον, εἶναι δὲ τὸν Κύριλλον ἅμα Βασιλείῳ τῷ Γαλάτῃ, καὶ Ἀνιανῷ τῷ κατασταθέντι ἐπὶ τῆς Ἀντιοχείας, καὶ Γεωργίῳ τῷ Λαοδικείας. Τί δὲ κατατρίβομαι τὰς τάξεις διαιρῶν τε καὶ pag. 876. λέγων; ἐλεύσομαι δὲ εἰς τὰς τούτων ἀντιθέσεις, καὶ ἀνατροπὴν τῆς ἑκάστου τούτων δολιότητος. Δεῖ δέ με πρῶτον περὶ τῶν ὕστερον γεγονότων λέγειν. Συμβέβηκε γάρ τοῦτό τισιν εἰς ἀγαθότητα, τισὶ δὲ εἰς πονηρίαν.

Κεφ. κη'. Μελέτιος μὲν γὰρ ὁ ἐν Ἀντιοχείᾳ [1] κατασταθεὶς ὑπὸ τῶν περὶ Ἀκάκιον (ἐντεῦθεν γὰρ γέγονεν τοῦ Ἀκακίου ἔνστασις ὑπὲρ τοῦ κἂν ὀλίγον τι ἀποστρέψειν τῆς κακοδόξου αὐτῶν γνώμης, καὶ [2] ὑποφαίνειν ἑαυτὸν δῆθεν ἐν ὀρθοδόξοις, διὰ τὸ βεβαιῶσαι τὸν προειρημένον Μελέτιον ἐν τῇ καταστάσει)· κατασταθεὶς γὰρ ὁ Μελέτιος οὗτος ὑπ' αὐτῶν τῶν περὶ Ἀκάκιον, ἐνομίζετο παρ' αὐτῶν εἶναι τῆς αὐτῶν δόξης· ἀλλ' οὐχ εὑρέθη, ὡς πολλοὶ περὶ τούτου ἀπαγγέλλουσι. Νῦν μὲν γάρ οἱ αὐτῷ [3] προςκεκλιμένοι, καὶ τῷ αὐτοῦ τάγματι, ἀπὸ τοῦ ἐκεῖνον μὲν δεδιῶχθαι καὶ ἐκβεβλῆσθαι ἀπὸ τοῦ ἰδίου θρόνου, τῷ χρόνῳ καὶ τῇ παρολκῇ τοῦ δεδιῶχθαι προςβαίνοντες καὶ προςτιθέμενοι διὰ τὸν θεὸν ὀρθοδοξοῦσιν. Ἦσαν μὲν γὰρ οἱ λαοὶ πλείους τοῦ τάγματος τούτου τοῦ τῆς συνόδου οἳ ἐπισκόπους [4] ἑαυτοῖς κατατάξαντες ὁμολογοῦσι περὶ υἱοῦ θαυμαστῶς, καὶ τὸ ὁμοούσιον οὐκ ἐκβάλλουσιν, ἀλλὰ καὶ ἐν ἑτοίμῳ, [5] ὥς φασι, τοῦτο ἔχειν, εἰ γένοιτο σύνοδος τελεία, ὁμολογεῖν, καὶ μὴ ἀρνεῖσθαι. Συμβέβηκε γὰρ αὐτὸν τὸν προειρημένον τιμιώτατον [6] Μελέτιον ἀπὸ τῶν Ἀρειανῶν τῶν περὶ Ἀκάκιον κατασταθέντα πρώτῃ προςομιλίᾳ ὡς ἀπαρχὴν ἐπὶ τῆς Ἀντιοχέων ἐξηγήσασθαι [7] ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς μὲν οἱ πλείους φασὶν, ὀρθοδόξως. Τὴν δὲ αὐτοῦ ἐξήγησιν ἐνταῦθα παραθήσομαι. Καὶ ἔστιν ἥδε.

ΑΝΤΙΓΡΑΦΟΝ ΟΜΙΛΙΑΣ ΜΕΛΕΤΙΟΥ.

Κεφ. κθ'. Ὁ μὲν σοφώτατος ἐκκλησιαστὴς φησι ἀγαθὴν ἐσχάτην λόγου ὑπὲρ ἀρχὴν αὐτοῦ, ὅσῳ κρεῖττόν ἐστι καὶ ἀσφαλέστερον παύεσθαι τῆς περὶ τὸ λέγειν ἀγωνίας, ἢ ἄρχεσθαι. Μάλισθ' ὅτε ὁ αὐτὸς ἐκκλησιαστὴς φησι, Αὕτη ἡ σοφία τοῦ πένητος ἐξουθενημένη, καὶ οἱ λόγοι αὐτοῦ

5. ἔπλεον cod. Rhedig.
6. τῷ om. cod. Rhedig.
7. εὐτύχιος codd. mss. uterque, et edit. princ.

Cap. XXVIII. — 1. καταθεὶς vitium est ed. Petav. Colon. repet.
2. ὑποφαίνει codd. mss. uterque.
3. Ita correxi. Libri habent προςκεκλημένοι.

Quorum negotium omne fraudis ac nequitiae plenissimum fuit. Nam cum a se invicem opinione non discreparent, nihilominus certas in factiones divulsi sunt, dum privatas inter se simultates exercent; veluti quod Cyrillus Hierosolymitanus, et Eutychius mutuas inimicitias foverent, Cyrillus vero a Basilii Galatae, et Aniani, qui Antiochiae ordinatus erat episcopus, ac Georgii Laodiceni partibus staret. Quid autem attinet in eorum coetibus patiendis ac commemorandis tempus terere? Venio igitur ad illos omnes refellendos et uniuscuiusque calliditatis evertendam nequitiam. Sed de his prius, quae postea contigerunt, dicendum videtur. Istud enim ipsum nonnullis ad probitatem, aliis ad pravitatem cessit.

Etenim Meletius ab Acacio Antiochiae ordinatus episcopus. Cap. XXVIII. Deinceps enim hoc Acacius propositum habuit, paululum ut ab illorum nefario dogmate deflecteret, et unum se ex orthodoxis faceret, hoc ipso quod Meletium in illa ordinatione confirmaret. Quippe Meletius hic ab Acacianis partibus constitutus suae ab ipsis opinionis esse credebatur. Verum alius est repertus, ut de eo plerique narrant. Nunc enim qui ad illum et ad eius coetum seipsos adiunxerunt, ex eo quod persecutione ille iactatus, et e sede sua deturbatus est, temporis mora et persecutionis longinquitate se ad illum aggregantes, dei caussa sinceram fidem amplectuntur. Siquidem complures ex illius concilii coetu populi fuerunt qui episcopis sibimetipsis propositis mirificam de filio professionem fidei prae se ferunt, nec consubstantiale repudiant, verum paratos se esse dicunt, si perfecta synodus cogatur, istud ipsum profiteri, nec ullo modo negare. Sane quidem hoc venerabili illi Meletio contigit, qui ab Arianis et Acacii partibus constitutus est primum ut Antiochiae in ecclesia sermonem ad populum faceret, ac velut quasdam muneris sui primitias exhiberet. Quem quidem sermonem plerique cum recta fide consentaneum esse confirmant. Eum nos hic adscribendum putavimus qui est eiusmodi.

EXEMPLUM SERMONIS A MELETIO HABITI.

Meliorem principio sermonis exitum esse, sapientissimus ecclesiastes asseruit. Cap. XXIX. Eccl. 7, 4. Propterea quod a dicendi contentione ac sollicitudine cessare longe est quam illam inchoare melius ac securius. Praesertim cum idem hic ecclesiastes dixerit, *Ista pauperis sapientia* Eccl. 9, 16.

4. ἑαυτοῖς *scripsi ex emendat. Cornarii et Petavii. Libri habent* ἑαυτούς.

5. „Expungo ὡς." *Petavius. Recte, uti videtur.*

6. *Nomen* Μελέτιον *in ed. Petav. Colon. repet. non comparet.*

7. *Alterum* ἐπὶ τῆς *delendum puto.*

οὔκ εἰσιν ἀκουόμενοι. Ἐπειδὴ τὸ σῶμα οὐχ ἕν ἐστι μέλος, ἀλλὰ πολλὰ, πάντα δὲ μεριμνᾷ ὑπὲρ ἀλλήλων τὰ μέλη, ἵνα μὴ σχίσμα ᾖ ἐν τῷ σώματι, καὶ οὐ δύναται εἰπεῖν ἡ κεφαλὴ τοῖς ποσὶν, Χρείαν ὑμῶν οὐκ
pag. 877. ἔχω, ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, δεδωκὼς τῷ ὑστερουμένῳ περισσοτέραν τιμὴν, ὅτι μὲν οὖν ἀπαραίτητόν ἐστι κινουμένῳ παντὶ τῷ σώματι μὴ συγκινεῖσθαι, αὐτόθεν δῆλόν ἐστι.

Τίνα δ' ἄν τις τοῦ λόγου τοῦ πρὸς ἡμᾶς ἀρχὴν ποιήσαιτο; ἢ δῆλον ὡς παντὸς ἀρχομένου καὶ λόγου καὶ ἔργου προςήκει τὴν εἰρήνην ἀρχὴν ποιεῖσθαι καὶ τέλος, καὶ ἀπ' αὐτῆς ἀρχομένους καὶ εἰς αὐτὴν καταλήγειν; Τοῦτο γάρ φησι ὁ ἀπόστολος ἀποβήσεσθαι εἰς σωτηρίαν, διὰ τῆς ἡμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος, ὃ δίδωσιν Ἰησοῦς τοῖς πιστεύουσιν εἰς αὐτόν. Καὶ εἴτε οἰκοδομὴν λαλοίη τις, εἴτε παράκλησιν, εἴτε παραμύθιον ἀγάπης, εἴτε κοινωνίαν πνεύματος, διὰ τῆς [1] εἰρήνης τῆς κατὰ θεὸν παραγίνεται. Οὐ μὴν πᾶσιν ἀδιορίστως, ἀλλὰ τοῖς ἀγαπῶσι τὸν νόμον, ὡς ὁ προφήτης φησί· τὸν νόμον οὐ τὸν σωματικὸν, ὃς εἰκόνα καὶ σκιὰν ἔχει τῶν μελλόντων, ἀλλὰ τὸν πνευματικὸν, ὃς σοφῶς ἀνακαλύπτει τῶν προαναφωνηθέντων τὴν ἔκβασιν. Εἰρήνη γὰρ, φησὶ, πολλὴ τοῖς ἀγαπῶσί σε, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον· ὡς δῆλον εἶναι ὅτι τοὺς τὴν εἰρήνην μεμισηκότας μένει τὸ σκάνδαλον. Καὶ προςήκει τοὺς τούτων ἐλευθερωθῆναι ποθοῦντας, καθάπερ θυρεόν τινα προβάλλεσθαι τὴν ἀγάπην πρὸς τὸν κύριον. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. Καὶ οὔτε τηρεῖν ἔστι τὴν ἐντολὴν τοῦ κυρίου μὴ τῆς ἀγάπης τοῦ θεοῦ προηγουμένης (Ἐὰν γὰρ ἀγαπᾶτέ με, φησὶ, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσετε), οὔτε φωτισθῆναι τοὺς ὀφθαλμοὺς, οὐδὲ τὴν καρδίαν, μὴ τῆς ἐντολῆς φωτιζούσης (Ἐντολὴ γὰρ, φησὶ, κυρίου [2] τηλαυγὴς φωτίζουσα ὀφθαλμούς)· ἀλλ' οὐδὲ λόγον ἀληθείας προέσθαι, εἰ μή τις ἔχει Χριστὸν ἐν ἑαυτῷ λαλοῦντα, κατὰ τὸν λέγοντα, Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, μᾶλλον δὲ οὐ λαλοῦντος μόνον, ἀλλὰ καὶ ἐλεοῦντος. Ἔλθοι γὰρ, φησὶ, τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου ἐπ' ἐμὲ, καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον. Ὅπερ οὐκ ἂν ὑπάρξειεν, εἰ μή τις τὰ δικαιώματα ἐκζητήσει. Τῶν γὰρ μὴ οὕτω διακειμένων [3] ἐπὶ σχήματος ἡ ἐν
pag. 878. τοῖς ὀνείδεσιν αἰσχύνη, ὡς μὴ δύνασθαι λέγειν, Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν. Περιαιρεῖται δὲ ἐκ τοῦ στόματος τῆς ἀληθείας

Cap. XXIX. — 1. *Verba* εἰρήνης τῆς *prave omissa sunt in ed. Petav. Colon. repet.*

2. τηλαυγὴς *codd. mss. uterque.* τηλαυγῶς *editi.*

contempta, et sermones eius non audiuntur. Iam vero cum corpus ipsum non unum sit membrum, sed ex pluribus contextum, quae omnia de se mutuo sollicita sunt, ne ullum sit in corpore dissidium, neque caput pedibus dicere potest, nihil vobis opus habeo, verum *Deus corpus ita temperavit ut ei parti quae deterior esset abundantiorem honorem tribuerit.* Porro cum totum ipsum corpus movetur, necessarium esse penitus ut singulae partes una moveantur, vel inde constare potest. 1. Cor. 12, 24.

Ecquod vero dicenti mihi apud vos adhibendum est orationis exordium? An hoc perspicuum est, quemcumque sermonem, vel opus aggrediare, initium et exitum a pacis mentione esse capiendum, ut ab ea et ordiamur et in eam desinamus? Hoc enim ipsum ad salutem profuturum docet apostolus, vestrarum quidem orationum suffragio, communicationeque spiritus, quem Christus credentibus in sese largitur. Ac sive quispiam aedificationis verba loquatur, sive adhortationis, sive consolationis, quae a caritate proficiscitur, sive communionis spiritus, haec omnia ab ea pace, quae secundum deum est, proficiscuntur. Quamquam non promiscue omnibus illa suppetit, sed iis duntaxat qui legem diligunt, ut propheta testatur. Legem vero non corpoream, quae futurarum umbram atque imaginem continet, sed spiritualem videlicet, quae eorum omnium quae praedicta sunt exitum manifeste demonstrat. *Pax enim,* inquit, Esai. 11, 8.
multa diligentibus te, et non est illis scandalum. Ex quo consequens est, eos ipsos in scandalum incurrere qui pacem odio prosequuntur. Et eos oportet, qui ab his liberari cupiant, caritate erga dominum, velut scuto quodam, sese protegere. *Est enim ipse pax nostra, qui* Eph. 2, 14.
fecit utraque unum, et medium parietem maceriae solvens inimicitias in carne, lege praeceptorum in dogmatibus abrogata. Neque vero fieri potest ut domini mandata serventur, nisi dei caritas praecesserit. *Si enim diligitis me,* inquit, *mandata mea servabitis.* Neque Ioann. 14, 15.
ut oculi, vel corda collustrentur, nisi lux a mandatis affulgeat. *Praeceptum enim,* inquit, *domini lucidum, illuminans oculos.* Sed Psalm. 18, 9.
neque veritatem eloqui potest, nisi qui Christum in se ipso loquentem habeat; ut testatur ille qui dicit, *Num experimentum quaeritis* 2. Cor. 13, 3.
loquentis in me Christi? Imo vero non modo loquentis, sed et miserentis. *Veniat,* inquit, *misericordia tua, et salutare tuum in me,* Psalm. 118, 48.
et respondebo exprobrantibus mihi verbum. Quod nullo modo contingeret, nisi quis *iustificationes requireret.* Qui enim sic affecti non sunt, horum propria est in opprobriis verecundia; adeo ut istud usurpare nequeant: *Aufer a me opprobrium et contemptum!* Nam ex

3. ἐπισχήματος *codd. Ien., Rhedig., Paris.*

ὁ λόγος, ὡς μηδὲν εἶναι πλέον τῷ εὐχομένῳ, Μὴ περιέλῃς λόγον ἀληθείας ἐκ τοῦ στόματός μου.

Κεφ. λ'. Πότε δὲ τοῦτο γίνεται; ὅταν μὴ φυλάξῃ τὸν νόμον διαπαντὸς, ὅταν μὴ πορευθῇ τις ἐν πλατυσμῷ. Πλατυνθῆναι δεῖ τὴν καρδίαν, [1] ᾗ μέλλοι τις Χριστὸν ἐμπεριπατοῦντα χωρεῖν, οὗ τὴν δόξαν οὐκ ἄνθρωποι, ἀλλ' οὐρανοὶ, [2] οὐρανοὶ γὰρ διηγοῦνται δόξαν θεοῦ, μᾶλλον δὲ ὁ αὐτὸς πατὴρ, λέγων, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. Ὃν οὐκ ἔστιν ὁμολογῆσαι εἴ τις εἰς ὕψος ἀδικίαν λαλοίη πρὸς τὸν πλησίον αὐτοῦ, εἴ τις εἰς τὴν Ἀντιχρίστων τάξιν καὶ ἐπωνυμίαν [3] αὐτὸν [4] καλέσειεν, ἀποστὰς τῆς τάξεως καὶ ἐπωνυμίας τῶν Χριστιανῶν, περὶ ὧν εἴρηται, Μὴ ἅψησθε τῶν Χριστῶν μου. Τίς γὰρ, φησὶ, ὁ ψευδόμενος, εἰ μὴ ἀρνούμενος, ὅτι Ἰησοῦς ὁ Χριστὸς οὐκ ἔστιν; οὗτος, φησὶ, ὁ Ἀντίχριστος. Ὁ γὰρ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ δὲ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ὁμολογεῖ. Ὅπερ οὖν, φησὶ, ἐξ ἀρχῆς ἠκούσατε, τοῦτο μενέτω ἐν ὑμῖν. Καὶ ἐὰν, φησὶ, μένῃ ἐν ὑμῖν ὅπερ ἐξ ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ μενεῖτε καὶ τῷ πατρί. Μενοῦμεν δὲ, ὅταν ἐνώπιον θεοῦ καὶ ἐκλεκτῶν ἀγγέλων ὁμολογήσομεν, ἀλλὰ καὶ ἐνώπιον βασιλέων, καὶ μὴ αἰσχυνώμεθα. Ἐλάλουν γὰρ, φησὶ, ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Ὅτι υἱὸς τοῦ θεοῦ, θεὸς ἐκ θεοῦ, εἷς ἐξ ἑνὸς, ἐξ ἀγεννήτου μονογενὴς, ἐξαίρετον γέννημα τοῦ γεγεννηκότος, καὶ ἄξιος ὁ υἱὸς τοῦ ἀνάρχου, τοῦ ἀδιηγήτου ἑρμηνεὺς ἀδιήγητος, λόγος, καὶ σοφία, καὶ δύναμις τοῦ ὑπὲρ σοφίαν καὶ δύναμιν, ὑπὲρ ὃ φθέγξασθαι δύναται γλῶττα, ὑπὲρ ὃ κινῆσαι διάνοια· γέννημα τέλειόν τε καὶ μένον ἐκ τελείου καὶ μένοντος ἐν ταυτότητι, οὐκ ἀποῤῥεῦσαν ἐκ πατρὸς, οὔτε ἀποτμηθέν τε καὶ διαιρεθὲν, ἀλλ' ἀπαθῶς καὶ ὁλοκλήρως προελθὼν ἐκ τοῦ μηδὲν ἀποβεβληκότος ὧν εἶχε. Καὶ ὅτι λόγος ἐστί τε καὶ λέγεται υἱὸς, οὐ μὴν φωνὴ τοῦ πατρὸς, οὐδὲ ῥῆμα νοεῖται. Ὑφέστηκε γὰρ καθ' ἑαυτὸν, καὶ ἐνεργεῖ, καὶ δι' αὐτοῦ τὰ πάντα, καὶ ἐν αὐτῷ τὰ πάντα· ὥςπερ καὶ σοφία ὁ αὐτὸς
pag. 879. ὢν οὐκ ἐνθύμημα τοῦ πατρὸς νοεῖται, οὔτε κίνησις τοῦ ἡγεμονικοῦ [5] καὶ ἐνέργεια, ἀλλὰ γέννημα ὅμοιόν τε τοῦ πατρὸς, καὶ τὸν χαρακτῆρα τοῦ πατρὸς ἀκριβοῦν· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. Καὶ οὐχ ἑτέρῳ μὲν ἐνυπάρχει, οὐχ ὑφέστηκε δὲ καθ' ἑαυτὸ, ἀλλὰ γέννημα ἐνεργητικὸν, καὶ πεποιηκὸς τόδε τὸ πᾶν, καὶ φυλάττον ἀεί. Ταῦτα ἱκανὰ καὶ τῆς Ἑλλήνων πλάνης ἡμᾶς καὶ τῆς Ἰουδαϊκῆς ἐθελοθρησκείας ἐλευθερῶσαι, καὶ τῆς αἱρετικῆς κακοδοξίας.

Cap. XXX. — 1. ᾗ *scripsi pro* ἧς *quod libri vulgo praebent. Neque aliter Cornarius, uti videtur, si quidem vertit* in quo quis Christum inambulantem capere vult. εἰ *correxit Petavius.*

2. „Deest verbum" *annotavit Petavius. Nihil desidero, cum scriptorem verbis psalterii ita usum esse appareat ut quodam modo suis adstrueret, adeoque unam sententiam efficeret.*

3. αὐτὸν *om. cod. Rhedig.*

4. καλέσειεν *codd. Rhedig. et Parisi-*

illorum ore sermo veritatis aufertur, ut nullum is fructum sentiat qui sic precatur: *Ne auferas verbum veritatis ex ore meo!*

Quandonam vero illud accidit? Cum legem quispiam perpetuo non observat, cum in latitudine non ambulat. Quippe collatari cor necesse est eius qui inambulantem Christum recipere velit, cuius gloriam non homines, sed coeli praedicant. *Coeli enim enarrant gloriam dei*, vel ipsemet potius pater dicens, *Hic est filius meus dilectus, in quo mihi placui.* Quem quidem confiteri nemo potest, qui *in sublime loquatur iniquitatem ad proximum suum*, si in antichristorum illum coetum appellationemque pelliciat, a Christianorum ordine et appellatione distractus; de quibus scriptum est, *Nolite tangere Christos meos. Quis enim est*, inquit, *mendax, nisi qui negat Iesum esse Christum? Hic est*, inquit, *Antichristus. Nam qui negat filium, neque patrem habet, et qui filium confitetur, una confitetur et patrem. Quod igitur*, inquit, *ab initio audistis, maneat hoc in vobis: et si maneat*, inquit, *in vobis quod ab initio audistis, et vos in filio manebitis et in patre.* Atqui tum demum manebimus, cum coram deo et electis angelis, sed et coram principibus sine ullo pudore confitebimur. *Loquebar enim*, inquit, *de testimoniis tuis in conspectu regum, et non confundebar.* Si hoc fateamur, inquam, dei filium deum esse de deo, unum ex uno, unigenitum ex ingenito, eximiam quandam generantis sobolem, dignumque carentis principio filium, ineffabilis ineffabilem interpretem, verbum sapientiam ac virtutem eius qui sapientiam ac virtutem omnem excellit, supra id omne quod vel eloqui lingua, vel agitare mentis intelligentia potest, perfectam, inquam, sobolem, et stabilem ex perfecto, et in eodem statu permanente; quae quidem soboles neque a patre profluxit, nec exsecta est, vel divisione propagata, sed citra passionem integreque ab eo processit qui nihil eorum quibus praeditus esset amiserit. Tum eundem illum filium verbum esse dicique, non vocem aut dictionem patris, intelligit. Siquidem per se ille subsistit et agit, ac *per ipsum omnia, et in ipso sunt omnia.* Quemadmodum ita ille sapientia est ut patris cogitatio, vel motio mentis, actiove minime sit putandus, sed similis patris soboles, et accuratam in sese patris effigiem exprimens. Nam hunc deus pater sigillo velut obsignavit. Neque sic existit in altero ut per sese minime subsistat. Sed efficax quidam ille foetus est, qui totum hoc universum, quod condidit, perpetuo conservat. Haec idonea sunt ut nos et a Graecorum errore, et a Iudaeorum superstitione, et ab haereticorum nefaria opinione vindicent.

Cap. XXX. Psalm. 18, 1. Matth. 3, 17. Psalm. 72, 8. Psalm. 143, 15. 1 Ioann. 2, 22. Psalm. 118, 46. Col. 1, 16.

nus, et ed. Petav. ὁμολογήσειεν *cod. Ien. et ed. princ.* 5. καὶ *om. in edit. Petav. Colon. repet.*

Κεφ. λα'. Ἐπειδὴ δὲ τῶν ἐν ταῖς γραφαῖς κειμένων λέξεων τὸν νοῦν παρατρέποντές τινες, καὶ ἑτέρως ἢ προςῆκεν ἑρμηνεύοντες, καὶ μήτε τῶν ῥημάτων τὴν δύναμιν, μήτε τῶν πραγμάτων τὴν φύσιν κατανοοῦντες, τολμῶσιν ἀθετεῖν τὴν θεότητα τοῦ υἱοῦ, προςκόπτοντες τῇ λέξει τῆς κτίσεως τῇ ἐμφερομένῃ ταῖς Παροιμίαις, Κύριος γὰρ ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, οὓς δέον τῷ πνεύματι τῷ ζωοποιοῦντι ἀκολουθεῖν, καὶ μὴ τῷ γράμματι τῷ ἀποκτείνοντι (τὸ γὰρ πνεῦμα ζωοποιεῖ), φέρε δὴ τολμήσωμεν καὶ ἡμεῖς μικρὰ περὶ τούτων διαλαβεῖν, [1] οὐχ ὅτι ἐντελῶς εἴρηται τοῖς πρὸ ἡμῶν εἰρηκόσιν (ἢ γὰρ ἂν μαίνοιτό τις, εἰ τοῦτο λέγοι), οὐδὲ ὅτι χρήζετε διδάσκοντος (αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε), ἀλλ' ἵνα φανερωθῶμεν ἐν ταῖς συνειδήσεσιν ἡμῶν, ὅτι τῶν ἐπιθυμούντων ἐσμὲν χαρίσματος ὑμῖν μεταδοῦναι πνευματικοῦ.

Πίστευσον οὖν ὅτι οὔτε ἀλλαχοῦ τῆς γραφῆς, οὔτε ἐπὶ τοῦ παρόντος χωρίου ἐναντία τὰ ῥήματα τῆς γραφῆς ἀλλήλοις ἐστὶ, κἂν μάχεσθαι δοκῇ παρὰ τοῖς τῇ πίστει μὴ ὑγιαίνουσιν, ἤτοι ἀσθενοῦσι τῇ γνώμῃ· καὶ ὡς οὐδὲν τῶν κατὰ τὸν κόσμον παραδειγμάτων οἷόν τέ ἐστιν εὑρεθῆναι ὅπερ ἐξαρκεῖ καθ' ἑαυτὸ σαφῶς παραστῆσαι τοῦ μονογενοῦς τὴν φύσιν. Καὶ διὰ τοῦτο ἡ γραφὴ πολλαῖς ἐπινοίαις περὶ τοῦ μονογενοῦς καὶ ἐπωνυμίαις κέχρηται, εἴ πως δυνηθείημεν διὰ τῶν καθ' ἡμᾶς τὸ ὑπὲρ ὑμᾶς καταλαβεῖν, καὶ διὰ τῶν γινωσκομένων φαντασθῆναι τὰ ἀγνοούμενα, ἠρέμα καὶ κατὰ μικρὸν ἀπὸ τῶν φανερῶν πρὸς τὰ κεκρυμμένα προβιβαζόμενοι. Ἐπεὶ τοίνυν [2] πιστεύειν ἔδει τοὺς πιστεύοντας εἰς Χριστὸν ὡς ὅμοιός ἐστιν ὁ υἱὸς τῷ πατρὶ, ἅτε
pag. 880. δὴ εἰκὼν ὑπάρχων τοῦ ἐπὶ πάντων, ὁ διὰ πάντων, δι' οὗ τὰ πάντα δεδημιούργηται, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ γῆς, εἰκὼν δὲ οὐχ ὡς ἄψυχον ἐμψύχου, οὐδ' ὡς ἐνέργεια τέχνης, οὐδ' ὡς ἀποτέλεσμα ἐνεργείας, ἀλλὰ γέννημα τοῦ γεννήσαντος, καὶ ὅτι οὐ θέμις ἐστὶ [3] τῆς σωματικῆς ἀνθρωπίνης γεννήσεως τὴν τοῦ μονογενοῦς γέννησιν τὴν πρὸ τῶν αἰώνων χαρακτηρίζεσθαι, καὶ ὡς κατὰ τὸ παράδειγμα τῆς σοφίας τῆς περιεκτικῆς τῶν ἀνθρωπίνων ἐνθυμημάτων τοῦ πατρὸς οὐ μὴν ἀνυπόστατός τε καὶ ἀνύπαρκτος, ἑκατέραις ταῖς λέξεσιν ἐχρήσατο ἡ γραφὴ, τῆς τε κτίσεως καὶ τῇ τῆς γεννήσεως, τῇ τε τοῦ Ἔκτισε καὶ τοῦ Ἐγέννησεν, οὐχ ἵνα τὰ ἐναντία δοκῇ καὶ κατὰ τὸ αὐτὸ περὶ τῶν αὐτῶν λέγεσθαι, ἀλλ' ἵνα διὰ μὲν τοῦ Ἔκτισε τὸ ἐνυπόστατόν τε καὶ μόνιμον, διὰ δὲ τοῦ Ἐγέννησε τὸ ἐξαίρετον τοῦ μονογενοῦς καὶ ἰδιάζον παριστᾷ. Ἐγὼ, φησὶ, ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω.

Cap. XXXI. — 1. *Scribendum* οὐχ ὅτι οὐκ ἐντελῶς, *vel* οὐχ ὅτι ἀτελῶς.

2. *Vocabulum* πιστεύειν, *quod absorptum erat, revocavi, sensu postulante, ex syllaba* πει *vocabuli* ἐπεὶ *et vocabuli* τοίνυν. *Iam Cornarius vertit* Quandoquidem igitur oportebat credentes in Christum credere quod similis est filius patri *cett.*

3. *Scribendum* ἐκ τῆς *vel* διὰ τῆς. „Parum expeditus hic locus" *legitur in marg. edit. Petav. Genitivus* τοῦ πατρὸς

Quoniam vero nonnulli vocum illarum, quae in scripturis extant, sensum detorquentes, atque aliter quam par sit interpretantes, neque aut verborum proprietatem aut rerum naturam intelligentes filii divinitatem evertere non dubitant, et ad illud creationis vocabulum offendunt, quod in Proverbiis legitur: *Dominus*, inquit, *creavit me initium viarum suarum in opera ipsius*, quos quidem oportebat, *vivificum potius spiritum, quam occidentem literam sequi; spiritus enim vivificat:* age et nos de his pauca disputemus; non quod ea res ab iis perfecte tractata non fuerit qui ante nos dixerunt. Furere enim illum necesse est qui istud asserat. Neque quod doctore opus habeatis. Vos enim ipsi divinitus estis edocti. Sed ut de nobis sit illud in conscientia vestra manifestum, cupere nos spiritus sancti dona communicare vobiscum. Cap. XXXI. Prov. 8, 22. 2. Cor. 3, 6.

Inprimis itaque crede, nihil nec in ceteris scripturae locis, nec in eo, de quo modo agimus, ulla sibi invicem esse scripturae verba contraria; tametsi iis duntaxat, qui vel sana fide praediti non sunt, vel imbecillioris ingenii sunt, repugnare videantur. Deinde nullum in mundo exemplum reperiri posse quod ad repraesentandam unigeniti naturam per sese sufficiat. Quam ob caussam scriptura multas ad id excogitatas rationes et appellationes accommodat; si quo fortasse modo ex his, quae nobis familiaria sunt et cognita, quae captum nostrum superant comprehendere possimus, et ex cognitis ignotarum rerum informare notitiam, a perspicuis illis pedetentim ad arcana occultaque perducti. Quod igitur eos qui in Christum crederent credere oportebat similem esse patris filium, utpote cum illius qui supra omnia est imago sit ille qui pervadit omnia, et quem producta sunt omnia, tam in coelo quam in terra, imago porro eiusmodi non qualis est animati figura, id quod animae est expers, neque velut artis effectio, aut effectionis opus, sed tanquam genitoris id quod genitum est, cumque praeterea nefas sit ad unigeniti generationem, quae saeculis omnibus prior est, corporeae et humanae generationis proprias notas conditionesque transferre, ac denique cum ad sapientiae illius exemplum, quae humanas cogitationes complectitur, ita filii sit exigenda generatio ut per sese subsistat nihilominus et existat: ideo ambabus illis dictionibus, creationis ac generationis, uti scriptura voluit, cum *Creavit* perinde dixit ac *Genuit;* non ut eadem de re simul contraria dici videantur, sed ut per *Creandi* vocabulum subsistentem ac stabilem unicum esse dei filium, per alterum vero, *Genuit,* eximium ac peculiare quiddam habere monstaret. *Ego,* inquit, *exivi a patre et vado.* Quamquam vel sa- Ioann. 16, 28.

iungendus cum τῆς σοφίας; *subiectum est* μονογενὴς, *de enuntiatione proxima.*

Ἱκανὸν δέ ἐστι καὶ τὸ τῆς σοφίας ὄνομα πᾶσαν ἔννοιαν πάθους ἀποκλεῖσαι.

Κεφ. λβ'. Ἀλλὰ ποῖ φερόμεθα μὴ μνημονεύοντες τοῦ εἰπόντος, Ὦ βάθος πλούτου καὶ σοφίας [1] καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; Ἔχομεν γὰρ διδάσκαλον τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ἔδωκεν ἡμῖν ὁ κύριος μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἐν ᾧ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς τοῦ πνεύματος, πνευματικοῖς πνευματικὰ συγκρίνοντες, ἐν ᾧ λατρεύομεν καὶ προσκυνοῦμεν, [2] δι' ὃ ἀτιμαζόμεθα ἐν ᾧ προφῆται προεφήτευσαν, ἐν ᾧ δίκαιοι ὁδηγήθησαν, δι' οὗ προσαγόμεθα τῷ υἱῷ. Ἀλλὰ τί πολυπραγμονοῦμεν τὰ τῆς φύσεως; μὴ γὰρ ὡς σαρκικοῖς, ἀλλ' οὐχ ὡς πνευματικοῖς διαλεγόμεθα; Ἐπ' ἄλλων γὰρ εἴρηται ὅτι, Οὐ δυνάμεθα [3] ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. Δέος γάρ ἐστι μή πως ἐκ τῆς τῶν ἀκαταλήπτων φιλονεικίας καὶ τῆς τῶν ἀνεφίκτων ζητήσεως εἰς βυθὸν ἀσεβείας ἐμπέσωμεν. Καὶ εἶπα, Σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ ὑπὲρ ὃ ἦν, καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν· μνημονεύσωμεν γὰρ τοῦ εἰπόντος, Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους [4] προφητεύομεν·
pag. 881. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται· εἴ τις δοκεῖ γινώσκειν, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι. Καὶ διὰ τοῦτο δέος ἐστὶ μή πως βιαζόμενοι λέγειν περὶ ὧν οὐ δυνάμεθα λέγειν μηκέτι συγχωρηθῶμεν μηδὲ περὶ ὧν δυνάμεθα· ἐκ πίστεως γὰρ δεῖ λαλεῖν, οὐκ ἐκ τῶν λαλουμένων πιστεύειν. Ἐπίστευσα γὰρ, φησὶ, διὸ ἐλάλησα. Ὅταν οὖν τὸ μὲν περὶ τῆς οἰκείας γεννήσεως μὴ δυνάμενοι ἀποφαίνεσθαι περιεργαζώμεθα, καὶ φιλονεικεῖν ἐπιχειρῶμεν περὶ τῆς τοῦ θεοῦ γεννήσεως, πῶς οὐ δέος ἐστὶ μή πως ὁ διδοὺς οὐ μόνον γλῶτταν παιδείας, ἀλλὰ καὶ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον, καταψηφίσηται ἡμῶν τῆς ἐπὶ τῷ λέγειν προπετείας τὴν σιωπήν; Ὅπερ ἐπὶ τοῦ μακαρίου Ζαχαρίου πεποίηται· ὃς ἐπειδὴ μὴ ἐπίστευσε τῷ εὐαγγελισαμένῳ τὴν γένεσιν τοῦ παιδὸς, ἀνθρωπίνοις λογισμοῖς δοκιμάζων τὴν τοῦ θεοῦ χάριν καὶ δύναμιν, καὶ διαπορῶν πρὸς ἑαυτὸν εἰ φύσιν ἔχει τὸν πρεσβύτην ἐκ τῆς προβεβηκυίας παιδοποιήσασθαι, τί φησι; Πῶς γνώσομαι τοῦτο ὅτι ἔσται; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Τοιγαροῦν [5] ὁπότε ἤκουσεν ὅτι, Ἰδοὺ ἔσῃ σιωπῶν, καὶ οὐ δυνάμενος λαλεῖν, καὶ οὐκ ἐλάλησεν ἐξελθών.

Cap. XXXII. — 1. καὶ om. in ed. Petav. Colon. repet.
2. *Libri vulgo* διό.
3. *Vulgo* ἡμῖν.
4. προεφητεύομεν *editi, invitis libris manu exaratis.*
5. τότε *volebat Petavius. At recte intellexit structuram Cornarius cum verteret* Proinde cum audivisset, Ecce eris silens, et non poteris loqui, egressus est, et non est locutus.

pientiae nomen ipsum ad omnem passionis excludendam opinionem sufficit.

Verum quo tandem rapimur eius qui ita scripsit obliti, *O altitudo divitiarum, sapientiae et scientiae dei: quam incomprehensibilia sunt iudicia eius, et investigabiles viae eius?* Nos enim doctorem habemus veritatis spiritum; quem nobis posteaquam in coelum ascendit largitus est dominus: *Ut videamus quae a deo donata sunt nobis: in quo et loquimur, non in edoctis humanae sapientiae verbis, sed a disciplina spiritus acceptis, spiritalibus spiritalia comparantes, in quo colimus et adoramus;* cuius gratia ignominia afficimur, per quem prophetae vaticinati sunt, a quo iusti homines per viam deducti sunt, per quem conciliamur filio. Quid attinet igitur in illius naturam inquirere? Nonne apud vos sic tanquam spiritales sermonem instituimus? Nam ad alios ista pertinent: *Quoniam non possumus vobis loqui tanquam spiritalibus, sed tanquam carnalibus.* Est illud vero metuendum, ne ex earum rerum quae comprehendi nequeunt ambitioso studio, et eorum quae investigari non possunt inquisitione in altissimam impietatis voraginem incidamus. *Et dixi, Sapiens ero, et ipsa longius a me recessit quam erat; et altissimum est profundum: quis inveniet illud.* Meminerimus enim eius qui ista dixit: *Ex parte cognoscimus, et ex parte prophetamus. Cum autem venerit quod perfectum est, evacuabitur quod ex parte est: si quis videtur scire, nondum novit quemadmodum oporteat scire.* Quamobrem verendum nobis est ne, dum de his quae assequi non possumus, quo iure quaque iniuria disputare volumus, ne de his quidem quae attingere possumus disputandi facultas relinquatur. Nam ex fide loqui, non ex his quae quispiam loquitur, fidem adhibere convenit: *Credidi enim*, inquit, *propter quod et locutus sum.* Quare qui de propria generatione certi nihil affirmare possumus, cum dei generationem curiose perscrutamur, et ambitiose explicare illa aggredimur, nonne timendum est ne his, qui non disciplinae modo linguam, sed et opportunitatis ad dicendum scientiam confert, nostram illam ad dicendum praecipitem audaciam silentio damnet? Quod beato illi Zachariae contigit. Qui quidem filii nativitatem nuntianti sibi angelo minime credens, ac dei gratiam et virtutem humanae rationis momentis ac ponderibus aestimans, secumque ipse dubitans, ecquid natura pateretur, ut senio confectus ex anu liberos susciperet, quid demum eloquitur? *Quomodo*, inquit, *fore ista cognoscam? ego enim sum senex, et uxor mea processit in diebus suis.* Unde statim audiit, *Ecce eris tacens et non poteris loqui.* Et non poterat loqui cum esset egressus.

Cap. XXXII. Rom. 11, 33. 1. Cor. 2, 12. 1. Cor. 3, 1. Eccl. 7, 24. 1. Cor. 13, 9. 1. Cor. 8, 2. Psalm. 115, 10. Luc. 1.

Κεφ. λγ΄. Διόπερ ἀφέντες περὶ τῶν ἀμφισβητουμένων φιλονεικεῖν, καὶ περὶ τῶν ὑπὲρ ἡμᾶς, κρατοῦμεν ἃ παρειλήφαμεν. Τίς γάρ ἐστιν ὁ τολμῶν ἐπιγνώσει φυσιωθῆναι, ὁπότε αὐτὸς ὁ τῶν ἀποκαλύψεων καταξιωθεὶς, ὁ εἰς οὐρανὸν τρίτον ἀναληφθεὶς, ὁ ἀκούσας ἄῤῥητα ῥήματα, ἐσωφρονίσθη διὰ τοῦ κατὰ τὴν σάρκα σκόλοπος μὴ ὑπεραίρεσθαι; καὶ αὐτὸς ὁ προφήτης ὁ εἰπών, Ἐπίστευσα, διὸ ἐλάλησα, Ἐταπεινώθην, φησὶ, οὐχ ἁπλῶς, ἀλλὰ σφόδρα. [1]Ὅσῳ γὰρ ἄν τις ἐγγυτέρῳ τῆς γνώσεως εἶναι δοκῇ, τοσούτῳ μᾶλλον ὀφείλει λογίζεσθαι πρὸς ἑαυτὸν ὅτι ἄνθρωπός ἐστι. Περὶ τούτου ἄκουε τί λέγει, Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης. Ἔχοντες οὖν τὸν διδάσκαλον τῆς ἀληθείας, μηκέτι ἀνθρωπίνοις διδασκάλοις [2]προςχρώμεθα, ἀλλ' ἐννοοῦντες. Καὶ μήτε τρόπους περιεργαζώμεθα, μήτε ἕτερόν τι.
pag. 882. Ὥςπερ γὰρ τὴν γέννησιν τοῦ υἱοῦ οὐκ ἔστιν εἰπεῖν, οὐδὲ τὸν τρόπον τῆς γεννήσεως τοῦ πατρὸς ἔστιν ἀποφήνασθαι. Ἀλλὰ ἀρκεῖν [3]ἡγεῖσθε πρὸς διδασκαλίαν τοῦτο, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Δῴη δὲ κύριος κατὰ τὸν Ἀβραὰμ φρονοῦντας ἡμᾶς τὸν λέγοντα, Νῦν ἠρξάμην λαλεῖν τῷ κυρίῳ μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδὸς, καὶ μὴ ὑπεραιρομένους κατὰ τὰς κέδρους τοῦ Λιβάνου, ὅτι μὴ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πίστεως ἡ ὁμαλὴ καὶ εἰρηνικὴ κατορθοῦται σοφία, μήτε διαπορεῖν ἡμᾶς, ἀλλ' ὁτιοῦν ποιοῦντες εὐαρεστήσωμεν τῷ θεῷ καὶ πατρὶ, καὶ μετ' αὐτοῦ καὶ σὺν αὐτῷ [4]τῷ υἱῷ, ἐν ἁγίῳ πνεύματι ἡ δόξα, τὸ κράτος, ἡ τιμὴ, καὶ ἡ δύναμις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΠΕΠΛΗΡΩΤΑΙ Η ΤΟΥ ΜΕΛΕΤΙΟΥ ΟΜΟΛΟΓΙΑ.

Κεφ. λδ΄. Ἔδοξε δὲ τούτοις μετενέγκαι αὐτὸν ἀπὸ τῆς Ποντικῆς χώρας τοὺς πλείους τῶν Ἀρειανῶν, οὐκ ἐπὶ χαρᾶς, οὐδὲ εἰς αὐτῶν ἀνάπαυσιν, ἀλλ' εἰς ἐπάχθειαν. Ἐντεῦθεν κινοῦσι τὸν βασιλέα, καὶ συσκευάζονται τὸν ἄνδρα, ὡς διὰ τὸ μὴ ὡμολογηκέναι κτίσμα τέλειον αὐτὸν, καὶ ἐξεοῦσι τῆς αὐτοῦ καθέδρας. Καὶ νύκτωρ φυγαδεύεται ὁ ἀνὴρ, ἕως τῶν χρόνων τούτων· ὃς καὶ δεῦρο ὑπάρχει ἐν τῇ ἰδίᾳ πατρίδι, τίμιος ἀνὴρ καὶ ἐπιπόθητος, μάλιστα δι' ὧν νυνὶ ἐνηχούμεθα κατωρθωκέναι, καὶ ἀφ' ὧν νυνὶ οἱ ὑπ' αὐτὸν ἐν Ἀντιοχείᾳ ὁμολογοῦσιν, οὐκέτι ὅλως οὔτε ἐν παραδρομῇ μεμνημένοι κτίσματος ὀνόματος, ἀλλ' ὁμοούσιον ὁμολογοῦντες πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, τρεῖς ὑποστάσεις,

Cap. XXXIII. — 1. ὅσα -- ἐγγυτέρα *petita.* (*sic*) *cod. Rhedig.* 2. προχρώμεθα *ed. Petav. Colon. re-* 3. *Libri habent* ἡγεῖσθαι. 4. *Verba* τῷ υἱῷ *non comparent in li-*

Quae cum ita sint, contentiosa illa dubiis de rebus quae captum nostrum superant tractatione praetermissa iis quae a maioribus accipimus inhaeremus. Quis est enim qui scientia iactare se et insolentius audeat efferre, cum ille ipse cui divina patefacta sunt, *qui ad tertium usque coelum esse evectus*, *qui audivit arcana verba*, cum ille, inquam, *carnis stimulo coërcitus sit, ne se arroganter extolleret?* Quin propheta ille, qui dixit, *Credidi propter quod et locutus sum*, *humiliatus sum*, inquit, non utcumque, sed *nimis*. Etenim quanto quisque ad scientiam propius videtur accedere, tanto magis reputare cum animo suo debet hominem se esse. Qua de re audi quid ille dicat. *Ego vero dixi in excessu meo, Omnis homo mendax.* Itaque cum praeceptorem veritatis habeamus, nullos amplius humanos doctores adiungamus, sed apud nos ipsi cogitemus, ac neque divinarum rerum modos et rationes, neque quidquam aliud curiosius indagemus. Ut enim filii generationem explicare nemo potest, ita et modum illum, quo pater genuit, enarrare nullus potest. Verum illud ad doctrinam sufficere putatote, *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil.* Utinam vero det illud nobis dominus, ut eadem qua Abrahamus prudentia praediti, cum dixit, *Nunc coepi cum domino meo colloqui; ego vero sum terra et cinis,* adeo ut non cedrorum Libani instar attollamur, *eo quod non in doctis humanae sapientiae verbis, sed fidei institutione perceptis* aequabilis illa ac pacifica sapientia comparatur, det, inquam, nobis ut nequaquam haesitemus, verum quicquid tandem agamus, deo ac patri, et cum ipso filio in spiritu sancto placeamus. Cui gloria, imperium, honor, et virtus nunc et semper in saecula saeculorum, Amen.

Cap. XXXIII. — 2. Cor. 12, 2. — Ps. 115, 10. — Ioann. 1, 16. — Gen. 18, 27. — 1. Cor. 2, 3.

HACTENUS MELETII CONFESSIO.

Ceterum plerisque ex Ariana factione visum est hunc e Pontica regione transferre; quod ipsis tamen minime, ut sperabant, voluptatem et otium sed molestiam attulit. Igitur imperatorem delatione sua in hominem commovent, quod perfectam creaturam esse filium profiteri nollet, ac tandem e sua sede deturbant. Itaque noctu in exilium deportatus ad haec usque tempora in patria degit, singulari honore ac benevolentia prosequendus, cum ob alia, tum ob ea quae nunc praeclare ab eo gesta didicimus, et quod Antiocheni, quibus ille praeest, sinceram fidem hoc tempore profitentur; qui nullam amplius, ac ne leviter quidem, creaturae mentionem faciunt, sed patrem et filium et spiritum sanctum consubstantialem esse

Cap. XXXIV.

bris nec manu scriptis, nec typis expressis.

μίαν οὐσίαν, μίαν θεότητα· καθὼς ἐστιν ἡ ἀληθινὴ πίστις, ἡ ἀπὸ τῶν ἀνέκαθεν, προφητική τε καὶ εὐαγγελικὴ καὶ ἀποστολικὴ, ἣν ὡμολόγησαν οἱ συνελθόντες πατέρες ἡμῶν καὶ ἐπίσκοποι ἐν τῇ Νικαίᾳ συνόδῳ, ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καὶ μακαριωτάτου βασιλέως. Γένοιτο δὲ καὶ αὐτὸν τὸν τιμιώτατον Μελέτιον οὕτως ὁμολογεῖν κατὰ τοὺς ὑπ' αὐτὸν ὄντας ἐν τῇ Ἀντιοχείᾳ καὶ ἐν ἄλλοις τισὶ τόποις οὕτως ὁμολογοῦντας. Εἰσὶ γὰρ καί τινες τῶν δοκούντων αὐτῷ κοινωνεῖν, καὶ τῇ κατ' αὐτὸν συνόδῳ, βλασφημοῦντες τὸ πνεῦμα τὸ ἅγιον, καὶ
pag. 883. περὶ μὲν υἱοῦ καλῶς λέγοντες, τὸ δὲ πνεῦμα κτιστὸν ἡγούμενοι, καὶ ἀλλότριον θεοῦ παντάπασι. Περὶ ὧν ὕστερον ἐν τῇ κατ' αὐτοὺς ἀνατροπῇ τῆς αἱρέσεως τὰ πάντα ἀκριβῶς κατὰ δύναμιν λέξομεν.

Cum quod eodem istud recidit: *Dico autem ego, non dominus, uxo-* 1.Cor. 7, 10.
rem ab homine non separari: Peragrarunt vero Phrygiam et Galatiae Act. 16, 6.
tractum, prohibiti a spiritu sancto praedicare verbum in Asia: Cum
autem pervenissent in Mysiam, conabantur in Bithyniam proficisci, ne-
que sivit eos spiritus sanctus. Perinde ac Christus dixit, *Euntes ba-* Matth. 28, 19.
ptizate omnes gentes: Nolite portare peram, neque virgam, neque cal- Matth. 10, 10.
ceamenta: Qui quidem, inquit, *Paulo dicebant per spiritum, ne ascen-* et Marc. 6, 8.
deret Hierosolyma. Item Agabus: *Haec dicit spiritus: Virum cuius* Act. 21, 4. et 11.
est haec zona. Cui simile est illud apostoli: *An experimentum quae-* 2.Cor. 13, 3.
ritis loquentis in me Christi? vel: *Mementote verborum domini, quo-* Act. 20, 35.
niam ipse dixit, Melius est dare quam accipere. Et *nunc ego spiritu*
alligatus abeo. Quasi dicat, *Paulus vinctus Iesu Christi: verumta-* Ibid. 22.
men spiritus contestatur mihi per urbes dicens. Cuiusmodi est illud: Philem. 1, 1.
Dominus testis est animae meae, quod non mentior: In virtute secun- Gal. 1, 20.
dum spiritum sanctificationis. Simile est huic: *Sanctus in sanctis re-* Rom. 1, 4.
quiescens. Item: *Circumcisio cordis in spiritu.* Cui respondet il- Esai. 57, 15. Rom. 2, 29.
lud: *Et circumcisus circumcisione non manu facta, in exspoliatione* Col. 2, 11.
corporis peccatorum in circumcisione Christi. Illud vero: *Si spiritus* 1.Cor. 3, 16.
dei habitat in vobis, huic est affine: *Quemadmodum accepistis Chri-* Col. 2, 6.
stum, in ipso ambulate: et, *spiritus domini locutus est in me, et ver-* 2. Reg. 23, 2.
bum eius in ore meo. Item, *Primitias spiritus habentes,* ad illud ac- Rom. 8, 23.
cedit: *Primitiae Christus. Sed ipse spiritus postulat pro nobis,* idem 1. Cor. 15, 23.
est cum illo: *Qui est ad dexteram dei, qui interpellat pro nobis: Ut* Rom. 8, 26.
sit oblatio gentium accepta, sanctificata in spiritu sancto. Cui hoc Ibid. 34. Rom. 15, 10.
simile est: *Dominus autem sanctificet vos, ut sitis sinceri, et sine of-* Phil. 1, 16.
fensione in diem domini: Nobis vero revelavit dominus per ipsius spiri- 1. Cor. 2, 10.
tum, idem cum isto loco significat: *Quando placuit ei qui me segre-* Gal. 1, 15.
gavit ab utero matris meae, per gratiam ipsius, revelare in me fi-
lium suum: Nos autem non mundi spiritum accepimus, sed spiritum 1.Cor. 2, 12.
dei. Cum eo conferendum istud est: *Vosmet ipsos probate, num* 2.Cor. 13, 5.
Christus sit in vobis: Templum dei estis, et spiritus dei habitat in 1.Cor. 3, 16.
vobis; perinde atque illud: *Habitabo in illis, et inambulabo, et ero* 2.Cor. 6, 16.
illorum deus, et ipsi erunt mihi populus.

23. Ἄγαβός φησι, τάδε, *particula* ἡ *omissa, Ancor.*
24. ὁμοίως ὡςεὶ ἔλεγε *Ancor.*
25. ζητοῦντες *Ancor.*
26. θεοῦ *Ancor.*
27. ἐγὼ ἰδοὺ *cod. Rhedig.*
28. ἐὰν *om. Ancor.*
29. τῷ εἰπεῖν *Ancor.*
30. καὶ περιετμήθητε περιτομῇ ἀχειροπ. ἐν ἀπεκδύσει, *reliquis omissis, Ancor.*
31. τῇ *non habet Ancor.*
32. ἀπαρχῆς *Ancor.*
33. ὃς καὶ ἐντυγχάνει *Ancor.*
34. ἁγιάζει *Ancor.*
35. Χριστοῦ *Ancor.*
36. Χριστὸς διὰ πνεύματος *Ancor.*
37. ὁ θεὸς ὁ ἀφορίσας ἐκ *Ancor.*
38. τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ *Ancor.*
39. τὸ ἐκ θεοῦ *Ancor.* θεοῦ *sine articulo habet cod. Rhedig.*

Κεφ. ς'. [1]Ἀλλὰ τὴν δικαίωσιν ἐξ ἀμφοῖν λέγει, καὶ τὴν χάριν. Δικαιωθέντες δὲ ἐν τῷ ὀνόματι [2]τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν, ὅμοιον τῷ εἰπεῖν, Δικαιωθέντες δὲ ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ· καὶ, Οὐδεὶς δύναται πνεῦμα ἅγιον λαβεῖν [3]ἢ παρὰ κυρίου. Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα, καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Καὶ ἀπὸ δόξης εἰς δόξαν, [4]καθὼς ἀπὸ κυρίου πνεύματος. Καὶ, Μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως, ὅμοιον τῷ εἰπεῖν, Εἰ παραζηλοῦμεν τὸν κύριον, μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; τὸ δὲ, Πνεῦμα ῥητῶς λέγει, ὅμοιον τῷ εἰπεῖν, Τάδε λέγει κύριος παντοκράτωρ. Καὶ, Τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ
pag. 894. ὑμῶν, Ἐάν τις ἐμοὶ ἀνοίξῃ [5]εἰςελθεῖν, ἐγὼ καὶ ὁ πατὴρ [6]μονὴν παρ' αὐτῷ ποιήσομεν. Ἡσαΐας δὲ, Καὶ ἐπ' αὐτὸν πνεῦμα θεοῦ. Ὁ δὲ Χριστὸς, Πνεῦμα κυρίου [7]ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. Καὶ, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν [8]ὁ θεὸς πνεύματι ἁγίῳ· [9]ἢ, Κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. Φανερὰ δὲ καὶ ἡ φωνὴ τῶν Σεραφὶμ κράζουσα, Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. Ἐὰν δὲ ἀκούσῃς ὅτι, Τῇ δεξιᾷ τοῦ θεοῦ ὑψωθεὶς, [10]καὶ, τὴν ἐπαγγελίαν τοῦ πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς, ἢ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατε, ἢ ὅτι, Τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον, ἢ ὅτι, αὐτὸς λέγει, Μὴ μεριμνήσητε τί εἴπητε, ὅτι τὸ πνεῦμα [11]τὸ λαλοῦν ἐν ὑμῖν, ἢ, Εἰ δὲ ἐν πνεύματι θεοῦ [12]ἐκβάλλω τὰ δαιμόνια, ἢ, Ὁ δὲ βλασφημῶν εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται αὐτῷ, καὶ τὰ ἑξῆς, [13]ἢ, Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἢ, Τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο τῷ πνεύματι, [14]Ἰησοῦς δὲ πλησθεὶς πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, ἢ, Ὑπέστρεψεν Ἰησοῦς τῇ δυνάμει τοῦ πνεύματος, ἢ, Τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν, ὅμοιον τῷ εἰπεῖν, Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, ἢ, Κἀγὼ παρακαλέσω τὸν [15]πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν τὸ πνεῦμα τῆς ἀληθείας, ἢ, Διὰ τί ἐπλήρωσε τὴν καρδίαν σου ὁ Σατανᾶς, τῷ Ἀνανίᾳ [16]λέγων, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; καὶ μετὰ ταῦτα, Οὐκ ἀνθρώποις ἐψεύσω, ἀλλὰ [17]θεῷ. Ἄρα θεὸς ἐκ θεοῦ, [18]καὶ θεὸς τὸ πνεῦμα τὸ ἅγιον, ᾧ ἐψεύσαντο οἱ τοῦ τιμήματος τοῦ χωρίου νοσφισάμενοι. Ἤ, [19]Ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι.

Cap. VI. — 1. Ἀλλὰ καὶ τὴν *Ancor.*
2. Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, καὶ ἐν πνεύματι *Ancor.*
3. εἰ μὴ *Ancor.*
4. καθάπερ *Ancor.*
5. εἰςέλθω ἐγὼ καὶ ὁ πατὴρ, καὶ μονὴν *Ancor.*
6. παρ' αὐτῷ μονὴν *cod. Rhedig.*
7. ἐπ' ἐμὲ *om. Ancor.*
8. ὁ θεὸς *om. Ancor.*
9. εἰ *Ancor.*
10. τήν τε *Ancor.*
11. τοῦ πατρός μου τὸ λαλοῦν *Ancor.*
12. ἐκβάλω *codd. mss. et ed. princ.*

Quinetiam iustificationem ab utroque manare demonstrat, et Cap. VI.
gratiam. *Iustificati porro in nomine domini nostri Iesu Christi, et in* 1.Cor. 6, 11.
spiritu dei nostri. Cui simile est: *Iustificati autem ex fide pacem* Rom. 5, 1.
habemus cum deo per dominum nostrum Iesum Christum. Nemo potest
dicere, Dominum Iesum, nisi in spiritu sancto: et: *Nemo potest ac-* 1.Cor. 12, 3.
cipere spiritum sanctum nisi a domino: Divisiones porro gratiarum 1.Cor. 12, 4.
sunt: idem vero spiritus, et divisiones ministeriorum sunt, idem au-
tem deus, qui operatur omnia in omnibus. Et: *A gloria in glo-* 2.Cor. 3, 18.
riam, tanquam a domini spiritu. Et: *Nolite contristare spiritum san-* Eph. 4, 30
ctum, in quo signati estis in diem redemptionis: cum illo consentiunt:
Si provocemus dominum, an fortiores ipso sumus? Hoc autem: *Spi-* 1. Cor. 10, 22.
ritus manifeste dicit, simile es huic: *Haec dicit dominus omnipotens.* 1. Timoth. 4, 1.
Et, *Spiritus meus stat in medio vestri,* cum isto coniungitur: *Si quis* Ag. 2, 6. Apoc. 3, 20.
aperuerit mihi ut ingrediar, ego et pater mansionem apud ipsum facie-
mus. Haec Isaias: *Et super ipsum,* inquit, *spiritus dei.* Christus Ioann. 14, 23.
vero: *Spiritus Domini super me, propter quod unxit me.* Et: *Iesum* Isai. 11, 2. Luc. 4, 18.
a Nazaret, quem unxit deus spiritu sancto. Vel: *Dominus misit me,* Act. 10, 38. Isai. 48, 16.
et spiritus eius. Nec obscura Seraphinorum clamantium vox est: Isai. 6, 3. Act. 2, 33.
Sanctus, sanctus, sanctus dominus Sabaoth. Praeterea cum illud Act. 1, 4.
audiet: *Dextra dei exaltatus, et promissionem spiritus accipiens a pa-*
tre. Vel: *Expectare promissionem patris, quam audistis.* Vel quem- Marc. 1, 12.
admodum *spiritus illum in desertum expulit.* Vel quod idem ait: Matth. 10, 20.
Nolite cogitare quid loquamini, quoniam spiritus loquitur in vobis.
Sive illud: *Si autem in spiritu dei eiicio daemonia.* Vel: *Qui autem* Luc. 11, 19. Marc. 3, 29.
blasphemaverit in spiritum sanctum, non remittetur ei etc. Vel: *Pa-* Luc. 23, 46.
ter, in manus tuas commendo spiritum meum. Vel: *Puer crescebat,* Luc. 1, 80.
et corroborabatur spiritu: Iesus vero repletus spiritu sancto reversus
est a Iordane. Sive: *Reversus est Iesus virtute spiritus.* Vel: *Quod* Luc. 4, 1. Ioann. 3, 6.
natum est e spiritu spiritus est. Haec omnia eodem cum iisce reci-
dunt: *Quod factum est, in ipso vita erat.* Vel cum eo: *Ego rogabo* Ioann. 1, 4.
patrem, et alium paracletum dabit vobis, spiritum veritatis. Vel cum Ioann. 14, 16.
isto: *Cur implevit cor tuum satanas* (ait Petrus Ananiae) *fraudare te* Act. 5, 3.
spiritum sanctum? Deinde subiicit: *Non hominibus mentitus es, sed*
deo. Igitur deus ex deo, deus est, inquam, spiritus sanctus, cui
mentiti sunt qui ex agri pretio nonnihil interverterant. Eiusmodi
est et istud: *Qui manifestatus est in carne, iustificatus est in spiritu.* 1. Timoth. 3, 16.

13. *Verba* ἢ, Πάτερ εἰς χ. σ. π. τὸ πνεῦμά σου *non habet Ancor.*
14. ἢ, Ἰησοῦς πλήρης *Ancor. In cod. Rhedig. est* ἰς δὲ πλησθεὶς, *in cod. Ien.* ἰς δὲ πλ.
15. πατέρα μου *Ancor.*
16. Πέτρος *pro* λέγων *habet Ancor.*
17. τῷ θεῷ *Ancor.*
18. καὶ θεὸς *om. Ancor.*
19. ὃς *om. Ancor. In cod. Rhedig. est* ὡς.

Τούτου μεῖζον οὐκ ἔχω λέγειν. Θεὸς δὲ ὁ υἱός. Ἐξ ὧν, φησὶ, ὁ Χριστὸς [20] κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός. Πίστευσον, φησὶ, εἰς τὸν κύριον Ἰησοῦν, καὶ σωθήσῃ. Καὶ, Ἐλάλησε, [21] φησὶ, αὐτοῖς τὸν λόγον τοῦ κυρίου, ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον, παρέθηκεν αὐτοῖς τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ θεῷ. Ἢ, ὅτι Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος, ἢ, Ἵνα τὴν διδασκαλίαν τοῦ [22] σωτῆρος ἡμῶν κοσμήσωσιν, ἢ, Ἐπεφάνη [23] γὰρ ἡ χάρις [24] τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Χριστοῦ πᾶσιν ἀνθρώποις, [25] διδάσκουσα ἡμᾶς, ἢ, [26] Δεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης [27] τοῦ μεγάλου θεοῦ καὶ
pag. 895. σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἢ, Αὐτὴ ἡ διακονία τοῦ πνεύματος, καὶ τοῦ λόγου· προσέχετε, [28] φησὶ, ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ [29] ἔθετο ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους, ποιμαίνειν [30] ἡμᾶς τὴν ἐκκλησίαν τοῦ θεοῦ, ὅμοιον τῷ εἰπεῖν, Χάριν ἔχω τῷ [31] ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο [32] εἰς διακονίαν θέμενος.

Κεφ. ζ. Συνεργεῖ τοίνυν, ὡς ἀποδέδεικται, τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. [1] Τῷ λόγῳ γὰρ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις [2] αὐτοῦ. Προσκυνητὸν δὲ [3] τὸ πνεῦμα τὸ ἅγιον, τοὺς γὰρ προσκυνοῦντας θεῷ [4] πνεύματι δεῖ προσκυνεῖν καὶ ἀληθείᾳ. Εἰ δὲ συνεργεῖ [5] ἡ ἀλήθεια, κτίσις κτίσιν οὐκ ἐργάζεται, οὐδὲ κτιστὴ [6] ἡ θεότης γίνεται, οὐδὲ ἐν μέτρῳ ἢ περιοχῇ θεὸς γινώσκεται. Ἔστι γὰρ ἀπερίγραφος, ἀχώρητος, ἀπερινόητος, πάντα [7] περιεχόμενος τὰ ποιήματα τοῦ θεοῦ. Οὐ λατρευτέα δὲ ἡ κτίσις. Ἐλάτρευσαν γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ἐμωράνθησαν. Πῶς γὰρ οὐ μωρὸν κτίσιν θεολογεῖν, ἀθετεῖν δὲ [8] πατρὸς τὴν ἐντολὴν τὴν λέγουσαν, Ἄκουε Ἰσραὴλ, Κύριος ὁ θεός [9] σου εἷς ἐστιν, οὐκ [10] ἔσται ἐν σοὶ θεὸς πρόσφατος; ἐν γραφαῖς δὲ ἁγίαις [11] ὀνόματα διάφορα καλεῖται πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. Πατρὸς μὲν πατὴρ παντοκράτωρ, πατὴρ ἁπάντων, πατὴρ Χριστοῦ. [12] Κυρίου δὲ λόγος, Χριστὸς, [13] υἱὸς, φῶς ἀληθινόν. Τοῦ δὲ ἁγίου πνεύματος παράκλητος, πνεῦμα ἀληθείας, πνεῦμα θεοῦ, πνεῦμα Χριστοῦ. [14] Τί τοίνυν; θεὸς νοεῖται καὶ πατὴρ φῶς, ἀλλ' ὡς ὑπέρλαμπρον, δύναμις, σοφία. Εἰ δὲ φῶς ὁ θεὸς καὶ πατὴρ, [15] φῶς ἐκ φωτὸς ὁ υἱὸς, καὶ διὰ τοῦτο [16] φῶς οἰκῶν τὸ ἀπρόσιτον. Δύναμις

20. τὸ κατὰ σάρκα *Ancor.*
21. φησὶ *om. Ancor.*
22. πατρὸς ἡμῶν θεοῦ κοσμ. *Ancor.*
23. γὰρ *om. Ancor.*
24. τοῦ θεοῦ, ἡ σωτήριος πᾶσιν *Ancor.*
25. παιδεύουσα *Ancor.*
26. προσδεχόμενοι *Ancor.*
27. τοῦ κυρίου καὶ σωτ. *Ancor.*
28. δὲ, φησὶν *Ancor.*
29. ὑμᾶς ἔθετο *Ancor.*
30. ὑμᾶς *ed. Petav. Colon. repet., vitiose. Ab Ancor. pronomen plane abest.*
31. ἐνδυναμώσαντι *Ancor.*
32. θέμενος εἰς διακονίαν *Ancor.*

Cap. VII. — 1. τῷ γὰρ λόγῳ *Ancor.*

Hoc ego maius nihil habeo, quod dicam. Porro deus est filius. Nam apostolus, *Ex quibus*, inquit, *Christus secundum carnem, qui* Rom. 9, 5. *etsi supra omnia deus. Crede*, inquit, *in dominum Iesum, et salva-* Act. 16, 31. *beris.* Item: *Locutus est*, inquit, *illis sermonem domini: Et dedu-* Act. 16, 34. *cens eos in domum apposuit illis mensam, et laetatus est cum universa familia postquam credidit deo.* Sive illud consideres: *In principio* Ioann. 1, 1. *erat verbum, et verbum erat apud deum, et deus erat verbum.* Vel: *Ut doctrinam nostri salvatoris ornent.* Sive: *Apparuit enim gratia* Tit. 2, 10. Ibid. 11. *domini et salvatoris nostri Iesu Christi omnibus hominibus erudiens nos.* Vel: *Expectante beatam spem, et adventum gloriae magni dei et salva-* Act. 20, 28. *toris nostri Iesu Christi.* Item: *Hoc est ministerium spiritus, et verbi.* Act. 20, 28. *Attendite*, inquit, *vobis, et universo gregi, in quo posuit vos spiritus sanctus episcopos, regere ecclesiam dei.* Perinde ac si diceret: *Gra-* 1. Timoth. 1, 12. *tias agò corroboranti me Christo Iesu domino nostro, quod me fidelem arbitratus est, ad ministerium constituens.*

Itaque filius et spiritus sanctus cum patre, uti demonstravimus, Cap. VII. agunt communiter. *Verbo enim domini coeli firmati sunt, et spiritu* Psalm. 32, 9. *oris ipsius omnis virtus eius.* Spiritus vero sanctus adorandus est: *Qui enim adorant deum, spiritu adorare oportet, et veritate.* Quod Ioh. 4, 24. si veritas communiter agit, creatura creaturam aliam non efficit, neque creari divinitas potest, neque certo modo ac circumscriptione definitus cognoscitur deus. Circumscribi enim non potest, aut capi, aut intelligentia comprehendi, cum universa dei opera contineat. Sed neque creaturae serviendum: *Servierunt*, inquit, *creaturae po-* Rom. 1, 25. *tius quam creatori, et fatui redditi sunt.* Nonne stolidum est creaturae divinitatem tribuere, ac patris hoc violare praeceptum: *Audi* Deut. 6, 4. Psalm. 80, 10. *Israël, Dominus deus tuus unus est: Non erit in te deus recens?* Ceterum diversis in scriptura nominibus pater et filius et spiritus sanctus insigniri solent; utputa pater, *Pater omnipotens, Pater omnium, Pater Christi* vocatur, dominus vero, *Verbum, Christus, Filius, Lux vera*, spiritus sanctus denique, *Paracletus, Spiritus veritatis, Spiritus dei, Spiritus Christi.* Quinetiam deus ille idem ac pater lux intelligitur, et quidem admirabili splendore collucens, nec non et *Virtus*, et *Sapientia.* Atque uti lux est deus et pater, ita lux est de luce. Unde et *lucem inhabitat inaccessam.* Porro virtus est totus 1.Tim. 6, 26.

2. αὐτῶν *Ancor.*
3. τὸ *om. Ancor.*
4. ἐν πνεύματι *Ancor.*
5. ταῦτα, κτίσις *Ancor.*
6. ἡ *om. Ancor.*
7. περιέχων τὰ ποιήματα ὁ θεός. οὐδὲ λατρευτὴ κτίσις *Ancor.*
8. πρώτην τὴν *Ancor.*
9. σου κύριος εἷς *Ancor.*
10. ἔστιν *codd. mss. uterque, et ed. princ.* ἔσται *edidit Petavius ex Ancor.*
11. διάφορα ὀνόματα *Ancor.*
12. υἱοῦ *Ancor.*
13. υἱὸς *om. Ancor.*
14. ἔτι *voluit Petavius.* ὁ θεὸς *in seqq. habet Ancor.*
15. φῶς ἄρα ἐκ *Ancor.*
16. οἰκῶν φῶς *Ancor.*

δὲ ὅλος ὁ θεὸς, καὶ διὰ τοῦτο κύριος τῶν δυνάμεων. Σοφία ὅλος ὁ [17] θεὸς, οὐκοῦν σοφία ὁ υἱὸς ἐκ σοφίας, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας ἀπόκρυφοι. Ζωὴ δὲ [18] ὅλος ὁ θεὸς, οὐκοῦν ζωὴ ἐκ ζωῆς ὁ υἱός. Ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. Τὸ δὲ ἅγιον πνεῦμα [19] παρ᾽ ἀμφοτέρων, πνεῦμα ἐκ [20] πνεύματος. Πνεῦμα γὰρ ὁ θεὸς, θεότης, χαρισμάτων ἐστὶ δοτὴρ, ἀληθέστατον, φωτιστικὸν, [21] παρακλητικὸν, βουλευμάτων [22] τοῦ πατρὸς ἀγγελτικόν. Ὡς γὰρ ὁ υἱὸς μεγάλης βουλῆς ἄγγελος, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον. Ἀλλ᾽ ἐλάβομεν,
pag. 896. φησὶ, πνεῦμα θεοῦ, ἵνα ἴδωμεν τὰ χαρισθέντα ἡμῖν [23] ὑπὸ θεοῦ, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν [24] πειθοῖ σοφίας λόγοις, ἀλλ᾽ ἐν ἀποδείξει πνεύματος θεοῦ, πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

Κεφ. η'. Ἀλλ᾽ ἐρεῖ τις, οὐκοῦν φαμεν δύο εἶναι υἱοὺς, καὶ πῶς μονογενής; μενοῦνγε, σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ θεῷ; Εἰ γὰρ τὸν [1] μὲν υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον πνεῦμα τὸ παρ᾽ ἀμφοτέρων, [2] μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων φωτεινὰ, φωτοδότα, φωτεινὴν τὴν ἐνέργειαν ἔχει, [3] συμφωνίαν τε πρὸς αὐτὸν τὸν πατέρα ποιεῖται φωτὸς πίστει. Ἄκουε, ὦ οὗτος, ὅτι ὁ πατὴρ [4] ἀληθῶς υἱοῦ ἐστι πατὴρ, φῶς ὅλος, καὶ υἱὸς [5] πατρὸς ἀληθοῦς, φῶς [6] φωτὸς, οὐχ, ὡς τὰ [7] ποιητὰ ἢ τὰ κτιστὰ, προσηγορίᾳ μόνῃ· καὶ πνεῦμα ἅγιον πνεῦμα [8] ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ. Τὰ δ᾽ ἄλλα πάντα θέσει [9] ἢ παραθέσει, ἢ κλήσει, οὐχ ὁμοίᾳ [10] τούτου ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φωτὶ, ἢ ἐννοίᾳ, [11] ἢ ὡς ἂν εἴποι τις, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, ἢ ὡς ἂν εἴποι τις, Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες, ἢ ὡς ἂν εἴποι τις, Ὁ τετοκὼς βώλους δρόσου, ἢ ὡς ἂν εἴποι τις, Ἐξ οὗ πᾶσα πατριὰ ἐν [12] οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, ἢ ὡς ἂν εἴποι τις, Ἐγὼ ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα. Οὐ γὰρ ὡς οἱ λοιποὶ πατέρες ἢ πατριάρχαι ὁ ἀληθινὸς πατὴρ ἀρξάμενος τοῦ εἶναι πατὴρ, ἢ [13] ἐλλείπων ποτὲ τῷ χρόνῳ τοῦ εἶναι πατήρ. Εἰ γὰρ ἄρχεται τοῦ εἶναι πατὴρ, υἱὸς ἄρα ἦν ποτε ἑτέρου πατρὸς, πρὸ τοῦ εἶναι αὐτὸν πατέρα μονογενοῦς. Καθ᾽ ὁμοιότητα δὲ πατέρες πατέρων [14] νοοῦνται τέκνα, καὶ εἰς ἄπειρον τὸν ἀληθῶς πατέρα τῆς ἀρχαιολογίας εὑρεῖν ἔστιν, οὐδὲ ὡς τὰ λοιπὰ τέκνα θέσει ὁ υἱὸς ὁ ἀληθινὸς νέος τοῦ εἶναι υἱός. Εἰ γὰρ νέος τοῦ εἶναι υἱὸς, ἦν ποτε χρόνος ὅτε οὐκ ἦν [15] ὁ πατὴρ πατὴρ μονογενοῦς. Οὐδὲ ὡς τὰ λοιπὰ πνεύματα τὸ πνεῦμα τῆς ἀληθείας κτιστὸν ἢ ποιητόν. Οὐδὲ ὡς οἱ λοιποὶ ἄγγελοι ὁ

17. υἱὸς *Ancor.*
18. ὁ λόγος ὁ θεὸς *Ancor.*
19. παρὰ *Ancor.*
20. πατρὸς *Ancor.*
21. παρακλητὸν *Ancor.*
22. τοῦ *om. Ancor.*
23. ἀπὸ *Ancor.*
24. πειθοῖ *codd. mss. uterque.* πειθοῖς *editi, et Ancor.*

Cap. VIII. — 1. μὲν *om. Ancor.*
2. ἃ μόνον *Ancor.*
3. συμφωνά τε *Ancor.*
4. ἀληθοῦς *Ancor.*
5. ἀληθοῦς πατρὸς *Ancor.*
6. ἐκ φωτὸς *Ancor.*
7. ποιήματα ἢ κτίσματα *Ancor.*

deus. Unde et *virtutum est* dominus. Sapientia totus est deus. Psalm. 58, 6.
Igitur sapientia est e sapientia filius, *in quo sapientiae thesauri sunt* Col. 2, 3.
omnes reconditi. Vita totus est deus. Ergo vita est e vita filius.
Ego enim sum, inquit, *veritas et vita.* At spiritus sanctus ab ambo- Ioann. 14, 6.
bus oritur, spiritus e spiritu. *Spiritus quippe deus est.* Idem et Ioann. 4, 24.
coelestium donorum largitor est, verissimus, lucis efficacissimus,
consolator, consiliorum patris interpres ac nuntius. Nam ut filius
magni consilii angelus est, ita spiritus sanctus. *Sed accepimus*, in- Esai. 9, 6.
quit, *spiritum dei, ut videamus quae a deo donata sunt nobis, quae et* 1.Cor. 2, 12.
loquimur, non blandis sapientiae sermonibus, sed probatione spiritus
dei, spiritalibus spiritalia comparantes.

Dicat aliquis: Duos ergo filios statuimus. Quod si ita est, quî Cap. VIII.
tandem esse potest unigenitus? Imo vero *tu quis es qui contradicas* Rom. 9, 20.
deo? Cum enim filium vocet qui a se oritur, spiritum vero sanctum, qui ab utroque procedit, eae tres personae sola fide a sanctis viris perceptae lucidae ac lucis auctores lucida sunt actione praeditae, et cum ipso patre fidei luce concordiam servant. Heus tu! igitur audi, quemadmodum pater vere sit filii pater, totusque lux, et filius veri sit patris filius, lumen de lumine, non ut facta creatave cetera, appellatione duntaxat; spiritus denique sanctus veritatis sit spiritus, ac tertium a patre filioque lumen; cetera omnia adoptione, vel comparatione, vel appositione, vel appellatione, non simili cum eo actione, vel virtute vel luce, vel notione censentur, sive quis
illud dixerit: *Filios genui et exaltavi*, sive illud: *Ego dixi dii estis*, Esai. 1, 2.
et filii altissimi omnes, sive istud: *Qui genuit stillas roris*, sive hoc Psalm. 81, 6 Iob. 38, 28.
ipsum: *A quo omnis paternitas in coelis et in terra*, sive: *Ego fir-* Eph. 3, 15. Amos 4, 13.
mans tonitru, et creans spiritum. Non enim ceterorum patrum pa- ex LXX.
triarcharumve more verus ille pater aut esse pater aliquando coepit, aut progressu temporis esse quandoque desinet. Nam si pater esse coeperit, necesse est ut filius alterius patris olim fuerit, antequam esset unigeniti pater. Porro similitudine quadam patrum patres intelliguntur esse filii, et in infinitum verus originis sator ac parens perduci potest. Neque vero ceterorum instar filiorum qui adoptione facti sunt verus filius recens est factus filius. Alioquin enim tempus aliquando fuit quo pater nondum esset unigeniti pater. Sed neque uti reliqui spiritus veritatis spiritus creatum quiddam est, aut
factum, neque ceterorum instar angelorum *magni ille consilii ange-* Esai. 9, 6.

8. ἀληθείας. ἔστι φῶς *Ancor.*
9. τῇ παραθέσει *non habet Ancor.*
10. τούτοις *Ancor.*
11. τῇ *om. Ancor.*
12. οὐρανῷ καὶ ἐπὶ γῆς *Ancor.*
13. ἐκλιπών ποτε χρόνῳ *Ancor.*
14. νοούμενα τέκνα εἰς *Ancor.*
15. ὁ *om. Ancor.*

τῆς μεγάλης βουλῆς ἄγγελος καλεῖται. Ἃ μὲν γὰρ ἀρχὴν καὶ τέλος ἔχει, [16] ἃ δὲ ἀνεπινόητον ἔχει τὸ κράτος καὶ τὴν ἀρχήν· καὶ ἃ μὲν κτίζει τὰ πάντα εἰς ἀπείρους αἰῶνας συνεργοῦντα [17] τῷ πατρὶ, ἃ δὲ κτίζεται [18] ὑπὸ τούτων ὡς ἂν ἐθέλοιεν· καὶ ἃ μὲν λατρεύει τούτοις, ἃ δὲ λατρευτὰ ὑπὸ pag. 897. τῶν ὅλων κτισμάτων· καὶ ἃ μὲν ἴαται τὰ ποιήματα, ἃ δὲ τὴν ἴασιν λαμβάνει παρ' αὐτῶν, καὶ ἃ μὲν κρίνεται κατ' ἀξίαν, ἃ δὲ τὴν κρίσιν ἔχει τὴν δικαίαν· καὶ ἃ μὲν χρόνῳ ἐστὶν, ἃ δὲ οὐκ ἐν χρόνῳ τυγχάνει· καὶ ἃ μὲν φωτίζει τὰ πάντα, ἃ δὲ [19] φωτίζεται· καὶ ἃ μὲν καλεῖ νηπίους εἰς ὕψος, ἃ δὲ καλεῖται ὑπὸ [20] τοῦ τελείου· καὶ ἃ μὲν χαρίζεται πᾶσιν, ἃ δὲ χαρίσματα λαμβάνει, καὶ καθάπαξ εἰπεῖν, ἃ μὲν ἐξυμνεῖ τὴν ἁγιότητα ἐν οὐρανοῖς οὐρανῶν καὶ λοιποῖς ἀοράτοις τόποις, ἃ δὲ ἐξυμνούμενα τὰ δῶρα ἀξίως παρέχει τοῖς ἀξίοις.

Κεφ. ϑ'. Πνεύματα δὲ πλεῖστά φησι ἡ γραφὴ, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς [1] φλόγα, καὶ πάντα τὰ πνεύματα αἰνεῖτε τὸν κύριον. Χαρίσματα δὲ ἀξίοις δίδοται διακρίσεως πνευμάτων. Ἃ μὲν γὰρ ἐπουράνιά [2] ἐστι, χαίροντα τῇ ἀληθείᾳ· ἃ δὲ [3] ἐπίγεια, ἀπάτης καὶ πλάνης ἐπιτήδεια· ἃ δὲ ὑπόγεια, ἀβύσσου καὶ σκότους τέκνα. Παρεκάλει γὰρ, τὸ εὐαγγέλιόν φησι, ἵνα μὴ πέμψῃ [4] αὐτὸν εἰς τὴν ἄβυσσον [5] ἀπελθεῖν. Ὡσαύτως δὲ [6] τοῖς πνεύμασιν [7] ἐπέτασσε, καὶ πνεύματα δὲ ἐξεδίωκε λόγῳ, καὶ οὐκ εἶα αὐτὰ λαλεῖν. Λέγεται δὲ πνεῦμα κρίσεως, καὶ πνεῦμα [8] καύσωνος. Λέγεται [9] δὲ πνεῦμα κόσμου. Ἡμεῖς δὲ [10] οὐ τὸ πνεῦμα τοῦ κόσμου [11] ἐλάβομεν, φησί. Καὶ πνεῦμα δὲ ἀνθρώπου· Τίς γὰρ [12] οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα [13] τὸ ἐν τῷ ἀνθρώπῳ; [14] Καὶ πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον, ὅτι, Πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ, Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι. Καὶ πνεύματα [15] δὲ προφητῶν [16] προφήταις ὑποτάσσεται. Καὶ ἰδοὺ πνεῦμα ψευδὲς ἔστη ἐνώπιον κυρίου, καὶ εἶπεν αὐτῷ, Ἐν τίνι ἀπατήσεις τὸν Ἀχαάβ; καὶ ἔσομαι, φησὶ, πνεῦμα ψευδὲς ἐν [17] στόματι τῶν προφητῶν. Λέγεται δὲ πνεῦμα κατανύξεως εἶναι, πνεῦμα δειλίας, καὶ πνεῦμα Πύθωνος, καὶ πνεῦμα πορνείας, καὶ πνεῦμα καταιγίδος, καὶ πνεῦμα πολυῤῥῆμον, καὶ πνεῦμα ἀσθενείας, καὶ πνεῦμα ἀκάθαρτον, καὶ πνεῦμα κωφὸν, καὶ πνεῦμα ἄλαλον, καὶ πνεῦμα μογίλαλον, [18] καὶ πνεῦμα χαλεπὸν λίαν, ὃ καλεῖται λεγεὼν, καὶ πνευματικὰ τῆς πονηρίας. Ἀπει-

16. ὃ δ' ἂν ἀνεπινόητον ἔχει τὴν ἀρχὴν καὶ τὸ κράτος *Ancor.*
17. τῷ *om. Ancor.*
18. ἀπὸ *Ancor.*
19. φωτίζεται ὑπὸ τούτων· καὶ *Ancor.*
20. τοῦ *Ancor.*

Cap IX — 1. φλόγα *codd. mss. et Ancor.* φλογίας *editi libri.*
2. εἰσι *Ancor.*
3. ὑπόγεια *Ancor.*
4. αὐτοὺς *Ancor.*
5. ἀπελθεῖν *abest ab Ancor.*
6. καὶ τοῖς *Ancor.*
7. ἐπιτάσσει. καὶ τὰ δὲ πνεύματα ἐξεδίωκε *Ancor.*

lus dicitur. Si quidem illa initium habent et finem, haec duo robur ac principatum habent, quem nulla cuiusquam intelligentia possit assequi. Haec universa procrearunt quae cum patre per infinita saecula communiter omnia moliuntur, cetera ab illis prout ipsis libet creantur. Illa serviunt iis, et colunt, his a creaturis omnibus servitus cultusque tribuitur. Haec operibus suis medicinam adhibent, illa medicinam ab istis accipiunt. [Illa pro suo quaeque merito iudicium subeunt, haec iustum exercent iudicium. Haec in tempore, illa extra tempus sunt.] Haec universa collustrant, illa collustrantur. Haec *infantes ad sublimitatem vocant*, illa a perfecto vocantur. Haec largiuntur omnibus, illa muneribus afficiuntur. Ad summam illa in coelis coelorum, ac ceteris quae oculis subducta sunt locis sanctitatem illam praedicant, haec illorum praedicatione celebrata cum dignis sua digne dona communicant.

Ceterum complures spiritus sacrae literae esse significant: *Qui* Cap. IX.
facit, inquit, *angelos suos spiritus*, *et ministros suos in ignem uren-* Psalm. 103, 4.
tem. Item: *Omnes spiritus laudate dominum*. Sed et iis, qui digni Psalm. 150, 6.
sunt, discernendorum spirituum dona tribuuntur. Nam alii coele- 1. Cor. 12, 10.
stes sunt spiritus, qui veritate delectantur, alii terreni, qui fraudi-
bus et erroribus obnoxii sunt; alii denique subterranei, abyssi tene-
brarumque filii. *Rogabat enim*, ut evangelium ait, *ne se in abyssum* Luc. 8, 31.
ire iuberet. Ita et spiritibus imperabat Christus, et spiritus verbo
fugabat, nec *sinebat eos loqui*. Quinetiam *spiritus iudicii et ardoris* Marc. 1, 4.
spiritus nominatur. Itidemque *mundi spiritus*. *Nos enim*, inquit, Esai. 4, 4. 1. Cor. 2, 12.
mundi spiritum non accepimus. Nec non et hominis spiritus. *Quis*
eorum, inquit, *novit quae sunt spiritus*, *nisi spiritus qui est in ho-*
mine? Item: *Spiritus vadens et non revertens: Quoniam spiritus per-* Psalm. 77, 39.
transibit in illo et non subsistet. Et, *Auferes spiritum eorum et de-* Psalm. 102, 16.
ficient. Adde et illud: *Spiritus prophetarum prophetis subiiciuntur:* et Psalm. 103, 29.
Et ecce spiritus mendax stetit coram domino: et dixit ipsi, *In quo de-* 2. Cor. 14, 32.
cipies Achab: Et ero, inquit, *spiritus mendax in ore prophetarum*. 3. Reg. 22, 21.
Praeterea *spiritus* quidam *compunctionis* appellatur, *et spiritus igna-* Rom. 11, 8.
viae, *et spiritus Pythonis*, *et spiritus fornicationis*, *et spiritus pro-* Act. 16, 16. et
cellae, *et spiritus loquax*, *et spiritus infirmitatis*, *et spiritus immun-* Osee 4, 12. et 5, 4.
dus, *et spiritus surdus*, *et spiritus mutus*, *et spiritus aegre loquens*, Psalm. 10, 6.
et spiritus difficilis valde, *qui vocatur legio*, *et spiritualia nequitiae*. Luc. 13, 32. Marc. 9, 25. Luc. 8, 30. et Marc. 5, 2.

8. καύσεως *Ancor.*
9. καὶ *Ancor.*
10. οὐ *om. Ancor.*
11. οὐκ ἐλάβομεν *Ancor.*
12. οἶδεν ἀνθρώπων τὰ *Ancor.*
13. τοῦ ἀνθρώπου *Ancor.*
14. Καὶ, *quod om. ed. Petav.*, *restitui ex codd. mss.*, *ex ed. princ.*, *et Ancor.*
15. δὲ *om. Ancor.*
16. καὶ προφήταις *Ancor.*
17. τῷ στόματι τῶν ψευδοπροφητῶν *Ancor.*
18. καὶ τὰ πνευματικὰ *Ancor.*

ρα δὲ τὰ περὶ πνευμάτων λόγια σοφοῖς. [19]Ἀλλ' ὥςπερ οἱ πολλοὶ υἱοὶ
pag. 898. θέσει, ἢ κλήσει, [20]οὐκ ἀληθείᾳ δὲ διὰ τὸ ἀρχὴν ἔχειν καὶ τέλος ἁμαρτητικῶς, οὕτω καὶ [21]πνεύματα πλεῖστα θέσει, ἢ κλήσει, κἂν ἁμαρτητικὰ ἦν. Τὸ δὲ ἅγιον πνεῦμα μόνον καλεῖται [22]ὑπὸ πατρὸς καὶ υἱοῦ, πνεῦμα ἀληθείας, καὶ πνεῦμα θεοῦ, καὶ πνεῦμα Χριστοῦ, καὶ πνεῦμα χάριτος. Χαρίζεται γὰρ ἑκάστῳ διαφόρως [23]ἀγαθὸν, ᾧ μὲν πνεῦμα σοφίας, ᾧ δὲ πνεῦμα [24]γνώσεως, ᾧ δὲ πνεῦμα ἰσχύος, ᾧ δὲ πνεῦμα ἰαμάτων, ᾧ δὲ πνεῦμα προφητείας, ᾧ δὲ πνεῦμα διακρίσεως, [25]ᾧ δὲ ἑρμηνειῶν, καὶ τὰ λοιπὰ δὲ χαρίσματα, ὥς φησι, Ἓν δὲ καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἑκάστῳ ὡς βούλεται· ὅτι τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με [26]ὁ θεὸς, φησὶ ὁ Δαβίδ. Ἤ, Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, τὸ ἐνυπόστατον διὰ [27]τούτων τοῦ ἁγίου πνεύματος δείκνυσιν ἡμῖν· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει, καὶ ἐὰν μὴ γεννηθῆτε ἐξ ὕδατος καὶ πνεύματος, ὅμοιον ὡς εἶπε Παῦλος, Ἐν γὰρ Χριστῷ Ἰησοῦ ἐγὼ [28]ἐγέννησα ὑμᾶς. Περὶ τούτου ὁ κύριος, Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ [29]πέμπω ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ἔτι πολλὰ ἔχω λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἀκούσει λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν· ἐκεῖνός με δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν πάντα.

Κεφ. ι'. Εἰ τοίνυν παρὰ τοῦ πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ ἐμοῦ, φησὶ ὁ κύριος, λήψεται, [1]ὃν τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὕτως [2]τολμήσω λέγειν, [3]οὐδὲ τὸ πνεῦμα εἰ μὴ [4]ὁ [5]υἱὸς ἐξ οὗ λαμβάνει, καὶ ὁ πατὴρ παρ' οὗ ἐκπορεύεται, καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, τὸ μαρτυροῦν [6]τὰ περὶ τοῦ υἱοῦ, ὃ παρὰ τοῦ πατρὸς, [7]ὃ ἐκ τοῦ υἱοῦ, μόνος ὁδηγὸς ἀληθείας, νόμων ἐξηγητὴς ἁγίων, πνευματικοῦ νόμου ὑφηγητὴς, προφητῶν καθηγητὴς, ἀποστόλων διδάσκαλος, εὐαγγελικῶν δογμάτων φωστὴρ, ἁγίων ἐκλογεὺς, φῶς τὸ ἀληθινὸν ἐξ ἀληθινοῦ φωτός. Υἱὸς
pag. 899. φυσικὸς, υἱὸς ἀληθὴς, υἱὸς γνήσιος, μόνος ἐκ μόνου, σὺν αὐτῷ καὶ

19. εἴπερ οἱ πολλοὶ *Ancor.*
20. *Verba* οὐκ ἀληθείᾳ - - - κἂν ἁμαρτητικὰ ἦν *non extant in Ancor.*
21. *Voc.* πνεύματα *in cod. Ien. rubro inductum conspicitur.*
22. ἀπὸ *Ancor*
23. τὸ ἀγαθὸν *Ancor.*
24. *Verba* γνώσεως *cett. usque ad voc.* προφητείας *desiderantur in ed. Petav.*
25. ᾧ δὲ γλωσσῶν, ᾧ δὲ ἑρμηνειῶν *auget Ancor.*
26. ὁ θεὸς *abest ab Ancor.*
27. τῶν τοιούτων τοῦ πνεύματος τοῦ ἁγίου δεικνὺς ἡμῖν *Ancor.*
28. ὑμᾶς ἐγέννησα *Ancor.*

Postremo infinitis in scripturae locis sqirituum factam esse mentionem sapientes intelligunt. Sed quemadmodum plures sunt adoptione vel vocatione filii, non veritate, eo quod et initio et fine constant, et ad peccandum propensi sunt, sic et spiritus adoptione sunt aut vocatione complures, qui et in peccatum proni sunt ac proclives. At spiritus sanctus solus a patre et filio, *Spiritus veritatis, et dei spiritus, et spiritus Christi, et spiritus gratiae* nominatur. Gratificatur enim unicuique, ac bonum variis modis impertitur. *Nam alii spiritus sapientiae conceditur, alteri spiritus scientiae, huic spiritus fortitudinis, illi spiritus curationum,* isti *spiritus prophetiae,* huic *spiritus discretionis, interpretationum illi.* Ac cetera denique dona, ut testatur apostolus: *Unus porro et idem spiritus est, dividens unicuique prout vult: quoniam spiritus tuus bonus deducet me deus,* ait David. Vel, *Spiritus ubi vult spirat.* Quibus verbis subsistentem esse spiritum sanctum nobis ostendit. *Et vocem eius audis, sed nescis unde venit, aut quo vadit.* Item: *Nisi geniti fueritis ex aqua et spiritu.* Cui consentaneum illud est Pauli: *Nam in Christo Iesu ego genui vos.* De eodem spiritu dominus ita loquitur: *Cum venerit paracletus, quem ego mittam vobis, spiritus veritatis qui a patre procedit, ille testimonium perhibebit de me.* Item: *Adhuc multa habeo dicenda, sed non potestis ferre modo: Cum venerit ille spiritus veritatis, inducet vos in omnem veritatem: Non enim loquetur a seipso, sed quaecumque audiet loquetur, et ventura nuntiabit vobis: Ille me clarificabit, quia de meo accipiet, et vobis omnia nuntiabit.*

Ioann. 14, 17. 1.Cor. 12, 8. Psalm. 142, 11. Ioann. 3, 8. Ibid. 1.Cor. 4, 15. Ioann. 16, 13.

Cap. X. Matth. 11, 27.

Igitur, *si a patre procedit, et de meo,* ait dominus, *accipit, quemadmodum nemo novit patrem nisi filius, neque filium nisi pater,* ita catholici dicere audent, neque spiritum novit quispiam nisi filius, a quo accepit, et pater, a quo procedit, neque filium et patrem novit aliquis, nisi spiritus sanctus, qui vere celebrat ac praedicat, qui *docet omnia,* qui *de filio testimonium dicit,* qui *a patre,* qui *e filio procedit,* solus veritatis dux, sanctarum legum interpres, spiritalis legis enarrator, prophetarum magister, apostolorum praeceptor, evangelicorum dogmatum fax et sidus, sanctorum elector, verum lumen e vero lumine. Filius naturalis est, verus filius, germanus filius, solus e solo, quocum et spiritus sanctus coniungitur,

29. πέμψω *Ancor.*
Cap. X. — 1. ὃν γὰρ τρόπον *Ancor*
2. τολμήσω *de meo edidi. Nam libri habent* τολμῶσι, *Ancor.* τολμῶ. *Petavius suspicatus es* τολμῶ συλλέγειν. *Quod probatione non caret.*
3 ὅτι οὐδὲ *Ancor*
4. *Post voc.* υἱὸς *cod. Rhedig. inserit verba* καὶ ὁ πατὴρ, *quae habet etiam cod. Ien., sed uncinis inclusa ab antiqua manu, et punctis notata.*
5. ὁ πατὴρ καὶ ὁ υἱὸς πὰρ' οὗ ἐκπορεύεται καὶ παρ' οὗ λαμβάνει, καὶ οὐδὲ τὸν υἱὸν *Ancor*
6. τὰ *om Ancor.*
7. καὶ ἐκ *Ancor.*

τὸ πνεῦμα, ἀλλὰ πνεῦμα ὀνομαζόμενον. Οὗτος ὁ Θεὸς δοξαζόμενος ἐν ἐκκλησίᾳ, πατὴρ ἀεὶ, υἱὸς ἀεὶ, [8] καὶ πνεῦμα ἅγιον ἀεὶ, ὑψηλὸς ὑψηλοῦ, καὶ ὕψιστος, νοερὰν δόξαν ἔχων ἀμέτρητον, ᾧ ὑποβέβηκε τὰ κτιστὰ καὶ τὰ ποιητὰ, [9] ἅπαξ ἁπλῶς τὰ σύμπαντα [10] μετρούμενα καὶ περιεχόμενα ἕκαστα. Θεότης δὲ μία ἐν Μωϋσῇ μάλιστα καταγγέλλεται, δυὰς [11] δὲ ἐν προφήταις σφόδρα [12] κηρύσσεται, τριὰς δὲ ἐν εὐαγγελίοις φανεροῦται, πλεῖον κατὰ καιροὺς καὶ γενεὰς ἁρμόζουσα τῷ δικαίῳ εἰς γνῶσιν καὶ πίστιν. Γνῶσις δὲ αὕτη [13] ἀθανασίας, ἐκ πίστεως δὲ [14] αὐτῆς ἡ υἱοθεσίας γίνεται. Ἀλλὰ πρῶτον [15] δικαιώματα σαρκὸς ἐκφράζει, ὡς περίβολον ναοῦ τὸν ἔξω διεγείρουσα ἐν Μωϋσῇ· [16] δεύτερον δὲ δικαιώματα ψυχῆς ἐκδιηγεῖται, ὡς τὰ ἅγια κοσμοῦσα ἐν λοιπαῖς προφητείαις· [17] τρίτον δικαιώματα πνεύματος, ὡς τὸ ἱλαστήριον, καὶ τὰ ἅγια τῶν ἁγίων ῥυθμίζουσα ἐν [18] εὐαγγελικοῖς, πρὸς κατοίκησιν ἑαυτῆς. Σκηνὴν δὲ ἁγίαν, [19] λαὸν ἅγιον, τὸν δίκαιον ἔχει μόνον, τὸν συνόντα τούτοις. Κατοικεῖ δὲ ἐν αὐτῷ [20] μία θεότης ἄφθαρτος, μία θεότης ἀπερινόητος, ἀκατάληπτος, ἀνεκδιήγητος, ἀόρατος, ἑαυτὴν γινώσκουσα μόνη, ἑαυτὴν ἐμφανίζουσα οἷς βούλεται, μάρτυρας [21] ἑαυτῆς διεγείρουσα, καλοῦσα, προορίζουσα, δοξάζουσα, ἐξ ᾅδου ὑψοῦσα, ἁγιάζουσα, ἑνοποιοῦσα πάλιν πρὸς τὴν ἑαυτῆς δόξαν, καὶ πίστιν τὰ τρία ταῦτα, ἐπουράνια, [22] καὶ ἐπίγεια, [23] καὶ καταχθόνια, πνεῦμα, ψυχὴν, σάρκα, πίστιν, ἐλπίδα, ἀγάπην, παρελθόντα, [24] ἑστῶτα, μέλλοντα, αἰῶνα αἰῶνος, αἰῶνας αἰώνων, σάββατα σαββάτων, περιτομὴν σαρκὸς, περιτομὴν καρδίας, περιτομὴν Χριστοῦ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν· [25] καθόλου καθαροποιεῖ ἑαυτῇ πάντα τὰ ἀόρατα καὶ τὰ ὁρατὰ, θρόνους, κυριότητας, ἀρχὰς, ἐξουσίας, δυνάμεις. Ἐν πᾶσι δὲ ἡ αὐτὴ [26] σοφία καὶ φωνὴ ἁγία, ἀπὸ δόξης εἰς δόξαν, ἅγιος, ἅγιος, ἅγιος φωνοῦσα, πατέρα ἐν υἱῷ, υἱὸν [27] δὲ ἐν πατρὶ σὺν ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ ἐρεῖ ὁ οὕτω πιστεύων, Γένοιτο, γένοιτο.

*ΠΕΠΛΗΡΩΤΑΙ ΤΑ ΤΟΥ ΑΓΚΥΡΩΤΟΥ.

Κεφ. ια'. pag. 900. *Καὶ ταῦτα μὲν ἔστιν, ἃ ἤδη περὶ τῆς πίστεως πατρὸς καὶ υἱοῦ*

8. καὶ *om. Ancor.*
9. ἅπαξαπλῶς *Ancor.*
10. νοούμενα *Ancor.*
11. δὲ *om. Ancor.*
12. κηρύττεται *Ancor.*
13. ἀθανασία *Ancor.*
14. λέγεται αὕτη, υἱοθεσία γίνεται *Ancor.*
15. δικαίωμα σαρκὸς *Ancor.*
16. δεύτερος *codd. mss. uterque.* δεύτερα *Ancor.*
17. τρίτ *cod. Rhedig.* τρίτη δὲ δικ. *Ancor.*
18. εὐαγγελίοις *Ancor.*
19. ναὸν *Ancor.*

qui spiritus proprie nominatur. Hic ille deus in ecclesia celebratur, semper pater, semper filius, semper spiritus sanctus, excelsus ab excelso, imo celsissimus, qui intelligibili gloria, et quidem infinita praeditus est, cui creata omnia factaque sunt omnino subiecta, quae quidem certa mensura ac circumscriptione definiuntur. Ceterum divinitas una apud Moysen praecique praedicatur, binarius in prophetis diligentius nuntiatur, trinitas vero in evangeliis ostenditur, quae per tempora generationesque singulas iusto ad scientiam fidemque amplius conveniret. Ea porro immortalitatis scientia ex fide ipsa vel adoptione nascitur. Sed primum iustificationes carnis edicit, velut templi quoddam exterius septum in Moyse facricans. Postea vero animae iustificationes exponit, tanquam sancta quaedam apud ceteros prophetas exornans. Tertio denique iustificationes spiritus, quasi propitiatorium, et sancta sanctorum in evangeliis ad sui domicilium instruens. At sancti tabernaculi loco, sanctique populi, iustum habet unum, qui in istis versatur. In his vero una deitas habitat incorrupta, una deitas, quae cogitatione concipi comprehendive vel explicari, aut videri non potest, quae seipsam sola cognoscit, et quibus voluerit patefacit. Eadem testes suos excitat, vocat, ante destinat, afficit gloria, ab inferis evehit, sanctificat, et ad gloriam fidemque suam tria haec in unum cogit ac consociat, coelestia, terrena, subterranea, spiritum, animam, atque carnem, fidem, spem, caritatem: praeterita, praesentia, futura: saeculum saeculi, saecula saeculorum, sabbata sabbatorum, circumcisionem carnis, circumcisionem cordis, circumcisionem Christi *in* Col. 2, 11.
exspoliatione corporis peccatorum. Denique sibimetipsi universa repurgat, tam quae videri nequeunt quam quae aspectabilia sunt thronos, dominationes, principatus, potestates, virtutes. In omnibus vero eadem sapientia et sancta vox a gloria in gloriam *Sanctus, san-* Isai. 6, 3.
ctus, sanctus exclamans, ac patrem in filio, filium in patre, cum spiritu sancto praedicans, cui gloria et imperium in saecula saeculorum, Amen. Et dicet qui ita credit, Fiat, fiat.

HACTENUS EX ANCORATO.

Haec sunt, quae de fide patris ac filii et spiritus sancti scripta Cap. XI.

20. μία θεότης ἄπειρος, μία θεότης ἀφθ. *Ancor.*
21. ἑαυτῇ *Ancor.*
22. καὶ *om. Ancor.*
23. καὶ *particulam, quae in Panarii libris vulgo desideratur (Ancoratus eam tuetur), repetii ex syllaba* $\overline{\text{κατ}}$ *vocabuli* καταχθόνια.
24. ἐνεστῶτα *Ancor.*
25. καθόλου δὲ καθαροποιεῖ ἑαυτῇ τὰ πάντα *Ancor.*
26. σοφία καὶ *om. Ancor.*
27. δὲ *om. Ancor.*
* Πληρῶ *cod. Ien. Abs cod. Rhedig. abest omnis subscriptio.*

καὶ ἁγίου πνεύματος γράφοντες κατὰ τὸ βραχύτατον ἡμῶν τῆς μετριότητος ἐξηγησάμεθα, καὶ ἐκ τῶν προρρηθέντων παρεθέμεθα. Ἔτι δὲ ἐπιμενοῦμεν εἰς σύστασιν τῆς ἑαυτῶν ζωῆς εὐσεβῶς μαρτυρίας φέροντες, καὶ ἐξ ὀρθοῦ λογισμοῦ εὐσεβῶς περὶ θεότητος διαλαμβάνοντες. Ὅτι μὲν γὰρ ἐν τοῖς [1] πρὸ τούτου ἀπεδείχθη διὰ πολλῶν μαρτυριῶν ὁ μονογενὴς συμπράττων τῷ πατρὶ, καὶ τὰ ἴσα ἐν ἅπασι τελειῶν καὶ χαριζόμενος, ὡς ἐξ αὐτοῦ ὢν, καὶ οὐκ ἀλλοῖος παρὰ τὴν τοῦ πατρὸς δύναμιν καὶ θεότητα, ἀλλὰ ὁμοούσιος πατρί. Οὐ μόνον δὲ ὁ υἱὸς, ἀλλὰ καὶ τὸ ἅγιον πνεῦμα συμπράττον υἱῷ καὶ πατρὶ, καὶ τὰ ἴσα ἐργαζόμενον, δωρούμενόν τε καὶ χαριζόμενον ὡς βούλεται, ὡς καὶ αὐτὸ ὄντως ἐκ θεοῦ ὂν, καὶ οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ, ἀλλ᾽ ὁμοούσιον πατρὶ καὶ υἱῷ, παντί τῳ σαφὲς κατὰ πάντα ἐκ τῶν τοσούτων μαρτυριῶν ἀπεδείχθη τε καὶ ἀποδειχθήσεται. Νῦν δὲ διὰ τοὺς ἀντιθέτους καὶ ἐχθροὺς τοῦ ἁγίου πνεύματος [2] περὶ μόνου τοῦ ἁγίου πνεύματος τὰ εὐσεβῆ τοῦ ὀρθοῦ λογισμοῦ καὶ τὰ ἀπὸ μαρτυριῶν τῆς αὐτῆς θείας γραφῆς διηγησάμενοι περισσοτέρως [3] ταῖς πρότερον παραθησόμεθα μαρτυρίαις, ἀκολούθως τῇ περὶ ἁγίου πνεύματος ἀληθινῇ εὐσεβείᾳ. Ὡς ἔχει [4] γὰρ καὶ ἔστι πνεῦμα ἅγιον [5] ἑνικὸν, ὑπὸ πάντων προσκυνούμενον, πᾶσιν ἐπιπόθητον τοῖς κτίσμασί τε καὶ ποιήμασιν, οὐδενὶ ἐξισούμενον, οὐκ ἀγγέλῳ, οὐ πνεύματι ἑτέρῳ, ἀλλ᾽ ἑνικόν. Ἐπειδὴ γὰρ καὶ πολλὰ πνεύματά ἐστι, τοῦτο δὲ ἀνώτατον πάντων πνευμάτων, ὡς ὂν ἀεὶ ἐκ πατρὸς, καὶ μὴ ἀπὸ τῶν ἄλλων τῶν ἐξ οὐκ ὄντων [6] γενομένων ὄν. Πολλὰ γάρ ἐστι πνεύματα, ἓν δὲ τὸ ἅγιον πνεῦμα, ὥςπερ εἷς θεὸς, καὶ εἷς μονογενὴς υἱὸς τοῦ θεοῦ. Οὕτω καὶ πνεῦμα ἅγιον θεοῦ, ἀπὸ δὲ θεοῦ καὶ ἐν θεῷ. Ἀλλὰ [7] ὁ μὲν μονογενὴς υἱὸς ἀκατάληπτος, τὸ δὲ πνεῦμα ἀκατάληπτον, ἐκ θεοῦ δὲ, καὶ οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ. Οὐ [7] συναλιφῇ δέ ἐστι πατρὶ καὶ υἱῷ. Ἀλλὰ τριὰς ἀεὶ οὖσα τῆς αὐτῆς οὐσίας, οὐχ ἑτέρας οὐσίας παρὰ τὴν θεότητα, οὐχ ἑτέρα θεότης παρὰ τὴν οὐσίαν, [9] ἀλλὰ αὐτοθεότης, καὶ ἐκ τῆς αὐτῆς θεότητος υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. Καὶ τὸ μὲν πνεῦμα πνεῦμα ἅγιον, ὁ δὲ υἱὸς υἱός. Τὸ δὲ πνεῦμα παρὰ πατρὸς ἐκπορευό-
pag. 901. μενον καὶ τοῦ υἱοῦ λαμβάνον, ἐρευνῶν τὰ βάθη τοῦ θεοῦ, ἀναγγέλλον τὰ υἱοῦ ἐν κόσμῳ, ἁγιάζον, ἁγίους [10] ποιοῦν διὰ τῆς τριάδος· τρίτον τῇ ὀνομασίᾳ (ἐπειδὴ ἡ τριάς ἐστι πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, Ἀπελθόντες γὰρ, φησὶ, βαπτίσατε εἰς τὸ ὄνομα τοῦ πατρὸς,

Cap. XI. — 1. ὑπὸ *ed. Petav. Colon. repet., vitiose.*

2. περὶ μόνου τοῦ ἁγίου πνεύματος *verba exciderunt ab ed. Petav. Colon. repet.*

3. τῶν *ed. Petav. Colon. repet.*

4. „Expunxerim γὰρ" *Petav. Voculam* καὶ *post* γὰρ *non habet cod. Rhedig.*

5. ἑνικὸν *est Cornarii emendatio. Libri enim habent* ἐνοικόν. *Petavius haerebat inter* ἑνικὸν *et* ἐνοικοῦν.

6. γενομένων *scripsi Cornarium (qui*

quondam, et pro tenuitate nostra declarata breviter denuo hoc loco repetere voluimus. Nunc ad vitam nostram asserendam ac corroborandam alia quaedam testimonia pie proferre et ex recta ratione religiose de divinitate sentire pergemus. Etenim pluribus hactenus auctoritatibus palam illud est factum, unigenitum cum patre simul universa moliri, et aequalia perficere in omnibus ac largiri, utpote qui ab ipso procedat, nec a paterna virtute ac divinitate discrepet, sed eiusdem sit cum patre substantiae. Neque vero solus filius, sed et spiritus sanctus in agendi communionem cum patre filioque venit et aequalia praestat, pro eo ac libet communicans ac largiens, quippe cum et ipse vere ex deo sit, nec alienus a patre filioque, sed utrique consubstantialis. Haec, inquam, nemini non aperte tot adductis testimoniis ostendimus, ac deinceps ostendemus. Iam vero propter sancti spiritus adversarios et inimicos nonnulla uberioris explicationis gratia partim pia quaedam argumenta ex recta ratione deprompta, partim eiusdem scripturae testimonia superioribus addemus; adeo ut in omnibus verum ac religiosum de spiritu sancto dogma sequamur. Etenim unicus ac singularis est spiritus ille sanctus, qui ab omnibus adoratur, ab omnibus creaturis operibusque desideratur. Qui cum nullo adaequari potest, non angelo, non altero spiritu, sed unus ac singularis est. Nam cum multi sint spiritus, omnibus iste superior est, utpote qui semper a patre sit, nec ab aliis quae e nihilo producta sunt existat. Plures sunt, inquam, spiritus, sed unus est spiritus, sanctus; quemadmodum unus est deus, et unus dei filius unigenitus. Sic et sanctus dei spiritus a deo est, et in deo. Itaque et unigenitus filius incomprehensibilis est, et spiritus incomprehensibilis. Qui et a deo procedit, nec a patre et filio alienus est. Neque vero cum patre et filio velut quadam confusione coalescit; sed trinitas eiusdem semper est substantiae, non alterius a divinitate: neque divinitas altera est a substantia, sed ipsa per sese divinitas, et ex eadem divinitate filius ac spiritus sanctus existit. Itaque spiritus spiritus sanctus est, et filius filius: *Spiritus vero a patre procedens, et a filio accipiens, ac dei profunda perscrutans,* et quae ad filium spectant mundo nuntians, sanctificans, et sanctos per trinitatem efficiens. Qui et appellatione tertius est; quoniam trinitas est pater, et filius, et spiritus sanctus. *Euntes enim,* inquit, *baptizate in nomine patris, et filii, et spiritus*

Ioann. 15, 26.

Matth. 28, 19.

vertit de aliis ex nihilo factis existens) *et Petavium secutus. Libri habent* γενόμενον.

7. *Libri habent* τὸ μέν.

8. *Ita scriptum est hoc vocabulum ubique in codd. mss. Petavius edidit* συναλοιφῇ.

9. ἀλλ' *cod. Rhedig.*

10. ποιῶν *codd. mss. uterque et ed. princ.*

καὶ τοῦ υἱοῦ, καὶ [11] τοῦ ἁγίου πνεύματος), ἐπισφραγὶς τῆς χάριτος, [12] σύνδεσμος τῆς τριάδος, οὐκ ἀλλότριον τοῦ ἁγιασμοῦ, οὐ διεστὼς τῇ ὀνομασίᾳ, οὐκ ἀλλότριον τῆς δωρεᾶς· ἀλλ' εἷς θεὸς, μία πίστις, εἷς κύριος, ἓν χάρισμα, μία ἐκκλησία, ἓν βάπτισμα.

Κεφ. ιβ'. Ἀεὶ γὰρ ἡ τριὰς, ὡς πολλάκις ἔφην, καὶ οὐδέποτε ἡ τριὰς προσθήκην λαμβάνει, ὡς [1] γλυκέως ἔστιν ὁμολογεῖν, καὶ ἀκορέστως λέγειν. Γλυκεῖα γὰρ, φησὶ ὁ προφήτης, τῷ λάρυγγί μου τὰ λόγιά σου. Καὶ εἰ τὰ λόγια γλυκεῖα, πόσῳ γε μᾶλλον τὸ ὄνομα τὸ ἅγιον ἡ τριὰς, ἡ πηγὴ πάσης γληκύτητος. Τριὰς οὖν οὕτως ἀριθμουμένη πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. Οὐ [2] συναλιφὴ δὲ ἡ τριὰς, οὐ διεστῶσα τῆς ἑαυτῆς μονάδος, ἐν ὑποστάσει δὲ τελειότητος τέλειος ὁ πατὴρ, τέλειος ὁ υἱὸς, τέλειον τὸ ἅγιον πνεῦμα, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. Τὸ δὲ ἀνάπαλιν πνεῦμα ταττόμενον ἐν χαρίσμασι. Διαιρέσεις γὰρ χαρισμάτων [3] εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.

Τούτων δὲ οὕτως ἐχόντων ἀσφαλισώμεθα μὴ ἐκπέσωμεν τῆς ἀληθείας, ἀλλ' ὁμολογήσωμεν τὴν ἀλήθειαν, οὐ συνηγοροῦντες ὑπὲρ θεοῦ, ἀλλ' εὐσεβῶς νοοῦντες, ἵνα μὴ [4] ἀπολλώμεθα. Ἀνένδεκτον γὰρ κτιστόν τι ἐν τριάδι λέγειν ἢ διανοεῖσθαι, ἢ ἐπιγεννητόν. Ἀλλὰ ἦν ἀεὶ πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. Οὔτε συνάδελφος υἱὸς πατρὶ, οὔτε [5] συναλιφή· καὶ τὸ πνεῦμα οὔτε [6] συναλιφὴ, οὔτε συνάδελφον πατρὶ καὶ υἱῷ [οὔτε συναλοιφὴ τὸ πνεῦμα πατρὶ καὶ υἱῷ]. Υἱὸς δὲ γεννητὸς ἐκ πατρὸς, καὶ πνεῦμα προελθὸν ἐκ πατρὸς, ἀνεκδιηγήτως τῆς τριάδος οὔσης ἐν [7] ταυτότητος δοξολογίᾳ, καὶ ἀκαταλήπτως υἱοῦ [8] ὄντος σὺν πατρὶ καὶ πνεύματος ἁγίου ὡσαύτως, καὶ [9] μηδέποτε διαλειπούσης τῆς τριάδος τῆς αὐτῆς ἀϊδιότητος. Πατὴρ οὖν ἀεὶ ἀγέννητος, καὶ
pag. 902. ἄκτιστος, καὶ ἀκατάληπτος· υἱὸς δὲ γεννητὸς, ἀλλ' ἄκτιστος καὶ ἀκατάληπτος· πνεῦμα ἅγιον ἀεὶ, οὐ γεννητὸν, οὐ κτιστὸν, οὐ συνάδελφον, οὐ προπάτορον, οὐκ ἔγγονον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας πατρὸς καὶ υἱοῦ. [10] Πνεῦμα ἅγιον· πνεῦμα γὰρ ὁ θεός.

Κεφ. ιγ'. Τῆς δὲ τοιαύτης ἠσφαλισμένης ἡμῶν ζωῆς αἱ μαρτυρίαι ἐν πάσῃ γραφῇ ἐμφέρονται. Ἀπὸ δὲ τῶν πλειόνων ὀλίγα παραθήσομαι κατὰ

11. τοῦ *excidit ab edit. Petav. Colon. repet.*

12. *Dele negationem* οὐ *quam libri ante* σύνδεσμος *vulgo intrudunt, praesertim collato loco gemello haer.* 62, 4. *Nec tamen deest suspicio voc.* οὐ *corruptelam esse* ὂν *participii.*

CAP. XII. — 1. γλυκείως *codd. mss. et edit. princ.*

2. συναλοιφὴ *ed. Petav., praeter codd. mss. auctoritatem.*

3. *In codd. mss. et in edit. princ. legitur* χαρισμάτων, εἰσὶ δὲ τὸ αὐτὸν (αὐτὸ *ed. princ.*).

sancti. Idem ille gratiae sigillum est, ac trinitatis vinculum, qui nec a productione sanctitatis excluditur, nec appellatione discrepat, nec a largitione muneris alienus est, *sed unus est deus, una fides, unus dominus, una gratia, una ecclesia, baptismus unus.*

Quippe trinitas semper est, ut saepius dixi, nec ullam unquam accessionem capit. Id quod et profiteri suavissimum est, et sine ulla satietate dicitur. Nam propheta cecinit, *Dulcia sunt faucibus meis eloquia tua.* Quod si eloquia ipsa dulcia sint, quanto est nomen ipsum trinitatis dulcius, quae quidem fons et origo suavitatis omnis est? Quare trinitas tribus hisce numeratur, patre, filio, et spiritu sancto. Neque vero confusione quadam in unum redigitur, nec a sua unitate disiungitur: sed in perfecta subsistentia perfectus est pater, perfectus filius, perfectus spiritus sanctus, pater, et filius, et spiritus sanctus. Rursum vero spiritus largiendis donis attribuitur: *Divisiones enim gratiarum sunt, sed idem spiritus; et divisiones ministeriorum sunt, idem vero dominus; et divisiones operationum sunt, idem vero deus, qui operatur omnia in omnibus.*

Cap. XII. — Psalm. 118, 103. — 1. Cor. 12, 4.

Quae cum ita se habeant, caveamus diligenter ne a veritate aberremus, sed veritatem profiteamur, non deo patrocinantes, sed pie id intelligentes, ne aliquando pereamus. Fieri quippe nullo modo potest ut creatum quiddam in trinitate dicamus, vel cogitemus etiam, aut cuius postea facta sit accessio; sed perpetuo pater fuit, et filius, et spiritus sanctus. Neque filius germanus patris frater, neque cum illo confusus est. Similiter neque confusus est spiritus, neque patris filiique germanus est. Filius a patre genitus, a quo procedit et spiritus. Adeo ut trinitas eo modo, qui verbis explicari non potest, in eadem gloria ac laudatione consistat, et filius cum patre spirituque sancto incomprehensibili ratione sit coniunctus, neque trinitas ab sua unquam aeternitate desistat. Semper igitur ingenitus est increatusque pater, et incomprehensilibis, filius genitus quidem, sed increatus et incomprehensibilis, spiritus sanctus non genitus, non creatus, non germanus, non avus, non nepos, sed ex eadem cum patre filioque substantia. Eiusmodi est spiritus, inquam, sanctus. Spiritus enim deus est.

Atque huius quidem hunc in modum constitutae salutaris fidei passim in scripturis omnibus extant consignata testimonia. Nos Cap. XIII.

4. *Ita codd. mss. et edit. princ. Petavius edidit* ἀπολώμεθα.
5. συναλοιφὴ *ed. Petav.*
6. συναλοιφὴ *ed. Petav.*
7. ταυτότητος *rescripsi ex emend. Cornarii, qui vertit* in identitatis glorificatione. *Libri habent* ταυτέτητι.
8. ὄντως *codd. mss.*
9. μηδέπω *cod. Rhedig.*
10. *Verba* πνεῦμα ἅγιον *non comparent in ed. Petav. Colon. repet. Neglexit ea etiam Cornarii versio.*

τὸ δυνατὸν, ἵνα μὴ ἀμάρτυρον περὶ πνεύματος καὶ ἐν τῷ παρόντι παρελεύσομαι τὴν ὑφήγησιν. Εὐθὺς μὲν γὰρ ὁ πατήρ φησι περὶ τῆς τοῦ υἱοῦ παρουσίας ὅτι, Θήσομαι τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ, ἵνα γνήσιον κηρύξῃ θεὸν τὸ ἅγιον αὐτοῦ πνεῦμα, πᾶσι πιστοῖς εἰς σωτηρίαν. Εἰ δὲ ὁ μονογενὴς τῇ αὐτῇ μαρτυρίᾳ προσθεὶς φάσκει, Πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ [1] εἵνεκεν ἔχρισέ με, ἵνα ἡ ἔνσαρκος αὐτοῦ παρουσία, καὶ τῷ πνεύματι τῷ ἁγίῳ ἠσφαλισμένη, καὶ πιστοῖς κηρυττομένη σαφῶς ὁμολογηθῇ ἀπὸ τῆς τοῦ Χριστοῦ μαρτυρίας, ὅτι οὐκ ἀλλότριον τὸ πνεῦμά ἐστι τοῦ θεοῦ. Πάλιν δὲ ὁ κύριος περὶ τοῦ πνεύματος ὅτι, Τὸ πνεῦμα τοῦ πατρός μού ἐστι τὸ λαλοῦν ἐν ὑμῖν. Καὶ πάλιν, ὡς οὐκ ἀλλοτρίου τοῦ πνεύματος τυγχάνοντος τῆς τοῦ θεοῦ θεότητος, Ἐνεφύσησεν εἰς τὸ πρόσωπον τῶν μαθητῶν, καὶ εἶπε, Λάβετε πνεῦμα ἅγιον. Καὶ πάλιν, ἵνα δείξῃ τὴν ἑαυτοῦ ἰσότητα καὶ ὁμοουσιότητα πρὸς τὸ πνεῦμα αὐτοῦ τε καὶ τοῦ πατρὸς αὐτοῦ τὸ ἅγιον, φησὶ, Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε· ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν· ὡς αὐτοῦ τοῦ κυρίου παρακλήτου ὄντος, καὶ τοῦ πνεύματος τοῦ ἁγίου συμπαρακλήτου ὄντος ὁμοίως. Οἱ δὲ ἀπόστολοι δεικνύοντες ὅτι οὐ δοῦλον τυγγάνει τὸ πνεῦμα, ἀλλὰ τῆς αὐτῆς θεότητος, τὴν αὐτοῦ αὐθεντίαν ὑποδεικνύντες φασὶ, Καὶ εἶπε τὸ πνεῦμα τὸ ἅγιον, Ἀφορίσατέ μοι Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προςκέκλημαι αὐτοὺς, καὶ τὰ ἑξῆς. Ὁ δὲ ἀπόστολος σαφῶς περὶ [2] αὐτοῦ λέγει, Ὁ δὲ κύριός ἐστι τὸ πνεῦμα· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία· καὶ, Ὑμεῖς ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα κυρίου οἰκεῖ ἐν ὑμῖν. Εἰ τοίνυν Ναὸς θεοῦ καλούμεθα διὰ οἴκησιν ἁγίου πνεύματος, τίς τολμήσειε παραιτήσασθαι τὸ πνεῦμα, καὶ ἀπαλλοτριῶσαι τῆς τοῦ θεοῦ οὐσίας, σαφῶς τοῦ ἀποστόλου λέγοντος ἡμᾶς ναοὺς θεοῦ γίνεσθαι,
pag. 903. διὰ τὸ ἐνοικοῦν πνεῦμα ἅγιον ἐν τοῖς ἀξίοις; Πῶς δὲ ἀλλότριον θεοῦ ἔσται τὸ πνεῦμα τὸ βάθη τοῦ θεοῦ ἐρευνῶν; Καὶ μὴ λέγε μοι, Ἐρευνᾷ, καὶ οὔπω γινώσκει, ὥς τινες τολμῶσι βλασφημεῖν, καὶ ἑαυτοὺς [3] ἀπολλύειν. Ἐπεὶ ἂν καὶ [4] αὐτὸ λέξωσι περὶ τοῦ πατρὸς, ὅτι καὶ περὶ αὐτοῦ γέγραπται ὅτι ἐρευνᾷ ταμεῖα [5] κοιλίας. Καὶ εἰ ἀσεβῶς νοήσεις, διὰ [6] τὸ μὴ ἐπικεῖσθαι τῷ ἐρευνᾷν τὸ γινώσκειν ἐπὶ τοῦ πνεύματος, ἀσεβήσαις ἂν καὶ περὶ τοῦ πατρὸς τὴν αὐτὴν ἀναγκαζόμενος [7] παρεκφέρειν ὑπόνοιαν. Οὔ τε γὰρ ἐπὶ πατρὸς ἐρευνῶντος ταμεῖα κοιλίας πρόςκειται τὸ γινώσκειν. Οὔ τε γὰρ χρεία ἦν εἰπεῖν, σαφῶς δηλουμένης τῆς τοῦ θεοῦ προγνωσίας ἀπὸ τοῦ ἐρευνᾷν τὸ τέ-

Cap. XIII. — 1. εἵνεκεν *uterque codd. mss.* ἕνεκεν *editi.*
2. αὐτοῦ *restitui ex utroque libro ms. Etiam Cornarius verterat* ex ipso. *At in editis vulgo est* αὐτῶν. *In ed. Petav. Colon. repet. verba* ὁ δὲ ἀπόστολος σαφῶς π. αὐτοῦ λέγει *omnino non comparent.*
3. ἀπολύειν *edit. Petav.*
4. αὐτὸς *codd. mss.*

autem ex pluribus pauca quaedam pro virili colligemus; ne catholicum illud de spiritu sancto dogma sine ullis confirmatum auctoritatibus hoc loco praetereamus. Inprimis enim pater ipse de adventu filii sic loquitur: *Ponam*, inquit, *spiritum meum in ipso, et iudicium* Esai. 42, 1.
gentibus nuntiabit. Quibus verbis spiritum suum sanctum fidelibus omnibus ad obtinendam salutem verum ac germanum deum esse praedicat. Accedit ad hoc testimonium unigeniti ipsius auctoritas: *Spiritus*, inquit, *domini super me, propter quod unxit me;* quo il- Esai. 61, 1.
lius incarnatione et spiritu sancto stabilita de fidelibus nuntiata ipsiusmet Christi testificatione certo illud asseramus, alienum a deo nequaquam esse spiritum sanctum. Rursum de spiritu dominus, *Spiritus*, inquit, *patris mei est, qui loquitur in vobis.* Praeterea ut Matth. 10, 20.
ab ipsa divinitate non excludendum esse spiritum ostenderet, vultui apostolorum afflavit, et dixit, *Accipite spiritum sanctum.* Ad haec, Ioann. 20, 22.
ut aequalem ac consubstantialem suo patrisque spiritui sancto se esse monstraret, *Si diligitis me*, inquit, *mandata mea servate, et ego ro-* Ioann. 14, 15.
gabo patrem, et alium Paracletum dabit vobis. Quasi et dominus ipse Paracletus sit, et spiritus sanctus eodem modo sit Paracletus. Apostoli vero, ut ostenderent spiritum sanctum non esse servum sed eadem divinitate praeditum, illius auctoritatem ac potentiam his verbis significant: *Et dixit spiritus sanctus, Segregate mihi Barna-* Act. 13, 2.
bam et Saulum in opus ad quod eos vocavi, etc. Tum apostolus eadem diserte declarat: *Dominus vero*, inquit, *spiritus est: ubi autem* 2. Cor. 3, 17.
spiritus domini est, illic libertas; item: *Vos templum dei estis, et* 1. Cor. 3, 16.
spiritus domini habitat in vobis. Iam vero cum templum dei ob illam sancti spiritus habitationem vocemur, quis spiritum repudiare audeat, et a dei substantia reiicere, cum diserte hoc apostolus asserat, *Templum nos esse dei, propter spiritum illum sanctum*, qui in dignis habitat? Praeterea quonam pacto alienus a deo potest esse spiritus ille qui *dei profunda scrutatur?* Nec est quod illud obiicias, 1. Cor. 12, 10.
scrutari illa quidem, nec dum tamen cognoscere, ut nonnulli contumeliose iacere cum sua pernicie ausi sunt. Nihil enim vetat quin idem de patre dicant, de quo scriptum est, *Scrutari illum ventris re-* Prov. 20, 27.
cessus. Quare si propterea quod ad scrutandi verbum cognoscendi aliud non est adiunctum, eiusmodi quiddam impie de spiritu potes animo concipere, non minus in patrem impius sis oportet, de quo eandem cogeris proferre sententiam. Quippe cum ventris illos recessus perscrutari pater dicitur, nulla fit cognitionis mentio. Neque vero necesse fuit istud addere, cum dei anticipata illa cognitio perspicue significetur, et ex ipso scrutandi vocabulo perfecta sen-

5. τῆς κοιλίας *cod. Rhedig.*
6. τὸ *codd. mss.* τῷ *vitium est editorum librorum.*
7. παρεκφέρει *codd. mss.*

λειον τῆς ἀποφάσεως ἐχούσης. Οὕτω μοι καὶ περὶ πνεύματος, καὶ υἱοῦ, καὶ πατρὸς τὴν μίαν γνῶσιν καὶ τὴν προγνωσίαν σαφῶς ἐχούσης τῆς ἁγίας τριάδος τὴν τελειότητά τε καὶ ταυτότητα.

Κεφ. ιδ΄. Καὶ ἀμύθητα ἔστι περὶ τούτων λέγειν, καὶ ἀπὸ θείας γραφῆς ὄγκον μαρτυριῶν φέρειν, καὶ εἰς πλάτος ἐπιμηκύνειν, καὶ κάματον ἐμποιεῖν τοῖς ἐντυγχάνουσιν. Ἀρκετῶς γὰρ ἐν [1] πάσῃ αἱρέσει πολλὰ εἰπόντες τὰς πάσας ἐν θεοῦ δυνάμει ἡμεῖς οἱ ἀσθενεῖς ἀνετρέψαμεν, καὶ ἀπεδείξαμεν ἀλλοτρίας οὔσας τῆς ἀληθείας, καὶ ἑκάστην αὐτῶν βλασφημοῦσαν καὶ ἀρνουμένην τὴν ἀλήθειαν, κἄν τε ἐν βραχεῖ, κἄν τε ἐν πολλῷ. Ὡς καὶ οὗτοι μάτην εἰς τὸν κύριον βλασφημοῦντες, καὶ εἰς τὸ ἅγιον πνεῦμα, καὶ μὴ ἔχοντες μήτε ἐνταῦθα, μήτε ἐν τῷ μέλλοντι αἰῶνι κατὰ τὰ ὑπὸ κυρίου εἰρημένα ἄφεσιν ἁμαρτιῶν, διὰ τὴν εἰς τὸ ἅγιον πνεῦμα βλασφημίαν, καταπατηθέντες ὑπ᾽ αὐτῆς τῆς ἀληθείας δίκην κεράστου δεινοῦ μονοκέρωτος, τοῦ νοῦ τῆς βλασφημίας, δυναμένου ὅλον τὸ σῶμα φθείρειν, πεισθέντες τῷ τοῦ ξύλου λόγῳ καὶ τῇ τοῦ μονογενοῦς ἀληθινῇ ὁμολογίᾳ ὅτι τῷ βλασφημοῦντι εἰς τὸ πνεῦμα οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται, ὡς ἔφην. Καταπατηθέντες καὶ συντριβέντες, μὴ ἰσχύοντες κατὰ τῆς ἀλη-
pag. 904. θείας. Πύλαι γὰρ ᾅδου ἀληθῶς πᾶσαι αἱ αἱρέσεις, ἀλλὰ κατὰ τῆς πέτρας οὐ κατισχύσουσι, τουτέστι κατὰ τῆς ἀληθείας. Κἄν τε γὰρ ἐξ αὐτῶν τινες θελήσειαν λέγειν ὅτι, Τὴν μὲν πίστιν τὴν ἐκτεθεῖσαν κατὰ Νικαίαν καὶ αὐτοὶ ὁμολογοῦμεν, δεῖξον δέ μοι ἀπ᾽ αὐτῆς ὅτι τὸ ἅγιον πνεῦμα ἐν τῇ θεότητι συναριθμεῖται, — εὑρεθήσονται καὶ ἀπ᾽ αὐτῆς ἐλεγχόμενοι. Οὐ γέγονε δὲ τότε περὶ τοῦ πνεύματος ἡ ζήτησις. Πρὸς γὰρ τὸ ὑποπίπτον ἐν καιρῷ, καὶ καιρῷ, αἱ σύνοδοι τὴν ἀσφάλειαν ποιοῦνται. Ἐπεὶ οὖν ὁ Ἄρειος εἰς τὸν υἱὸν τὴν δυσφημίαν ἀπετείνετο, τούτου ἕνεκα μετὰ περισσῆς διαλογῆς ἀκρίβεια τῶν λόγων γεγένηται. Ὅρα δὲ ἀπ᾽ αὐτῆς τῆς ὁμολογίας ὅτι οὔτε ἐν τούτῳ εὑρεθήσονταί τι λέγοντες οἱ εἰς τὸ πνεῦμα βλασφημοῦντες, οἱ πνευματομάχοι, καὶ ἀλλότριοι τῆς αὐτοῦ δωρεᾶς καὶ ἁγιαστείας. Εὐθὺς γὰρ ἡ ἔκθεσις ὁμολογεῖ, καὶ οὐκ ἀρνεῖται. Πιστεύομεν γὰρ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα. Τὸ δὲ Πιστεύομεν οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ ἡ πίστις εἰς τὸν θεόν. Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν οὐχ ἁπλῶς εἴρηται, ἀλλ᾽ εἰς θεὸν ἡ πίστις. Καὶ εἰς τὸ ἅγιον πνεῦμα καὶ οὐχ ἁπλῶς εἴρηται, ἀλλ᾽ εἰς μίαν δοξολογίαν, καὶ εἰς μίαν ἕνωσιν θεότητος, καὶ μίαν

Cap. XIV. — 1. πάσῃ cod. Rhedig. πᾶσι cod. Ien. et editi.

tentia reddatur. Ad eundem itaque modum de spiritu et filio et patre pronuntiare convenit, et unam iis cognitionem ac praescientiam tribuere, eo quod sacrosancta trinitas sua haud dubie perfectione et identitate constet.

Sed de his omnibus infinita quaedam disputari possunt, et in- Cap. XIV. numerae sacris e literis auctoritates adferri, ut in longum producta lectoribus molesta sit oratio. Sed nos in unaquaque confutanda haeresi satis multa iam diximus, et omnes divino praesidio freti nos licet imbecilles evertimus, atque a veritate esse alienas ostendimus, nec non et singulas sive in exigua aliqua re, sive in maiori veritati contumeliose detrahere atque ablegare funditus. Quod quidem et isti facere instituunt qui dominum ac spiritum sanctum frustra contumeliis onerant, neque aut *hic aut in futuro saeculo*, ut domini Matth. 12, 32. verbis utar, peccatorum relaxationem, ob suam illam in spiritum sanctum blasphemiam, obtinere possunt: qui ab ipsa veritate proculcati sunt, Cerastae cuiusdam instar atrocis et unico cornu metuendi. Talis enim est blasphemiae sensus, qui corpus universum corrumpere potest. Et nos quidem domini sermone et unigeniti vera professione persuasi credimus, ei qui *blasphemarit in spiritum sanctum neque in hoc saeculo nec in futuro condonandum esse peccatum*, ut diximus. Quare proculcati illi et obtriti sunt; nec veritati resistere potuerunt. Nam haereses omnes re vera *portae sunt* Matth. 16, 18. *inferorum*, quae adversus petram nihil omnino virium habere possunt. Etenim si ex illis nonnulli istud obiicere voluerint: Nos eam fidei formulam quae in Nicaena synodo exposita est et ipsi profitemur, doce igitur ex illa spiritum sanctum in divinitate numerari; etiam illa ipsa confessione refellentur. Quamquam nulla tum de spiritu sancto fuerat instituta quaestio. Quippe de his, quae singulis temporibus occurrunt, cavere synodi ac decernere solent. Quare cum Arius in filium maledicta coniiceret, propterea uberiori quadam disputatione argumentum illud est accuratissime tractatum. Verum ex eadem fidei professione animadvertere licet, ne hac in parte quidem contumeliosos illos in spiritum haereticos ac spiritus oppugnatores, et ab eius sanctitate ac donis alienos quicquam omnino dicere. Siquidem expositio ipsa veritatem subinde profitetur, nec negat. *Credimus*, inquit, *in unum deum patrem omnipotentem*. Ubi vox ista, *Credimus*, non simpliciter accipienda, sed de fide in deum intelligenda venit. *Et in unum dominum Iesum Christum*, neque hoc utcumque dictum, sed ad fidem in deum referendum. *Et in spiritum sanctum*, quod neque simpliciter usurpatum est, sed in unam praedicationem ac gloriam, in unam divinitatis coniunctionem, in unam

ὁμοουσιότητα, εἰς τρία τέλεια, μίαν δὲ θεότητα, μίαν οὐσίαν, μίαν δοξολογίαν, μίαν κυριότητα, ἀπὸ τοῦ πιστεύομεν, καὶ πιστεύομεν, [2]καὶ πιστεύομεν. Καὶ ἐνταῦθα διέπεσεν ὁ τῶν τοιούτων λόγος. Καὶ ἕως ποῦ μηκύνω τὸν λόγον, ἀρκετῶς ἡγησάμενος τοῖς τὴν ἀλήθειαν ἀγαπῶσι τὰ κατὰ τούτων εἰρημένα; Διὸ ὑπερβήσομαι καὶ ταύτην, δεόμενος θεοῦ [3]ἡμῖν συνήθως ἀντιλαβέσθαι πρὸς τὴν τούτων ἀνατροπὴν ἁπάντων, ὅπως ἐν τῇ αὐτοῦ δυνάμει τὸ ἐπάγγελμα τελειώσαντες κατὰ πάντα αὐτῷ [4] εὐχαριστήσωμεν.

ΚΑΤΑ ΑΕΡΙΟΥ ΝΖ΄, Η ΚΑΙ ΟΖ΄.

Κεφ. α΄. Ἀέριός τις πάλιν, ὡσαύτως τῷ κόσμῳ γεγένηται μέγα κακὸν, [1]ἐμβροντηθεὶς τὴν ἔννοιαν, ἐπαρθεὶς τὸ φρόνημα. Πᾶσαν γὰρ αἵρεσιν (pag. 905.) κακοβουλία τῶν γενομένων ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ [2]κενοδοξίας, ἢ ἐπάρσεως ταῦτα εἰργάσατο, ἢ ἐπιθυμίας ὄρεξις, ἢ ζῆλος πρὸς τοὺς πέλας, ἢ παροξυσμὸς, ἢ προπέτεια. Τὸ δὲ πᾶν ἐκ διαβόλου ἡ τύφλωσις, οὐ τοῦ διαβόλου ἰσχύοντος ἀπατᾶν τὸν μὴ βουλόμενον, ἀλλὰ ἑκάστου ἑαυτῷ παραιτίου γινομένου τῆς περὶ τὴν ἁμαρτίαν ἐργασίας, ἵνα, φησὶ, οἱ δόκιμοι φανεροὶ γένωνται. Οὗτος ὁ Ἀέριος ἔτι καὶ δεῦρο ζῇ ἐν σαρκὶ, καὶ περίεστι τῷ βίῳ, Ἀρειανὸς μὲν τὸ πᾶν. Ἄλλως γὰρ οὐ φρονεῖ, ἀλλ' ὡς Ἄρειος, καὶ ἔτι ἐπέκεινα μειζόνως τὰ Ἀρείου ἐπιζητήσας, ὠξυμμένος τε τὴν γλῶτταν, καὶ ἐξωπλισμένος ἐν χείλεσιν ἐν τούτῳ τῷ μέρει, ὅπως ἐξελκύσῃ εἰς ἑαυτὸν ἠπατημένον στρατὸν, καὶ πληθὺν τῶν ἀεὶ τὰς ἀκοὰς γαργαλιζομένων, καὶ τὴν διάνοιαν ὑποχαλωμένων. Καὶ γὰρ καὶ αὐτὸς τῷ βίῳ ἐφεύρατό τινα μεγάλην μυθώδη κενοδοξίαν, γελοῖον μὲν ἐμποιοῦσαν τοῖς ἔμφροσιν ὅμως διὰ τούτου πολλοὺς ἠπάτησε καὶ παρείλκυσεν. Οὗτος γίνεται συσχολαστὴς Εὐσταθίου Σεβαστίου, τοῦ τῆς Σεβαστείας Πόντου τε καλουμένης χώρας, ἤτοι μικρᾶς Ἀρμενίας. Ὁμοῦ γὰρ ἦσαν ἀσκοῦντες, ὅ τε προειρημένος Εὐστάθιος καὶ ὁ Ἀέριος. Ὅτε δὲ ὁ Εὐστάθιος ἦλθεν εἰς τὴν ἐπισκοπὴν, ἐκεῖνος μᾶλλον ἐπεθύμει, ἀλλ' οὐκ ἔφθασεν εἰς τοῦτο. Ἐντεῦθεν ζῆλος γίνεται. Ἐδόκει δὲ προςλιπαρεῖν ὁ Εὐστάθιος τὸν Ἀέριον. Αὐτίκα ὕστερον καθιστᾷ τοῦτον πρεσβύτερον, τό τε ξενοδοχεῖον αὐτῷ ἐμπιστεύει, ὅπερ ἐν τῷ Πόντῳ καλεῖται πτωχοτροφεῖον. Τοιαῦτα γάρ τινα κατασκευάζουσι κατὰ φιλοξενίαν, καὶ τοὺς λελωβημένους καὶ ἀδυνάτους ἐκεῖσε ποιοῦντες καταμένειν [3]ἐπιχορηγοῦσι κατὰ δύναμιν οἱ τῶν ἐκκλησιῶν προστάται.

2. *Alterum* καὶ πιστεύομεν *desideratur in edit. Petav. Colon. repet.*
3. ὑμῖν *ed. Petav. Colon. repet., vitiose.*
4. εὐχαριστήσομεν *cod. Rhedig.*
Cap. I. — 1. ἐμβροντισθεὶς *cod. Rhedig.*
2. καινοδοξίας *cod. Rhedig.* κενοδοξίαις (αι) *cod. Ien., ab eadem manu corr.*
3. *Verba* ἐπιχορηγοῦσι — — μῆνις ἀπ' αὐτοῦ, *quae partim sunt capitis sequentis, quaeque in cod. Ien. integram unam*

consubstantialitatem, in perfecta tria, sed unam divinitatem, unam substantiam, unam gloriam, dominationem unam, quod eae voces, *Credimus, et Credimus, et Credimus* declarant. Ex quo illorum confutatur oratio. Quid autem in ea sum disputatione longior, cum quae adversus istos hucusque dicta sunt veritatis studiosis satis esse non dubitem? Quocirca missam et hanc haeresim faciam, et deum precabor, ut ad omnes eiusmodi profligandos opem nobis afferat, ut illius virtute freti quod suscepimus exequi, et in omnibus gratias habere possimus.

ADVERSUS AERIUM. Haeresis LV., sive LXXV.

Aërius quidam ingenti perinde damno in mundum introductus Cap. I.
est, furiis quibusdam percitus, et insolentia maiorem in modum elatus. Etenim haeresis omnis pessimo ex eorum qui ab initio usque ad finem extiterunt consilio profectae sunt, sive illos gloriae cupiditas, aut arrogantia, sive voluptatum libido, sive aliorum aemulatio, sive commotio quaedam animi, aut temeritas impulerit. A diabolo porro omnis illa est inflicta caecitas; non quod hic invitum ac nolentem decipere quempiam possit, sed quod unusquisque peccati sibi caussa atque auctor sit, *ut qui probati sunt,* inquit, *manifesti* 1. Cor. 11, 19.
reddantur. Aërius iste vero ad hodiernum usque tempus superest; estque secta penitus Arianus. Neque enim aliter atque iste sentit, imo etiam Arium ipsum dogmatum novitate superavit. Quin hac in parte linguam suam procudisse, et ad dicendum promptus esse videtur, ut deceptorum hominum exercitum, eorumque quibus *et aures* 2. Tim. 4, 3.
pruriunt et animus vanitate arrogantiaque distentus est multitudinem ad sese pelliciat. Etenim magnum et ille quoque nugarum ac fabularum copiam in humanum genus invexit. Quae tametsi prudentioribus ridicula videatur, nihilominus plerisque per illam imposuit, et in errorem abduxit. Fuit hic Eustathii Sebastiae episcopi (quae est in Ponti regione sive minoris Armeniae) sodalis. Ambo enim monasticum vitae genus amplexi sunt. Cum autem Eustathius ad episcopatum esset evectus, Aërius, etsi id magnopere cuperet, eo tamen pervenire non potuit. Hinc simultas ex aemulatione conflata. Et quidem Eustathius Aërio plurimum indulgere et addictus esse visus est. Nam et presbyterum hunc postea creavit, et xenodochii, quod ptochotrophium in Ponto vocatur, curam ei commisit. Eiusmodi quippe domicilia prae amore erga hospites ab ecclesiarum antistitibus excitari solent, in quibus mutilatos et imbecillos collocant, iisque ad victum necessaria pro virili suppeditant.

complent lineam, omissa sunt in cod. Rhedig.

Κεφ. β'. Ἐπεὶ οὖν ἡ μῆνις ἀπ' αὐτοῦ οὐ διέλειπε, καθ' ἑκάστην ἡμέραν ηὔξανον οἱ λόγοι, καὶ προέβαινεν ἀναμέσον αὐτῶν ὁ ζῆλος, λόγοι τε οὐκ ἀγαθοὶ καὶ διαβολαὶ ὑπὸ τοῦ Ἀερίου κατὰ Εὐσταθίου ἐγίνοντο. Ὁ δὲ ἐπίσκοπος Εὐστάθιος μετακαλούμενος τὸν Ἀέριον ἐθώπευε, παρῄνει, ἠπείλει, ἐνεβριμεῖτο, παρεκάλει, καὶ οὐδὲν ἤνυε. Τὸ γὰρ ἐξ ἀρχῆς καταβληθὲν εἰς μέγα κακὸν τὸ ἔργον ἤλαυνε. Πέρας [1] γοῦν καταλιπὼν τὸ πτωχοτροφεῖον ὁ Ἀέριος ἀνεχώρησεν. Ἐντεῦθεν τὴν πρόφασιν ὥσπερ κατὰ ἐχθροῦ βουλόμενός [2] τις εὑρεῖν ἢ κατὰ πολεμίου ἐπαφεῖναι βέλος, ἀνηρεύνα, καὶ λοιπὸν πᾶσι διαβάλλων τὸν Εὐστάθιον ἔλεγεν, Οὐκέτι τοιοῦτος ὑπάρχει, ἀλλ' ἔκλινεν εἰς χρημάτων συναγωγὴν καὶ εἰς κτῆσιν παντοίαν· ἅτινα ἦν ταῦτα συκοφαντία μὲν παρ' ἐκείνου, τῇ δὲ ἀληθείᾳ τὰς ἐκκλησιαστικὰς χρείας ἔχων μετὰ χεῖρας ὁ Εὐστάθιος [3] ἄλλως οὐκ ἠδύνατο πράττειν. Καὶ ἦν [4] πειθανὰ τὰ ὑπὸ τοῦ Ἀερίου λεγόμενα.

pag. 906.

Νομίσειε δ' ἄν τις, ἐπειδήπερ κατὰ Ἀερίου λέγοντες Εὐστάθιον παρηγάγομεν, μή τι [5] ἄρα καὶ τὸν Εὐστάθιον ἐν ἐπαίνοις ἔχομεν; Τὸν μὲν γὰρ βίον αὐτοῦ καὶ τὴν πολιτείαν οὐκ ὀλίγοι ἄνδρες θαυμάζουσιν. Εἴθε δὲ καὶ τῇ πίστει ὀρθῶς ἐφρόνησε. Τὸ γὰρ [6] Ἀρείου καὶ αὐτὸς ἀπαρχῆς ἕως τέλους κατέσχε, καὶ οὔτε αἱ θλίψεις τῶν διωγμῶν αὐτὸν διωρθώσαντο. Ἐδιώχθη γὰρ μετὰ τῶν περὶ Βασίλειον καὶ Ἐλεύσιον, καὶ λοιπούς. Ἔδοξε δὲ καὶ πρὸς Λιβέριον Ῥώμης τὸν μακαρίτην πρεσβεύειν ἅμα ἄλλοις ἐπισκόποις, καὶ τῇ ἐκθέσει τῆς κατὰ Νίκαιαν γενομένης συνόδου καὶ τῇ ὁμολογίᾳ τῆς ὀρθοδοξίας ὑπογεγραφέναι. Εἰς ὕστερον δὲ ὥσπερ μνησθεὶς, καὶ ἐξ ὀνείρων ἀναστὰς, τὰ ἑαυτοῦ πάλιν πρῶτα τῆς τῶν Ἀρειανῶν κακοδοξίας ἐπισκεπτόμενος οὐ διέλειπεν. Ὅμως περὶ Ἀερίου ἡμῖν ὁ λόγος ἐστί. Διὸ αὖθις πρὸς αὐτὸν [7] ἐπιστρεπτέον.

Κεφ. γ'. Οὗτος ὁ Ἀέριος διὰ τοὺς τοιούτους λόγους σεμνύνεται μὲν ἀποταξίαν ἐν ἀρχῇ. Καταλιπὼν δὲ τὸ πτωχοτροφεῖον παρείλκυσε πολὺν χορὸν ἀνδρῶν τε καὶ γυναικῶν. Ἀπηλαύνετο δὲ αὐτὸς μετὰ τῆς αὐτοῦ ἀπὸ τῶν ἐκκλησιῶν καὶ ἀγρῶν καὶ κωμῶν, καὶ τῶν ἄλλων πόλεων. Πολλάκις δὲ μετὰ πολλοῦ ὄχλου τοῦ ἰδίου [1] νιφόμενοι ἀγρόθεν διετέλουν, ὕπαιθροί τε καὶ ὑπὸ πέτρας αὐλιζόμενοι, ἐν ὕλαις καταφεύγοντες. Ἦν δὲ [2] αὐτῷ ὁ λόγος μανιώδης μᾶλλον ἤπερ καταστάσεως ἀνθρωπίνης. Καὶ, φησὶ, τί ἐστιν ἐπίσκοπος πρὸς πρεσβύτερον; Οὐ-

Cap. II. — 1. γ' οὖν *scriptum extat in cod. ms. utroque.*
2. τινα *volebat Petavius.*
3. ἄλλος *vitium est ed. Petav. Colon. repet.*
4. πειθανὰ *codd. mss. et edit. princ. Cf. haer.* 42, 3. *et* 31, 8., *ubi eandem tam adiectivi quam adverbii formam reposuimus. Petavius enim edidit* πιθανά.
5. *Vulgo* ἆρα.
6. *Ita iam ante Petavium correxerat Cornarius in interpretatione Latina. Libri*

Sed cum nullum succensendi modum faceret Aërius, rixae ac iurgia in dies ingravescere ac mutuae simultates augeri. Ad haec pessimi quidam rumores et calumniae adversus Eustathium ab Aërio spargi. Interim Eustathius episcopus evocatum ad sese Aërium mulcere, adhortari, comminari, irasci, supplicare, neque quicquam tamen his rebus efficere. Nam quod ab initio constitutum inchoatumque fuerat, ingentem in mali vim erupit. Postremo relicto mendicorum hospitio discedit Aërius. Quo ex tempore in omnem occasionem intentus velut qui hostem opprimere ac telis appetere studet, versabat se in omnes partes et apud omnes calumniose deinceps Eustathio detrahens. Non is est, inquiebat, amplius qui hactenus fuit, sed ad rem attentus est, et cumulandis opibus totus incumbit. Quae quidem per summam calumniam ab Aërio iactabantur. Eustathius vero, qui ecclesiae negotia tractabat, facere aliter non poterat, ideoque probabiliter haec ab Aërio dicebantur. Cap. II.

Ceterum dubitabit forsitan aliquis, quoniam Aërii istius occasione mentionem Eustathii fecimus, num ipsum tandem Eustathium laudandum arbitremur. Nam quod ad eius vitae institutum attinet, non paucis admirationem peperit. Qui utinam ad rectam ac sinceram fidem adhaesisset! Verum hic in Arii dogmate a principio ad finem usque perseveravit, nihiloque persecutionum calamitatibus melior factus est. Siquidem cum Basilio et Eleusio ac ceteris persecutione iactatus est; ac videtur et ad Liberium beatae memoriae Romanum episcopum cum aliis episcopis legationem obiisse, et expositione fidei, quae in Nicaena synodo proposita fuerat, ac sinceri dogmatis professioni subscripsisse. Postea vero, velut a sommo se revocans ac priorum recordatus, ad Arianam perfidiam, quam initio susceperat, respiciendi finem nullum habuit. Verum ad Aërium, de quo institutus a nobis sermo fuit, revocanda est oratio.

Hic igitur propter eiusmodi rationes omnium rerum abdicationem initio prae se tulit. Deinde ptochotrophio relicto magnam vim secum utriusque sexus hominum abduxit, qui omnes ab ecclesiis, agris, pagis et oppidis arcebantur. Ac saepenumero totus ille coetus nive perfusus passim per campos sub dio degebat, aut ad praerupta saxorum silvasque confugiebat. Est autem illius dogma supra hominis captum furiosum et immane. Inprimis enim, Quanam, inquit, in re presbytero episcopus antecellit? Nullum inter utrumque Cap. III.

vulgo praebent 'Αερίου.
7. ἐπιτρεπτέον *cod. Rhedig.*
Cap. III. — 1. *Ita edidit Petavius.* νειφόμενοι *habent codd. mss. et ed. princ.* νηφόμενοι *cogitavit Cornarius; certe vertit* cum multa sua turba vigilantes ac sobrii in agris degebant.
2. *Ita codd. mss. et ed. princ. Petavius edidit* αὐτοῦ.

δὲν διαλλάττει οὗτος τούτου· μία γάρ ἐστι τάξις, καὶ μία, φησὶ, τιμὴ, καὶ ἓν ἀξίωμα. Χειροθετεῖ, φησὶ, ἐπίσκοπος, ἀλλὰ καὶ ὁ πρεσβύτερος· λουτρὸν δίδωσιν ὁ ἐπίσκοπος, ὁμοίως καὶ ὁ πρεσβύτερος· τὴν οἰκονομίαν τῆς λατρείας ποιεῖ ὁ ἐπίσκοπος, καὶ ὁ πρεσβύτε-
pag. 907. ρος ὡσαύτως· καθέζεται ὁ ἐπίσκοπος ἐπὶ τοῦ θρόνου, καθέζεται καὶ ὁ πρεσβύτερος. Ἐν τούτῳ πολλοὺς ἠπάτησε, καὶ ἀρχηγὸν τοῦτον ἐσχήκασιν. Εἶτά φησι, Τί ἐστι τὸ Πάσχα ὅπερ παρ' ὑμῖν ἐπιτελεῖται; Ἰουδαϊκοῖς πάλιν μύθοις προςανέχετε. Οὐ γὰρ χρὴ, φησὶ, τὸ Πάσχα ἐπιτελεῖν. Τὸ γὰρ Πάσχα ὑμῶν ἐτύθη Χριστός. Εἶτα μετέπειτα, Τίνι τῷ λόγῳ μετὰ θάνατον ὀνομάζετε, φησὶ, ὀνόματα τεθνεώτων; [3] Εὔχεται γὰρ, φησὶ, ὁ ζῶν, ἢ οἰκονομίαν ἐποίησε, τί ὠφεληθήσεται ὁ τεθνεώς; Εἰ δὲ ὅλως εὐχὴ τῶν ἐνταῦθα τοὺς ἐκεῖσε ὤνησεν, [4] ἄρα γοῦν μηδεὶς εὐσεβείτω, μηδὲ ἀγαθοποιείτω, ἀλλὰ κτησάσθω φίλους τινὰς δι' οὗ βούλεται τρόπου, ἤτοι χρήμασι πείσας, ἤτοι φίλους ἀξιώσας ἐν τῇ τελευτῇ, καὶ εὐχέσθωσαν περὶ [5] αὐτοῦ, ἵνα μή τι ἐκεῖ πάθῃ, μηδὲ τὰ ὑπ' αὐτοῦ γενόμενα τῶν ἀνηκέστων ἁμαρτημάτων ἐκζητηθῇ. Ἀλλ' οὔτε νηστεία, φησὶ, ἔσται τεταγμένη. Ταῦτα γὰρ Ἰουδαϊκά ἐστι, καὶ ὑπὸ ζυγὸν δουλείας. Δικαίῳ γὰρ νόμος οὐ κεῖται, ἀλλὰ [6] πατραλῴαις καὶ μητραλῴαις, καὶ λοιποῖς. Εἰ γὰρ ὅλως βούλομαι νηστεύειν, οἵαν δ' ἂν αἱρήσομαι ἡμέραν ἀπ' ἐμαυτοῦ νηστεύω διὰ τὴν ἐλευθερίαν. Ὅθεν παρ' αὐτοῖς πεφιλοτίμηται μᾶλλον ἐν κυριακῇ νηστεύειν, τετράδα δὲ καὶ προσάββατον ἐσθίειν. Πολλάκις δὲ καὶ τὴν τετράδα νηστεύουσιν, οὐχὶ θεσμῷ, [7] ἀλλὰ ἰδίᾳ προαιρέσει, φησί. Ἔν τε ταῖς ἡμέραις τοῦ Πάσχα, ὅτε παρ' ἡμῖν χαμευνίαι, ἁγνειαι, κακοπάθειαι, ξηροφαγίαι, εὐχαὶ, ἀγρυπνίαι τε καὶ νηστεῖαι, καὶ πᾶσαι τῶν ψυχῶν αἱ σωτηρίαι τῶν ἁγίων παθῶν, αὐτοὶ ἀπέωθεν ὀψωνοῦσι κρέα τε καὶ οἶνον, ἑαυτῶν τὰς φλέβας γεμίζοντες, [8] ἀνακαγχάζουσι γελῶντες, χλευάζοντες τοὺς τὴν ἁγίαν ταύτην λατρείαν τῆς ἑβδομάδος τοῦ Πάσχα ἐπιτελοῦντας. Καὶ γὰρ εἰ καὶ ἀποτακτικὸν ἐσχήκασιν οὗτοι τρόπον, οὐκ ἤσκηται παρ' αὐτοῖς, πολὺ δέ τι κρεωφαγιῶν καὶ οἰνοποσιῶν, ἀλλ' εἰ [9] ἄρα τινὲς σπάνιοι ἐν μέσῳ αὐτῶν ἀπ' ἰδίας προαιρέσεως βούλοιντο τοῦτο. Μᾶλλον δέ εἰσιν οἱ πλείους αὐτῶν κεχρημένοι δαψιλέσιν ἐδωδῶν σαρκοφαγίαις καὶ οἰνοποσίαις, ὡς πολλάκις ἔφην. Ταῦτά ἐστι τὰ παρὰ Ἀερίου τῷ βίῳ ἐξεμεθέντα.

3. *Fortasse* εἰ εὔχεται.
4. *Libri vulgo* ἆρα.
5. αὐτοῦ *restitui ex utroque codd. mss. Vulgo scriptum extat* αὐτῶν.
6. *Codd. mss et ed. princ. praebent* πατραλώοις καὶ μητραλώοις. *Pelavius*

discrimen est. Est enim amborum unus ordo, par et idem honor ac dignitas. Manus imponit episcopus, imponit et presbyter; baptizat episcopus, idem facit et presbyter. Divinum omnem cultum administrat episcopus, non minus id facit et presbyter. Episcopus in throno sedet, sedet et presbyter. His in vulgus iactatis plerosque in errorem abduxit, quorum sectae princeps extitit. Praeterea, Quid est, inquit, Pascha, quod a vobis celebratur? Nimirum ad Iudaeorum adhuc fabulas adhaerescitis; neque enim Paschatis solemnitas obeunda: *Quoniam Pascha nostrum immolatus est Christus.* 1. Cor. 5, 7.
Pergit deinde, Et, quae ratio est, inquit, post obitum mortuorum appellare nomina? Nam ut vivus oret, aut in pauperes bona sua dispenset, quid ex ea re tandem ad mortuum redit? Quod si superstitum preces iis qui ex hac vita discesserint opitulari possunt, nemo pie deinceps agat aliquid, neque boni quicquam facit, sed amicos sibi aliquos quacumque ratione velit adiungat, sive pecuniarum largitione, sive precibus hoc ab illis sub vitae finem impetret, ut pro se deum exorent, ut ne illic aliquid incommodi patiatur, nec immanium a se facinorum poenae repetantur. Sed neque ieiunii, inquit, instituendi ulla ratio est. Haec enim omnia Iudaeorum propria sunt, et cuidam servitutis iugo subiecta. Quippe *iusto nulla lex posita est,* 1. Tim. 1, 9.
sed parricidis ac matricidis duntaxat, et id genus aliis. Nam si ieiunare omnino decreverim, quacumque libuerit die, sponte et integra libertate ieiunabo. Hinc est quod isti dominica die ieiunare potius affectant, quarta vero sextaque feria vescantur. Quamquam saepenumero quarta feria ieiunent, non ulla lege, sed voluntate, ut asserunt, inducti. Porro diebus ipsis Paschatis, quod tempus humi cubando, castimoniam servando affligandoque corpore, nec non et aridorum ciborum usu, precibus, vigiliis, ieiuniis, ac reliquis id genus saluberrimis corporis cruciatibus celebrare solemus, illi e contrario iam tum diluculo obsonari solent, et carnibus vinoque distenti cachinnari, ridere, eosque qui illam Paschatis hebdomadem sanctissimis illis religionibus traducunt ludibrio habere. Etenim tametsi renuntiare se rebus omnibus profiteantur, minime tamen vitae illud institutum observant, sed carnibus ac vinolentiae plus aequo indulgent; nisi forte pauci admodum inter illos sponte sua priorem illam vitae rationem retineant. Maiori enim ex parte largioribus epulis, carnibus, ac vino sese ingurgitant, ut non semel diximus. Haec sunt praecipue quae Aërius in hunc mundum evomuit.

edidit πατραλοίαις καὶ μητραλοίαις 7. *Editi* ἀλλ' ἰδίᾳ. *Pro* φησὶ *fortasse scribendum* φασί.

8. ἀναγκάζουσι λέγοντες *vitium est cod. Rhedig.*
9. ἆρα *libri vulgo habent,*

Κεφ. δ'. pag. 908. Ὑποδεικνύει τοίνυν τὴν ἔννοιαν καὶ τὴν αὐτοῦ ἀπιστίαν, καὶ τὰ δι' αὐτοῦ πάλιν τῷ βίῳ εἰς κακομήχανον τέχνην ἐμβροντηθέντα. Εἰς δὲ τὰς πρὸς αὐτὸν ἀντιθέσεις ἐλευσόμεθα, ὀλίγα διηγούμενοι, καὶ οὕτως παρερχόμενοι. Καὶ ὅτι μὲν ἀφροσύνης ἐστὶ τὸ πᾶν ἔμπλεων, τοῖς σύνεσιν κεκτημένοις τοῦτο δῆλον. Τὸ λέγειν αὐτὸν ἐπίσκοπον καὶ πρεσβύτερον ἴσον εἶναι. Καὶ πῶς ἔσται τοῦτο δυνατόν; ἡ μὲν γάρ ἐστι [1] πατέρων γεννητικὴ τάξις, πατέρας γὰρ γεννᾷ τῇ ἐκκλησίᾳ· ἡ δὲ [2] πατέρας μὴ δυναμένη γεννᾶν διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας τέκνα γεννᾷ τῇ ἐκκλησίᾳ, οὐ μὴν πατέρας ἢ διδασκάλους. Καὶ πῶς οἷόν τε ἦν τὸν πρεσβύτερον καθιστᾶν μὴ ἔχοντα χειροθεσίαν τοῦ χειροτονεῖν; ἢ εἰπεῖν αὐτὸν εἶναι ἴσον τῷ ἐπισκόπῳ; Ἠπάτησε δὲ τὸν προειρημένον Ἀέριον ἡ αὐτοῦ ἐρεσχελία καὶ ὁ ζῆλος.

Φέρει δὲ εἰς ἑαυτοῦ πλάνην καὶ τῶν αὐτοῦ ἀκουόντων ὅτι ὁ ἀπόστολος γράφει πρεσβυτέροις καὶ διακόνοις, καὶ οὐ γράφει ἐπισκόποις. Καὶ τῷ ἐπισκόπῳ φησὶ, Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος οὗ ἔλαβες διὰ χειρῶν τοῦ πρεσβυτερίου. Πάλιν δὲ ἐν ἄλλῳ τόπῳ, ἐπισκόποις καὶ διακόνοις, ὡς εἶναι, φησὶ, τὸν αὐτὸν ἐπίσκοπον τὸν αὐτὸν πρεσβύτερον. Καὶ οὐκ οἶδεν ὁ τὴν ἀκολουθίαν τῆς [3] ἀληθείας ἀγνοήσας, καὶ ἱστορίαις βαθυτάταις μὴ ἐντυχὼν, ὅτι νέου ὄντος τοῦ κηρύγματος πρὸς τὰ ὑποπίπτοντα ἔγραφεν ὁ ἅγιος ἀπόστολος. [4] Ὅπου μὲν ἦσαν ἐπίσκοποι ἤδη κατασταθέντες ἔγραφεν ἐπισκόποις καὶ διακόνοις. Οὐ γὰρ πάντα εὐθὺς ἠδυνήθησαν οἱ ἀπόστολοι καταστῆσαι· πρεσβυτέρων γὰρ ἐγίνετο χρεία, καὶ διακόνων. Διὰ γὰρ τῶν δύο τούτων τὰ ἐκκλησιαστικὰ δύνανται πληροῦσθαι. Ὅπου δὲ οὐχ εὑρέθη τις ἄξιος ἐπισκοπῆς, ἔμεινεν ὁ τόπος χωρὶς ἐπισκόπου· ὅπου δὲ γέγονε χρεία, καὶ ἦσαν ἄξιοι ἐπισκοπῆς, κατεστάθησαν ἐπίσκοποι. Πλήθους δὲ μὴ ὄντος οὐχ εὑρέθησαν ἐν αὐτοῖς πρεσβύτεροι κατασταθῆναι, καὶ ἠρκέσθησαν ἐπὶ τῷ κατὰ τόπον [5] μόνῳ ἐπισκόπῳ. Ἄνευ δὲ διακόνου [6] ἐπίσκοπον ἀδύνατον εἶναι. Καὶ ἐπεμελήσατο ὁ ἅγιος ἀπόστολος διακόνους εἶναι τῷ ἐπισκόπῳ διὰ τὴν ὑπηρεσίαν, [7] οὔπω τῆς ἐκκλησίας λαβούσης τὰ πληρώματα τῆς οἰκονομίας. Οὕτω κατ' [8] ἐκεῖνο καιροῦ ἦσαν οἱ τόποι. Καὶ γὰρ ἕκαστον πρᾶγμα οὐκ ἀπαρχῆς τὰ πάντα ἔσχεν, ἀλλὰ προβαίνοντος τοῦ χρόνου τὰ πρὸς τελείωσιν τῶν χρειῶν κατηρτίζετο.

Κεφ. ε'. pag. 909. Εὐθὺς μὲν γὰρ Μωϋσῆς πέμπεται εἰς Αἴγυπτον, κατὰ [1] τὴν πα-

Cap. IV. — 1. πατέρων editi. πη̅ρ̅ cod. Ien. πη̅ρ̅ cod. Rhedig.
2. πρ̅α̅ (h. e. πατέρα) cod. Rhedig.
3. ἐκκλησίας cod. Rhedig.
4. Lege de his et seqq. contra Petavium disputantem Walonem Messalinum (Cl. Salmasium) de Episcop. et Presb. pag. 109 sqq., pag. 226., pag. 318., pag. 332.

Eadem ipsa porro mentem illius ac perfidiam manifeste declarant, quae in hominum genus improbo artificio per summam insaniam effudit. Adversus quae ubi paucis disputaverimus, missum illum faciemus. Enimvero totum illud stoliditatis esse plenissimum prudens quisque facile perspicit. Velut cum episcopum ac presbyterum adaequare conatur. Hoc enim constare qui potest? Siquidem episcoporum ordo ad gignendos patres praecipue pertinet. Huius enim est patrum in ecclesia propagatio. Alter cum patres non possit, filios ecclesiae regenerationis lotione producit; non tamen patres aut magistros. Quinam vero fieri potest ut is presbyterum constituat ad quem creandum manuum imponendarum ius nullum habeat? Aut quomodo presbyter episcopo dici potest aequalis? Verum Aërium istum nimia quaedam procacitas aemulatioque decepit. Cap. IV.

Atenim ut tam sibi quam auditoribus imponat, illud obiicit, apostolum presbyteris et diaconis scribere, non episcopis. Item episcopum alloquens, *Noli*, inquit, *neglige gratiam, quae in te est, quam accepisti per manus presbyterorum collegii;* deinde alio loco *episcopis et diaconis*, ut idem episcopus et presbyter esse videatur. Sed nimirum veritatis iste seriem ignorans, nec in reconditiore historia versatus, non intelligit apostolum, cum recens adhuc esset Christiani dogmatis propagatio, pro re nata scripsisse. Nam ubi iam episcopi constituti fuerant, ad episcopos et diaconos scribebat. Neque enim subinde omnia ab apostolis ordinari poterant; et quidem presbyteris inprimis ac diaconis opus erat, a quibus videlicet ambobus ecclesiastica negotia administrari possunt. Quare ubi nondum episcopatu dignus aliquis occurrerat, nullus ei loco propositus est episcopus. At ubi et necessitas postulabat, nec eorum qui episcopatu digni erant copia deerat, ibi episcopi constituti. Sed cum haud magna multitudo foret, reperiri nulli potuerunt qui presbyteri crearentur; unde solo episcopo contenti fuerunt. Sine diacono vero episcopus esse non potest. Quare in id apostolus incubuit, ut ministrandi gratia episcopo diaconi suppeterent. Itaque cum nondum ecclesia suis omnibus functionibus expleri posset, per illud tempus istiusmodi singulorum locorum status extitit. Neque vero ulla res est quae ab initio suis omnibus numeris absoluta fuerit; sed procedente demum tempore sua opportunitatibus omnibus ad perfectionem accessio contigit. 1. Tim.4,14.

Cuius exemplum habemus in Moyse. Hic enim in vetere te- Cap. V.

5. *μόνῳ non habet cod. Rhedig.*
6. *ἐπίσκοπος cod. Rhedig.*
7. *οὔπω emendatio est Petavii. Libri habent οὕτω.*
8. *ἐκείνῳ omnes libri praeter Rhedig., qui habet ἐκεῖνο, quod reposui.*
Cap. V. — 1. *τὴν om. cod. Rhedig.*

λαιὰν διαθήκην ῥάβδῳ μόνῃ. Ὑπὸ τοῦ θεοῦ δὲ ἀπεσταλμένος ἐν τῷ εἰςελθεῖν εἰς Αἴγυπτον προςτίθεται αὐτῷ εἰς βοήθειαν Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ. Εἶτα μετὰ τὸ πιστεῦσαι αὐτῷ τὸν ἀδελφὸν συνήχθη πρὸς αὐτὸν ἡ γερουσία καὶ οἱ ἀρχηγοὶ τοῦ λαοῦ κατ' ἐκεῖνο καιροῦ. Καὶ μετὰ ταῦτα κρατυνομένου τοῦ ἔργου, καὶ τῆς ἀκολουθίας συναγομένης, διεπέρασε τὴν θάλασσαν. Καὶ οὔπω ἦσαν κατὰ τὸν νόμον, ἕως ὅτε κύριος αὐτὸν καλεῖ εἰς τὸ ὄρος. Δίδωσι δὲ αὐτῷ τὰς πτύχας, καὶ ὑποδείκνυσιν αὐτῷ σκηνὴν [2] κατασκευάσαι, ἀρχηγούς τε προστήσασθαι, δεκάρχους, πεντηκοντάρχους, ἑκατοντάρχους, χιλιάρχους. Καὶ ὁρᾷς πῶς τὰ πράγματα πλατύνεται; Ὅρα, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει Σινᾷ. Καὶ ὁρᾷς πῶς προσετέθη τῇ νομοθεσίᾳ ἑπτάμυξος λυχνία, ποδήρη ἱερατικὰ ἐνδύματα, κώδωνές τε καὶ μανδύαι, ἐπωμίδες τε καὶ κιδάρεις, μίτραι τε καὶ λίθων διαφόρων συνθέσεις, κύαθοι, θυΐσκαι, λουτῆρες, θυσιαστήρια, τρυβλία, μασμαρὼθ, ἅτινά ἐστι διϋληστήρια, μιδικὼθ ἅτινα καλοῦνται κύαθοι, [3] μαχωνὼθ, αἵτινές εἰσι βάσεις, καὶ ὅσαπερ ὁ νόμος διαλέγεται, Χερουβὶμ, καὶ τὰ ἄλλα, κιβωτὸς διαθήκης, ἀναφορεῖς τε καὶ δακτύλιοι, σκηνή τε καὶ δέῤῥεις καὶ δέρματα [4] ἠρυθροδανωμένα, ἀγκύλαι τε καὶ τὰ ἄλλα, πυλωροὶ, καὶ σάλπιγγες ἐλαταὶ καὶ καμπύλαι, καὶ [5] χρυσαῖ καὶ ἀργυραῖ, χαλκαῖ, [6] κερατίναι, καὶ τὰ ἄλλα ὅσαπερ ὁ νόμος ἔφη, θυσίαι διάφοροι, διδασκαλίαι. Ἐπειδὴ ἀπαρχῆς ταῦτα οὐκ ἦν, ἆρα μετὰ τὸ γενέσθαι τὴν τάξιν οὐκ εἴληφε τὰ πράγματα; Οὕτω καὶ τὰ παρὰ τῷ ἀποστόλῳ γεγραμμένα, ἕως ὅτε ἐπλατύνθη ἡ ἐκκλησία, ἕως ὅτε εἰς τὸ ἴδιον μέτρον ἐλήλακεν, ἕως ὅτε τὸν κόσμον τῆς συνέσεως δικαιότατα ἐκ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ᾠκονόμηται. Καὶ ἔπεσεν ὁ τοῦ Ἀερίου λόγος.

Καὶ ὅτι μὲν οὐ δύναται ταὐτὸν εἶναι διδάσκει ὁ θεῖος λόγος τοῦ ἁγίου ἀποστόλου, τίς μὲν ἔστιν ἐπίσκοπος, τίς δὲ ἔστι πρεσβύτερος, ὡς λέγει Τιμοθέῳ ἐπισκόπῳ ὄντι, [7] Πρεσβύτερον μὴ ἐπιπλήξῃς, ἀλλὰ
pag. 910. *παρακάλει ὡς πατέρα. Τί εἶχε πρᾶγμα ἐπίσκοπον πρεσβυτέρῳ μὴ ἐπιπλήττειν, εἰ μὴ ἦν ὑπὲρ τὸν πρεσβύτερον ἔχων τὴν ἐξουσίαν; ὡς καὶ πάλιν λέγει, Κατὰ πρεσβυτέρου μὴ ταχέως κατηγορίαν δέχου, εἰ μή τι ἐπὶ δύο καὶ τριῶν μαρτύρων. Καὶ οὐκ εἶπέ τινι τῶν πρεσβυτέρων, Μὴ δέξῃ κατηγορίαν κατὰ ἐπισκόπου, οὐδὲ ἔγραψε [8] περὶ τῶν πρεσβυτέρων τινὶ μὴ ἐπιπλήττειν ἐπισκόπῳ. Καὶ ὁρᾷς ὅτι παντὸς τοῦ ἐκ τοῦ διαβόλου παρασαλευομένου ἡ πτῶσις οὐ μικρά τίς ἐστιν;*

Κεφ. ϛ'. *Ἴδωμεν δὲ καὶ τὰ ἄλλα αὐτοῦ, καὶ διασκοπήσωμεν. Καὶ περὶ τοῦ*

2. κατασκευᾶσαι *codd. mss. et ed. princ.*
3. μεχωνὼθ *cod. Rhedig.*
4. ἠρυθροδανωμένα *cod. Rhedig., et cod. Ien. cum rasura.* ἠρυθρωδανωμένα *editi.*
5. χρυσαὶ καὶ ἀργυραὶ καὶ χαλκαὶ

stamento sola virga instructus in Aegyptum mittitur. Quam cum ingrederetur, Aaron ipsius frater divinitus missus ei se ad subsidium adiungit. Deinde postquam ei a fratre fides habita est, seniorum ad illum ac populi per illud tempus principium multitudo convenit. Tum destinato opere vires et incrementa capiente mare penetravit. Necdum tamen ad legem pervenerant, donec illum deus ad montem evocaret, cum et tabulas tradidit, et tabernaculum instituere, principes, decuriones, quinquagenarios, centuriones, ac tribunos creare docuit. Vides quemadmodum res omnes paulatim amplificatae fuerint? *Vide,* inquit, *facies omnia secundum exemplar, quod tibi monstratum est in monte Sina.* Animadvertisne ut ad legislationem candelabrum illud septem ellychniorum additum fuerit, nec non et talares sacerdotis vestes, tintinnabula, palliola, epomides, pilei, baltei, variorum lapillorum contextus, cyathi, mortariola, labra, turibula, catini, masmarhoth, hoc est cola, midicoth, sive cyathi, machonoth, qui sunt bases, et quaecumque alia lex edisserit, velut Cherubini, et id genus alia, arca testamenti, vectes, humerarii annuli, tabernaculum, vela, pelles rubricatae, ansae, et alia id genus, ianitores, tubae ductiles, et incurvae, et aureae, argenteae, aereae, corneae, alia denique ex legis praescripto, velut sacrificiorum et institutionum varia genera, quae cum initio nondum essent, nònne postquam invecta sunt, suus est ordo rebus attributus? Eadem ratio est illorum de quibus apostolus scripsit, quae tamdiu obtinuerunt, donec amplificata est ecclesia, donec suam ac legitimam ad mensuram pervenit, donec prudenti quadam moderatione iustissime est a patre, filio et spiritu sancto temperata. Ex quibus Aërii dogma refellitur.

Exod. 40. / Exod. 25, 40.

Quod autem non idem esse possit cum episcopo presbyter, divinus apostoli sermo declarat, quo quisnam episcopus, quisque presbyter sit intelligitur. Nam ad Timotheum episcopum scribens ita loquitur: *Presbyterum ne obiurges, sed hortare velut patrem.* Quid autem attinebat episcopo vetare, ut ne presbyterum obiurgaret, nisi maiorem ipso potestatem obtineret? Quare deinceps admonet, *Adversus presbyterum cito accusationem ne admiseris, nisi duobus tribusve testibus.* Non alicui ex presbyteris praecepit ut accusationem contra episcopum non admitteret, aut ut episcopum non obiurgaret. Videsne quam non mediocris illius ruina sit, quem diabolus labefactarit?

1. Tim. 5, 1. / Ibid. 19.

Sed hominis reliqua videamus. Inprimis quod ad Pascha per- Cap. VI.

codd. mss. et ed. princ.
6. *Suspicor* καὶ κερατῖναι.
7. πρεσβύτερε *cod Rhedig.*
8. περὶ *uncinis notavit Petavius.*

Πάσχα πρῶτον εἴπωμεν, ὥς φησι, Τὸ Πάσχα ἡμῶν ἐτύθη Χριστός· ἴδωμεν αὐτὸν τὸν εἰπόντα, εἰ οὐκ ἐπετέλει. Καί φησι, Ἔσπευδεν ὅπως ποιήσῃ τὴν Πεντηκοστὴν εἰς Ἱερουσαλήμ. Ποίαν δὲ τὴν Πεντηκοστὴν ἐπετέλει Παῦλος, εἰ μὴ Πάσχα ἐπετέλεσε; Τίνι δὲ οὐ συμπεφώνηται ἐν πᾶσι κλίμασι τῆς οἰκουμένης ὅτι τετρὰς καὶ προσάββατον νηστεία ἐστὶν ἐν τῇ ἐκκλησίᾳ ὡρισμένη; Εἰ δὲ καὶ χρὴ τὸ τῆς [1] Διατάξεως τῶν ἀποστόλων λέγειν, πῶς ἐκεῖ ὡρίζοντο τετράδα καὶ προσάββατον νηστείαν διὰ παντὸς, χωρὶς Πεντηκοστῆς; Καὶ περὶ τῶν ἓξ ἡμερῶν τοῦ Πάσχα πῶς παραγγέλλουσι, μηδὲν ὅλως λαμβάνειν ἢ ἄρτου καὶ ἁλὸς καὶ ὕδατος; Ποίαν τε ἡμέραν ἄγειν, πῶς τε ἀπολύειν εἰς ἐπιφώσκουσαν κυριακὴν, φανερόν ἐστι. Τίς δὲ μᾶλλον ἐπίσταται τούτων; Ὁ ἠπατημένος ἄνθρωπος, ὁ νῦν ἐνδημήσας, καὶ ἕως νῦν ἐν τῷ βίῳ περιών, ἢ οἱ πρὸ ἡμῶν μάρτυρες γεγονότες, ἔχοντες πρὸ ἡμῶν τὴν παράδοσιν ἐπὶ τῆς ἐκκλησίας, καὶ οὗτοι παρειληφότες παρὰ τῶν αὐτῶν πατέρων, τῶν τε αὐτῶν πατέρων πάλιν μεμαθηκότων παρὰ τῶν πρὸ αὐτῶν γεγονότων, πῶς ἡ ἐκκλησία παραλαβοῦσα παρὰ τῶν αὐτῆς πατέρων ἄχρι καὶ τῆς δεῦρο κατέχει τὴν ἀληθινὴν πίστιν καὶ τὰς παραδόσεις; Καὶ διαπιπτέτω πάλιν ἡ τούτου ἔννοια ἡ περὶ τοῦ Πάσχα. Εἶτα δὲ εἰ μὴ περὶ τῆς αὐτῆς ὑποθέσεως τετράδων καὶ προσαββάτων οἱ αὐτοὶ ἀπόστολοι ἐν τῇ Διατάξει ἔλεγον καὶ ἄλλως ἐκ πανταχόθεν εἴχομεν ἀποδεῖξαι, ὅμως περὶ τούτου ἀκριβῶς γράφουσι. Παρείληφε δὲ ἡ ἐκκλησία, καὶ ἐν ὅλῳ τῷ κόσμῳ συμπεφώνηται, [2] πρίν γε τοῦ εἶναι Ἀέριον καὶ τοὺς ἀπ' αὐτοῦ Ἀεριανούς. Τάχα γὰρ καὶ κατὰ τοῦτο δικαιότατον ὄνομα εἴληφεν. Ἀέριον γὰρ πνεῦμα ἔσχεν ἐξ
pag. 911. ἀκαθαρσίας, ἀπὸ τῶν ἀερίων πνευμάτων τῆς πονηρίας, τὸ ἐν αὐτῷ οἰκῆσαν κατὰ τῆς ἐκκλησίας.

Κεφ. ζ. Ἔπειτα δὲ περὶ τοῦ ὀνόματα λέγειν τῶν τελευτησάντων, τί ἂν εἴη τούτου προὐργιαίτερον; τί τούτου καιριώτερον καὶ θαυμασιώτερον, πιστεύειν μὲν τοὺς παρόντας ὅτι οἱ ἀπελθόντες ζῶσι, καὶ ἐν ἀνυπαρξίᾳ οὐκ εἰσιν, ἀλλά εἰσι καὶ ζῶσι παρὰ τῷ δεσπότῃ, καὶ ὅπως ἂν τὸ σεμνότατον κήρυγμα [1] διηγήσοιτο, ὡς ἐλπίς ἐστιν ὑπὲρ ἀδελφῶν εὐχομένοις, ὡς ἐν ἀποδημίᾳ τυγχανόντων. [2] Ὠφελεῖ δὲ καὶ ἡ ὑπὲρ αὐτῶν [3] γινομένη εὐχὴ εἰ καὶ τὰ ὅλα τῶν αἰτιαμάτων μὴ ἀποκόπτοι· ἀλλ' οὖν γε διὰ τὸ πολλάκις ἐν κόσμῳ ἡμᾶς ὄντας σφάλλεσθαι ἀκουσίως τε καὶ ἑκουσίως, ἵνα τὸ ἐντελέστερον σημανθῇ. Καὶ γὰρ δικαίων ποιούμεθα τὴν μνήμην, καὶ ὑπὲρ ἁμαρτωλῶν· ὑπὲρ μὲν ἁμαρτωλῶν, [4] ὑπὲρ

Cap. VI. — 1. *Vide Grabii Spicileg. I. pag.* 48.
2. *Rescripsi* πρίν γε *pro* πρὶν γὰρ, *quod libri praebent.*

Cap. VII. — 1. *Petavius coniecit* διηγήσοιντο. *Nec displicet hoc. Cornarius vertit* et ut pientissimam praedicationem recenseam.

tinet, de quo testimonium illud protulit: *Pascha nostrum immolatus est Christus;* illum intueamur, cuius ista vox est, utrumnam celebrarit ipse. De eo vero sic scriptum est: *Festinabat ut celebraret Pentecosten Ierosolymis.* Ecquam vero Pentecosten Paulus ageret, nisi Pascha prius obiisset? Quis est uspiam terrarum qui non in eo consentiat, quartam, sextamve feriam solenni in ecclesia ieiunio consecratam? Quod si ex apostolorum constitutione repetenda nobis auctoritas est, cur illis quartae sextaeque feriae ieiunium perpetua lege sancitur, excepta Pentecoste? Cur sex Paschatis diebus nihil omnino ad cibum praeter panem, salem et aquam adhibendum definiunt? Quamnam vero celebrari diem, et in illluscentem dominicam dimittere praecipiant, nemini esse potest obscurum. Iam vero utri tandem illorum peritiores sunt? An errore deceptus homuncio, qui nunc tandem emersit, et adhuc hodie superstes est? An qui ante nos testes extiterunt, quique ante nos eandem traditionem in ecclesia tenuerunt, quam et ipsi a parentibus suis acceperant, et ipsorum parentes a maioribus suis didicerant, quemadmodum ecclesia, quam a patribus suis accepit rectam ac sinceram fidem cum traditionibus ad hunc diem observat? Facessat igitur falsa illius de Paschate sententia. Quod si de quarta sextave feria nullam omnino in constitutione sua mentionem apostoli fecissent, aliis tamen argumentis licebat uti. Quamquam ea de re est ab illis accuratissime scriptum, idque ipsum ab ecclesia susceptum communi est consensione firmatum, antequam Aërius ullus cum Aërianis existeret. Qui mihi propterea merito id nominis adeptus videtur. Aërium quippe spiritum ex impuritate nactus est, de illo aëriorum nequitiae spirituum grege, qui in ipso adversus ecclesiam domicilium posuerit.

1. Cor. 5, 7.

Act. 20, 16.

Cap. VII.

Quod vero spectat ad ritum illum quo mortuorum nomina pronuntiantur, quid eo esse potest utilius? quid opportunius, aut vero admiratione dignius? nempe ut qui adsunt certissime sibi persuadeant mortuos vivere, nec in nihilum redactos esse, sed existere adhuc, atque apud dominum vivere: tum ut religiosissimum illud dogma praedicetur, quo qui pro fratribus precantur, bene de illis sperare constat, quasi peregre profectis. Ceterum quae pro mortuis concipiuntur preces iis utiles sunt, tametsi non omnes culpas extinguant. Verum ex eo prosunt quod plerumque, dum adhuc in terra degimus, sponte aut inviti titubemus, ut id quod perfectius est significetur. Nam et iustorum pariter et peccatorum mentionem facimus, peccatorum quidem, ut iis a domino misericordiam implo-

2. *Citat haec verba Anastasius Sin. Quaestt. p.* 200. *Grets.*

3. γενομένῃ *cod. Rhedig.*

4. *Fortasse* ἅπερ.

ἐλέους θεοῦ δεόμενοι, ὑπὲρ δὲ δικαίων, καὶ πατέρων, καὶ πατριαρχῶν, προφητῶν καὶ ἀποστόλων, καὶ εὐαγγελιστῶν, καὶ μαρτύρων, καὶ ὁμολογητῶν, ἐπισκόπων τε καὶ ἀναχωρητῶν, καὶ παντὸς τοῦ τάγματος, ἵνα τὸν κύριον Ἰησοῦν Χριστὸν ἀφορίσωμεν ἀπὸ τῆς τῶν ἀνθρώπων τάξεως, διὰ τῆς πρὸς αὐτὸν τιμῆς, καὶ σέβας αὐτῷ ἀποδῶμεν, ἐν ἐννοίᾳ ὄντες ὅτι οὐκ ἔστιν ἐξισούμενος ὁ κύριός τινι τῶν ἀνθρώπων, κἄν τε μυρία καὶ ἐπέκεινα ἐν δικαιοσύνῃ ὑπάρχῃ ἕκαστος ἀνθρώπων. Πῶς γὰρ οἷόν τε εἴη τοῦτο; Ὁ μὲν γάρ ἐστι θεὸς, ὁ δὲ ἄνθρωπος, καὶ ὁ μὲν ἐν οὐρανῷ, ὁ δὲ ἐπὶ τῆς γῆς, διὰ τὰ ἐπὶ γῆς λείψανα, πάρεξ τῶν ἀναστάντων καὶ συνειςελθόντων ἐν τῷ νυμφῶνι, ὥς φησι τὸ ἅγιον εὐαγγέλιον, Πολλὰ δὲ σώματα τῶν ἁγίων ἀνέστησαν, καὶ συνειςῆλθον αὐτῷ εἰς τὴν ἁγίαν πόλιν. Ἁγίαν δὲ πόλιν λέγει ποίαν ταύτην; πληροῦται γὰρ κατ' ἀμφοῖν ὁ λόγος εἰς τὴν ἐνταῦθα, καὶ εἰς τὴν ἄνω. Ὅτι μὲν γὰρ εἰς τὴν ἐνταῦθα Ἱερουσαλὴμ συνειςῆλθον αὐτῷ πρῶτον, τοῦτο δῆλον. Πρινὴ δὲ τοῦ ἀναβῆναι τὸν σωτῆρα εἰς τὸν οὐρανὸν, [5] οὐδεὶς ἀναβέβηκεν ἕως ὅτε αὐτῷ συνανῆλθον. Οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου. Ἀλλὰ περὶ τούτων ἐν τῷ τόπῳ γενόμενοι τὰς δύο λέξεις ὑπεδείξαμεν. Εἰ δέ τις ἐρεῖ ὅτι, Ἆρα εἰς τὴν Ἱερουσαλὴμ εἰςῆλθον; μαθέτω ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῶν θυρῶν κε-
pag. 912. κλεισμένων παρέστη ὁ κύριος ἔνθα ἦσαν οἱ μαθηταὶ συνηγμένοι, καί φησι αὐτοῖς, Εἰρήνη ὑμῖν.

Κεφ. η'. Εἶτα δὲ περὶ τούτου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας, ὅτι ἀναγκαίως ἡ ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ πατέρων. Τίς δὲ δυνήσεται [1] θεσμὸν μητρὸς καταλύειν, ἢ νόμον πατρός; ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα, Ἄκουε υἱὲ λόγους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· δείξας ὅτι ἐγγράφως τε καὶ ἀγράφως ἐδίδασκεν ὁ πατὴρ, τουτέστιν ὁ θεὸς ὁ μονογενὴς, καὶ τὸ ἅγιον πνεῦμα, ἡ δὲ μήτηρ ἡμῶν ἡ ἐκκλησία εἶχε θεσμοὺς ἐν αὐτῇ κειμένους, ἀλύτους, μὴ δυναμένους καταλυθῆναι. Τεταγμένων τοίνυν τῶν ἐν τῇ ἐκκλησίᾳ θεσμῶν, καὶ καλῶς ἐχόντων, καὶ τῶν πάντων [2] θαυμασίως γινομένων, ἐλήλεκται πάλιν καὶ οὗτος ὁ πλάνος. Καὶ τοῦτον δὲ παρελθόντες ὥςπερ κάνθαρον, ἢ κανθαρίδα, ἢ τὸν καλούμενον βούπρηστιν κνώδαλον καταθλάσαντες τῷ ἐκκλησιαστικῷ [3] ἑδραιώματι, καὶ τῇ τοῦ θεοῦ δυνάμει, ἐπὶ τὰς ἑξῆς πάλιν ἴωμεν, τὸν θεὸν βοηθὸν [4] ἐπικαλούμενοι.

5. *Ed. Petav. Colon. repet. vitiose post* οὐδεὶς *inserit* γὰρ.

Cap. VIII. — 1. δεσμὸν *cod. Rhedig.*

2. θαυμασίων *ed. Petav. vitiose.*

3. ἑδραιώματι *ed. princ.* ἑδρεώματι *codd. mss.*

4. *In cod. Ien. post* ἐπικαλούμενοι *linea non interrupta sequuntur haec verba,*

remus, iustorum autem et patrum ac patriarcharum prophetarum, apostolorum, evangelistarum, martyrum, confessorum, episcoporum, anachoretarum, ac coetus illius universi, ut dominum Iesum Christum singulari quodam honore prosequentes ab ceterorum hominum ordine segregemus, debitumque cultum illius maiestati tribuamus; dum illud cum animo nostro reputamus, non esse dominum cum ullis mortalibus adaequandum; quamvis singuli infinita quadam, aut etiam ampliore iustitia praediti sint. Nam quae potest esse comparatio, cum ille deus, hic homo sit, ille in coelo, hic in terra, propter relictas ibidem corporis reliquias, versetur; exceptis iis qui a mortuis excitati in thalamum simul ingressi sunt, ut in evangelio narratur: *Multa vero corpora sanctorum resurrexerunt, et* Matth. 27, 52. *introierunt in sanctam civitatem.* De quanam vero sancta civitate loquitur? Nam ad utramque, tam praesentem videlicet quam coelestem illam locus iste pertinere potest. Et quidem terrenam hanc Ierusalem primum illos ingressos esse nemini dubium est. At priusquam salvator in coelum ascenderet, ascenderat nemo; donec illi cum eo pariter evecti sunt. *Nemo enim ascendit in coelum, nisi qui* Ioann. 3, 13. *de coelo descendit filius hominis.* Verum duas ea de re sententias suo loco proposuimus. Quod si quis Ierusalem ingressos esse dicat, scire debet illa die clausis ianuis illic adstitisse dominum *ubi* Ioann. 20, 19. *erant discipuli congregati*, iisdemque dixisse, *Pax vobis.*

Sed his omissis eo unde diverteram redeo, ac necessario facere Cap. VIII. illud ecclesiam dico, quae traditum sibi ritum illum a maioribus acceperit. Potest vero quispiam maternam sanctionem, aut legem patris evertere? quemadmodum a Salomone scriptum est, *Audi fili* Prov. 1, 8. *sermones patris tui, et ne repellas leges matris tuae:* quibus patrem, hoc est unigenitum deum, cum spiritu sancto declarat partim scripto, partim sine scripto docuisse, matrem vero nostram ecclesiam decreta quaedam habere penes se quae dissolvi evertique nequeunt. Quae quidem cum in ecclesia constituta sunt, praeclara quidem ac penitus admiranda, ex hoc ipso capite veterator ille convincitur. Sed nos eo relicto, velut scarabaeo quodam, aut cantharide, vel bupreste, quod est insecti quoddam genus, ac solido ecclesiae dogmate deique virtute confracto ad insequentes haereses cum eodem dei praesidio transeamus.

ab eadem manu sed rubro colore adpicta, ὅτι οἱ ἀναστάντες ἐπὶ τῆς Χριστοῦ ἀναστάσεως $\widetilde{\mu}$ ἡμέρας πεποιήκασιν ἐπὶ τῆς γῆς. ἐν δὲ τῇ ἀναλήψει συνανῆλθον τῷ ἰησοῦ.

ΚΑΤΑ *ΑΝΟΜΟΙΩΝ,

πεντηκοστὴ ἕκτη, ἡ καὶ ἑπτακοστὴ ἕκτη.

Κεφ. α'. *Ἀνόμοιοι πάλιν τινές εἰσιν καλούμενοι· οὗτοι δὲ πρόσφατοι. Ἔσχον δὲ ἀρχηγὸν Ἀέτιόν τινα διάκονον, προαχθέντα διὰ τὴν αὐτοῦ φλυαρίαν ὑπὸ Γεωργίου τοῦ Ἀλεξανδρέως, τῶν Ἀρειανῶν ἅμα καὶ Μελητιανῶν γεγονότος ἐπισκόπου, καὶ ἐν χρόνοις Ἰουλιανοῦ, ὡς ἄνω μοι προδεδήλωται, τὴν πόλιν πομπεύσαντος ἐπὶ καμήλου, καὶ πρῶτον μὲν πολλὰ ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος καὶ πεπονθότος, πομπεύσαντός τε, ὡς ἔφην, καὶ ξύλοις παισθέντος, ἔπειτα δὲ συρέντος ὅλην σχεδὸν τὴν πόλιν, καὶ οὕτως ἀποθανόντος, καὶ μετὰ θάνατον καέντος, καὶ μετὰ πολλῶν ὀστέων κτηνῶν καὶ ζώων εἰς τέφραν συναχθέντος καὶ μετέπειτα τοῖς ἀνέμοις ὑπ' αὐτῶν λικμηθέντος, καὶ οὕτως τὸ πέρας ἐσχηκότος. Λέξειε δ' ἄν τις περὶ τοῦ οὕτως τετελευτηκότος, Οὐκοῦν ἐμαρτύρησεν ὑπὸ Ἑλλήνων ταῦτα πεπονθώς; Καὶ εἰ μὲν ὑπὲρ
pag. 913. ἀληθείας αὐτῷ ἦν ὁ ἀγών, καὶ ὑπὸ Ἑλλήνων διὰ φθόνον καὶ τὴν εἰς Χριστὸν ὁμολογίαν τὰ τοιαῦτα αὐτῷ συμβέβηκεν, ὄντως ἐν μάρτυσι, καὶ οὐκ ἐν μικροῖς ἐτέτακτο. Οὐκ ἦν δὲ [1] τὸ αἴτιον διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἀλλὰ δι' ἣν ἐν τῇ [2] ἑαυτοῦ δῆθεν ἐπισκοπῇ καλουμένῃ πολλὴν βίαν τὴν πόλιν τε καὶ τὸν δῆμον διέθετο, πῇ μὲν ἁρπάζων τοὺς ἀνθρώπους τὰ ὑπὸ τῶν γονέων αὐτῶν κληρονομήματα. Καὶ ἵνα μὴ διαβάλλωμεν τὸν ἄνδρα· πολλὰ γάρ ἐστι τὰ ὑπ' ἐκείνου τοῖς Ἀλεξανδρεῦσι γενόμενα, πῶς μὲν τὴν [3] νίτρον ἅπασαν ἐξέλαβε, πῶς δὲ τὰ ἕλη τὰ τῆς παπύρου καὶ τοῦ καλάμου, καὶ τὰς λίμνας τοῦ ἁλὸς διοικεῖν καὶ εἰς ἑαυτὸν ἀποφέρεσθαι ἐπενόησεν. Ὡς πᾶσα αἰσχρότης βίου κέρδους διὰ πολλῆς μηχανῆς, ἄχρι καὶ λεπτῶν πραγμάτων, παρ' αὐτῷ οὐκ ἠμέλητο, ὡς καὶ κλίνας ἐπενόησε τοῖς σώμασι τῶν ἐξοδευόντων ποιῆσαι ἐν ἀριθμῷ τινι, καὶ ἄνευ τῶν ὑπ' αὐτοῦ ἐπιτεταγμένων οὐκ ἐξεκομίζετο σῶμα τῶν τελευτώντων, ἐπιπλεῖστον δὲ τῶν ξένων· οὐ διὰ φιλοξενίαν, ἀλλά, καθὼς ἔλεγον, διὰ πορισμὸν βιώδη. Εἴ τις γὰρ ἔθαπτε δι' ἑαυτοῦ σῶμα, κίνδυνον ὑφίστατο. Οὕτως δὲ ὑφ' ἑκάστου τῶν ἐκφερομένων κέρδος τι αὐτῷ προσεφέρετο. Καὶ σιωπῶ τὰ ἄλλα λέγειν, ὅσα ὁ ἀνὴρ ἐν τρυφαῖς καὶ [4] ἄλλοις ἐκομίζετο, καὶ ἐν ἀπηνότητι. Διὰ γοῦν ταῦτα πάντα τὴν εἰς αὐτὸν μῆνιν κεκρατηκότες

* Ἀνομίων codd. mss. uterque. Supra quoque, in Epist. ad Acacium certe ex Veneti cod. scriptura appellabantur Ἀνόμιοι, ut etiam in Ancor. cap. 13. p. 19. Pet.

Cap. I. — 1. τὸ om. cod. Rhedig.

2. αὐτοῦ cod. Rhedig.

3. νίτρον cod. Ien. et editi. τρίτην codd. mss. Rhedig. et Paris. Repono νιτρῖτιν. Diversae enim in libris fere ubique conspirantibus scripturae νίτρον atque τρίτην suspicionem commovent admodum probabilem in archetypo ex quo repetiti sunt illi scriptum fuisse νίτρον (τρῖτιν superscr.), quod cum parum intellegerent librarii, alterum recepisse νίτρον, quod a prima manu extare vidisset, alteros correcturam

ADVERSUS ANOMOEOS,
quae est haeresis LVI., sive LXXVI.

Praeterea, si quod factum ac genitum est ingenitum reddi facto ipso bonum iudicaret deus, neque tamen istud boni bene perficere posset, tum demum praepotens ille deus viribus destitutus esse videretur; qui quod praestantius est moliri cupiens nequaquam posset assequi. Verum cum et quod ingenitum est bonum sit, et quod genitum est suo in ordine bene sit genitum, quoniam genitarum rerum conditio bona est et a bono deo profecta, nec aliter ab eo ipso iudicatur, nunquam ille quod praeclare genitum est ingenitum facere volet; quandoquidem ita se rem habere bonum esse idem ille persuasum habet. Quamobrem cum boni conditio nullo modo mutetur, non quod id illi impossibile sit, sed quod bene ad eum modum constituta sit, bonus utique factus a nullo deus est, bona itidem, quae ab eo sunt in ordine suo facta, tametsi ingeniti appellatione careant. Non enim creatos deos condidit, ut alterum cum altero comparatum appellatione ipsa superioris supra inferiorem excellentiam, quae nulla appellatione comprehendi potest, obscuret et extinguat. Nam si deus alter a nullo factus alter factus est, cum nulla sit inter naturas communio, fieri non potest ut secundum naturam nominis illius dignitatem communem habeat, nisi forte abusione quadam et gratia, hoc est participatione quadam, fieri dicatur ut eiusmodi beneficio inferiorem dives afficiat. Nam ille quidem sibi nunquam superioris nomen imposuerit, ut qui se ab illa naturae dignitate appellationeque alienum prorsus intelligat. Sane illud, o Aëti, merito tibi aliquis obiecerit, *Deus erat verbum*, neque, Verbum deus factum est. Quinam vero nobilissimam appellationem natura sibi vindicabit, aut aequabitur patri, si quid ad Christi dignitatem accesserit? Aut illud quanam ratione amputari poterit, *Deus erat,* cum vox, *Erat,* Ioann. 1, 1.

3. ἀγενείας *ed. princ.*
4. τῶν *vitium est ed. Petav. Colon. repet.*

κἂν ἐν τῷ τυχόντι; Γνώσῃ δὲ ὅτι ἄναρχος θεὸς, καὶ ἀγέννητος θεὸς ἐγέννησεν ἐξ αὐτοῦ θεὸν ὅμοιον ἑαυτῷ, οὐ μόνον, ἀλλὰ καὶ ἴσον κατὰ πάντα. Καὶ οὐκ ἔκτισεν, ἵνα μὴ ἀνόμοιος ὁ κτισθεὶς γενόμενος ἀφανίσῃ τὸ [5] τοῦ θεὸς ὄνομα διὰ τῆς διαστάσεως τῆς παραλλαγῆς. Ἀδύνατον γὰρ τὸν γεννῶντα ἀνόμοιον καὶ ἄνισον γεννᾶν ἑαυτοῦ, καὶ τὸν γεγεννημένον ἀνόμοιον εἶναι τοῦ γεγεννηκότος. Διὸ ἐνταῦθα περιλήψεται τῆς ταυτότητος τὸ κατὰ φύσιν ἐξ εὐαγγελικῆς μαρτυρίας, ὅτι, Πάντα τὰ τοῦ πατρὸς ἐμά ἐστι, τουτέστι θεὸς ὁ πατὴρ, θεὸς ἐγὼ, ζωὴ ὁ πατὴρ, ζωὴ ἐγὼ, καὶ τὰ ἑξῆς πάντα ὅσα πρέπει πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι ἐν μιᾷ θεότητι, μηδὲν τῆς τριάδος παρηλλαγμένον ἐχούσης, σαφῶς ἡμῖν ἀνάρχως καὶ ἀχρόνως τοῦ ἐνυποστάτου λόγου τοῦ πατρὸς καὶ τοῦ ἐνυποστάτου πνεύματος τοῦ ἁγίου ἐκ πατρὸς [6] καὶ τῶν τοῦ υἱοῦ ἡμῖν ἐν γνώσει τελείᾳ ἠσφαλισμένου.

Ἀετίου κεφαλ. β΄. Εἰ πάσης αἰτίας κρείττων ὑπάρχει ὁ ἀγέννητος θεὸς, διὰ τοῦτο καὶ [1] γενέσεως κρείττων ἂν εἴη. Εἰ δὲ κρείττων ἐστὶ πάσης αἰτίας, δηλονότι καὶ γενέσεως. Οὔτε γὰρ παρ' ἑτέρας φύσεως εἴληφε τὸ εἶναι, οὔτε [2] αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέσχε.

Ἀνατρ. Εἰ πάσης αἰτίας κρείττων ὑπάρχει ὁ ἀγέννητος θεὸς, ὁ δὲ γεννητὸς ἐξ αὐτοῦ ἀναξίως αὐτοῦ γεγέννηται, καὶ οὐ κατ' ἰσότητα, καὶ ἐν τῷ τοῦ πατρὸς προκριτέῳ ὀνόματι ἕστηκεν, ἀτιμίαν τῷ γεγεννηκότι τὸ γέννημα περιποιεῖται, ἑτέρου ὀνόματος παρὰ τὰ γεγονότα κτίσματα ἔχων τὸ ἀξίωμα, καὶ οὐ κατὰ τὰ γεγονότα τὴν τιμὴν τῷ πεποιηκότι περιποιούμενον. Τὰ μὲν γὰρ ἐκτὸς αὐτοῦ δόξαν τῷ κεκτικότι περιποιεῖται, οὐκ ὄντα ἴσα τῷ πεποιηκότι, οὐδὲ ὀνόματι τοῦ πεποιηκότος καλούμενα, ἀλλὰ δοῦλα γενόμενα εἰς δόξαν τοῦ πεποιηκότος, ἵνα ἀπὸ τῶν ἐνδόξων ἐκ [3] τοῦ ὑπὲρ τὰ ἔνδοξα γεγονότα τὸ προκριτέον
pag. 936. καὶ ὑπὲρ αὐτὰ ὂν ἀναλόγως θεωρῆται. Ὁ δὲ οὐκέτι τῇ τούτων ὀνομασίᾳ κικλησκόμενος, τῇ δὲ προκριτέου ὁμοουσιότητι ἐκ τοῦ τετάχθαι συνηνωμένως ἔχων τὸ ἀξίωμα, εἰ διοίσει τοῦ προκριτέου τὴν παραλλαγὴν, καὶ τῷ προκριτέῳ ἔλαττον ἀξίωμα περιποιήσεται, διαλλαττομένης τῆς κατὰ τὸ προκριτέον τοῦ γεννήματος ἐπικοινωνίας. Διὸ ὅμοιος ἐξ ὁμοίου, καὶ ἴσος ἐξ ἴσου ἡμῖν ὁ βλαστὸς, οὐκ ἀπὸ σωματικῆς ἐννοίας, τῇ πίστει κατείληπται, ἀλλ' ὡς θεὸς ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, καὶ λόγος πατρὸς ἐνυπόστατος, σωζομένης τῆς ἀμεταθέτου

5. τοῦ *fortasse delendum est.*
6. *Vitiose in edit. Petav. Colon. repet. exaratum legitur* καὶ τὸν τοῦ υἱοῦ, ἡμῶν.
1. γεννέσεως *cod. Rhedig.*
2. αὐτὸν *vitium est ed. Petav. Colon. repet.*
3. τῶν *mendum est edit. Petav. Colon. repet. Ceterum haec verba vitio non carent. Scribendum puto* ἐκ τοῦ ὑπὲρ τὰ ἐνδ. γεγονὸς τὸ πρ.

nullam vel levissimam temporis divisionem admittat? Proinde scire te illud oportet, deum initio carentem, et a nullo factum, similem sibi deum e seipso genuisse, adeoque in omnibus aequalem. Quem quidem minime creasse dicitur, ne si creatus esset ideoque dissimilis foret, diversitate varietateque sua dei appellationem e medio tolleret. Etenim fieri non potest ut qui generat dissimilem sui inaequalemque producat, aut ut genitus generantis sit dissimilis. Quocirca naturalem utriusque identitatem retinet id quod evangelico testimonio fertur, in quo ita scriptum est: *Omnia quae patris sunt mea sunt*, hoc est, deus est pater, ego itidem deus; vita est pater, ego etiam vita, et cetera omnia quae patri, filio et spiritui sancto in una divinitate conveniunt, cum nihil sit in trinitate diversum, ac manifeste nobis subsistentis sine ullo initio ac tempore paterni verbi, ac similiter subsistentis spiritus sancti, qui ex patre filiique propriis oritur, perfecta nobis oblata cognitio sit, atque omni ratione firmata. Ioann. 16, 15.

Aetii Caput II. Si ingenitus deus caussa est omni praestantior, erit etiam generatione ipsa praestantior: si, inquam, caussis omnibus antecellit, generationi itidem antecellet. Neque enim aut ab altera natura ut esset accepit, aut illud ipse sibi contulit.

Confut. II. Si ingenitus caussa est omni praestantior, ab ipso porro genitus haud illo digne genitus est, nec aequalis, et tamen excellenti illa patris appellatione continetur, summam genitori genitus ignominiam affert, qui alterius quam creatae res ceterae nominis dignitate gaudeat, neque ut cetera illa, quae facta sunt, conditori suo cultum et honorem adhibeat. Nam alia quidem, quae extra illum sunt, conditori suo decus honoremque tribuunt; cui nec aequalia sunt, nec eadem cum illo appellatione censentur, sed servilis conditionis sunt, atque ad creatoris gloriam producta, quo nimirum ex illustribus illis et egregiis eius qui illustribus hisce rebus conditis superior est dignitatem excellentiamque proportione quadam contemplemur. At vero alter, qui nec communi ceterorum appellatione continetur, et pro eo quod excellenti illi consubstantialis est eiusmodi dignitate praeditus est, ut in eodem cum illo ordine collocetur, si quam habeat ab eximio illo praestantique varietatem, necesse est ut de eiusdem dignitate aliquid imminuat, hoc ipso quod excellentissimi illius in genito splendoris communio varietatis aliquid ac diversitatis habeat. Quare similem illum e simili, et aequalem ex aequali foetum, non pro captu corporeae alicuius intelligentiae Christiana fide concipimus, sed tanquam deum ex deo, lumen de lumine, ac verbum patris subsistens, adeo ut excellentis illius

τοῦ προκριτέου δόξης, ἐν τῷ τὸ προκριτέον οὐκ αὐτὸ ἑαυτοῦ αἴτιον, ἀλλ' ἀπ' αὐτοῦ τὸ ἴσον γεννῶν ἀχράντῳ καὶ ἀκαταλήπτῳ οὐσίᾳ, ὁμοουσίως τὸ οὐσιῶδες καὶ ἐνυπόστατον θεῖον γέννημα, οὗπερ εἰκὼν ἐστιν οὐκ ἄψυχος, ἀλλὰ πατρὸς χαρακτηρίζουσα γένος, ὥς φησι ἡ θεία γραφὴ, ἐπὶ τῇ ἰσότητι τοῦ γεννήτορος τὸ γέννημα τάττουσα, Εἰκὼν, φάσκουσα, τοῦ ἀοράτου θεοῦ. Καὶ ἵνα μή τις νομίσῃ διαφόραν εἶναι τὴν εἰκόνα τῆς ταυτότητος, αὐτὸς ὁ πατὴρ τὴν διόρθωσιν τῆς ἡμετέρας ζωῆς προνοῶν πρὸ τούτου τοῦ λόγου ἔφησε τὸ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, οὐ διοίσας ἑαυτὸν παρὰ τὸν υἱὸν, ἀλλὰ δυϊκὴν καὶ ὁμώνυμον λέξιν ἐπειπὼν τὸ, Ποιήσωμεν ἄνθρωπον, ἵνα δύο σημάνῃ, ἑαυτόν τε καὶ τὸν υἱὸν, ἢ καὶ εἴποιμι καὶ τὸ ἅγιον πνεῦμα. [4] Καὶ τὸ ἐπὶ τῇ ἰσότητι τῆς εἰκόνος τὸ μὴ διὰ δύο λόγων παρενθεὶς εἰκόνα μίαν ἔφη, ἡμετέραν δὲ τὸ δυϊκὸν ἀπεφήνατο, τὸν δὲ γινόμενον ἄνθρωπον οὐ τῇ τοῦ ἑνὸς εἰκόνι, ἀλλὰ τῇ τῶν δύο ὁμοιότητί τε καὶ ἰσότητι εἰκόνα γινόμενον, ἵνα πάντῃ σαφὲς εἴη τὸ [5] προκριτέον ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι μένον ἐν ταυτότητι, καὶ μὴ ἀλλοιούμενον. Οὐ γὰρ παρ' ἑτέρας φύσεως εἴληφεν ὁ πατὴρ, ἢ ὁ υἱὸς, ἢ τὸ ἅγιον πνεῦμα, ἢ δέδωκεν ἑτέρᾳ φύσει συμμετοχὴν τῆς ἑαυτοῦ φύσεως καὶ ἀξιώματος, οὔτε κατά τινα τομὴν ἢ ἀπόρροιαν τὸ εἶναι ἐξ αὐτοῦ τὸν μονογενῆ καὶ τὸ ἅγιον πνεῦμα ἀλλοίωσιν τῆς φύσεως ἐξειργάσατο, ἀλλὰ καθάπερ ἐξαρχῆς προκριτέα
pag. 937. φύσις ἀγέννητος καὶ ἄκτιστος ἀεὶ ἦν, οὕτως ἀεὶ ἐξ αὐτοῦ προκριτέον γέννημα καὶ ἅγιον πνεῦμα ἡμῖν σαφῶς κεκήρυχεν, καὶ οὐκ ἐνηλλαγμένως.

Κεφάλ. Ἀετίου γ'. Εἰ δὲ αὐτὸς ἑαυτῷ τὸ εἶναι μὴ παρέσχεν, οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν, πόθεν ἄν τις τὴν ὑποστᾶσαν πρὸς τὴν ὑποστήσασαν φύσιν τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειεν, οὐ προσιεμένης τῆς τοιαύτης ὑποστάσεως γένεσιν;

Ἀνατρ. Χρή σε, ὦ Ἀέτιε, ἄνω προσέχοντα, καὶ σεαυτοῦ τὸ ἐλεεινὸν κατανοοῦντα, ἐπέχειν τῆς ἑαυτοῦ τολμηρᾶς διανοίας τὸ περιττὸν τῆς ἀσεβείας, ἵνα καὶ ἡμεῖς μὴ συμμαινόμενοι τῇ τοσαύτῃ ἀφοβίᾳ ἡττημένοι ὑποληφθῶμεν, ἀλλὰ [1] σοί τε καὶ ἑαυτοῖς τὰ πρὸς εὐσέβειαν

4. *Haec verba corrupta sunt. Rescribendum videtur* Καὶ αὐτὸ ἐπὶ τῇ ἰσότητι τῆς εἰκόνος τὸ Καὶ διὰ δύο λ. π. *Cornarius vertit* Sed et aequalitatem imaginis non per duos sermones interponens unam imaginem dixit, sed per vocem Nostram *cett.*, *quae me non intellegere libere profiteor.*

interim atque eximii gloria salva integraque retineatur, hoc ipso quod ille sui ipsius minime principium asseritur, sed aequalem sibi sobolem purissima et incomprehensibili substantia consubstantialique modo, hoc est substantia et hypostasi praeditum produxisse filium, qui quidem non animae expers illius imago sit, sed paternum genus exprimat, ut scriptura testatur, quae genitum filium aequalem genitori constituit. *Imago*, inquit, *invisibilis dei*. Ac ne quis ima- Col. 1, 15.
ginis notionem ab identitate ipsa differre crederet, ipsemet pater, uti nos certo dirigeret, ante prolatam illam sententiam ita locutus est: *Faciamus hominem ad imaginem nostram, et ad similitudinem*. Gen. 1, 26.
In quo non seipsum a filio discrevit, sed similem vocem, et ad duos pertinentem, usurpare voluit: *Faciamus hominem;* qua duos exprimeret, seipsum videlicet, ac filium, aut insuper et spiritum sanctum. Atque ut imaginis aequalitatem ostenderet, diversa duo vocabula inserere noluit, sed unicam duntaxat commemoravit imaginem, nostram autem ea voce quae ad duos spectaret protulit. Porro creatum hominem non ad unius imaginem expressum, sed amborum similitudinis et aequalitatis effigiem esse significavit; ut illud aperte declararet, quicquid excellentiae est, in patre, filio ac spiritu sancto idem atque unum esse, neque varium ac multiplex. Non enim aut ab altera natura pater, filius et spiritus sanctus accepit, aut in alteram naturam naturae dignitatisque suae communionem transtulit, neque velut sectione quadam aut profluvio divinae illi naturae varietatem attulit unigeniti filii spiritusque sancti productio, sed quemadmodum ab initio praestantissima illa natura a nullo facta creatave semper extitit, ita semper praestantissimam ex seipsa sobolem una cum sancto spiritu sine ulla diversitate produxisse nobis apertissime praedicavit.

Aetii Caput III. Iam vero si ipse sibi minime ut esset contulit, non propter ullam naturae imbecillitatem, sed quod caussa sit omni superior, quis productam naturam ab ea, quae produxerit, nihil in substantia discriminis habere fatebitur, cum eiusmodi substantia generationem omnem excludat?

Confut. III. I. Multo tu, o Aëti, consultius faceres, si superioribus ac coelestibus rebus intentus, et infelicitatem tuam agnoscens, temerariae mentis insignem illam impietatem compesceres, ne et nos ipsi, velut iisdem furiis perciti, tantae audaciae succubuisse videamur, sed tibi potius ac nobis ipsis quae pietati sunt consentanea

5. *Libri omnes* πραχτέον, *quod correxi. Etiam Cornarius vertit* quo penitus manifestum sit, praeeminentiam in patre et filio ac sancto spiritu manere *cett.*

1. σύ *est vitium librorum mss.*

συμβουλεύοντες. Δοκῶν γὰρ ἐν τοῖς ἀναγκαίοις καὶ ἐν τοῖς θεῷ πρέπουσιν ἀνόμοιον καὶ ἄνισον τὸν θεὸν τῷ ἐξ αὐτοῦ γεγεννημένῳ ἀπὸ πολλῆς πλάνης κατὰ εὐσεβῆ τινα ποίησιν [2] ἐξελθεῖν θεὸν μᾶλλον ἐν τοῖς ἀπρεπωδεστάτοις ὅμοιον αὐτὸν κηρύττεις τοῖς μὴ πρέπουσι τῇ αὐτοῦ θεότητι. Καὶ πρῶτον μὲν τὸ διανοηθῆναι [3] περὶ θεοῦ τὸν τοσοῦτον βυθὸν τῆς [4] διανοίας ἀσεβείας ἐστὶ καρπὸς, καὶ μᾶλλον μανιώδους διανοίας. Τὸ γὰρ εἰπεῖν, Ἑαυτοῦ αἴτιον, ἢ τὸ, [5] Αὐτὸς ἑαυτῷ [6] τὸ εἶναι παρέσχεν, ἐν δυσὶν ὑπονοίαις κακαῖς σεαυτὸν περιέπειρας, ἀναψηλαφῶν καὶ ζητῶν περὶ θεοῦ τὸ πῶς ἦν, [7] ἆρα ἀεὶ, ἢ ἑαυτῷ τὸ εἶναι, ἢ αὐτομάτως εἶναι. Καὶ δέδια καὶ φρίττω τῷ σῷ κακῷ ἐνθυμήματι παρεκτεινόμενος. Πέπαυσο γὰρ καὶ παυσόμεθα, ἀρκετῶς καὶ ὁσίως ἔχοντες τὸ ἀεὶ νοεῖν θεὸν καὶ πιστεύειν, ὅτι ἦν ἀεὶ θεός. Καὶ γὰρ καὶ ἐν τούτῳ ἀφρόνως φθεγγόμενός τε καὶ συλλογιζόμενος, ὡς μεγάλως τετιμηκὼς τὸν θεὸν, ἔφης ὅτι οὔτε αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέσχεν. [8] Οὐδὲ ἄρα κατὰ σὲ, εἰ ἀπὸ λέξεών ἐστι καὶ συλλογισμῶν ἡ
pag. 938. τῆς πίστεως σωτηρία, ἔχουσα καὶ ἐν τοῖς ὑποδεεστέροις ἢ οἰκτροῖς σώμασι τὴν τοῦ λόγου ὁμοιότητα. Οὐδὲν γὰρ τῶν κτισμάτων ἑαυτῷ αἴτιόν ἐστιν, ἢ τὸ εἶναι αὐτὸ ἑαυτῷ παρέσχεν, ἀπὸ κνωδάλων ἄχρις ἀνθρώπου, καὶ ἀπὸ ἀνθρώπων ἄχρις ἀγγέλων. Οὐδεὶς γὰρ τῶν γεγονότων ἑαυτῷ τὸ εἶναι παρέσχεν, ἀλλὰ ἐκ τοῦ [9] ὄντος μόνου τὸ εἶναι ἕκαστον ἔλαβε τὴν ἀρχήν. Ὡς οὖν ἐνταῦθα δι' ὧν ἐνόμισας συλλογίζεσθαι συλλογισθεὶς, μὴ βιάζου παρὰ φύσιν παρεκτείνεσθαι τῷ μείζονι. Παραλυθήσῃ γὰρ κατὰ πάντα, τοῦ μονογενοῦς ἴσου καὶ ὁμοίου ὄντος τῷ πατρὶ, κἄν τε τοῦ τεχθῆναι, ἤγουν γεννηθῆναι, ἀπὸ πατρὸς ἔχει τὸ ἀξίωμα. Οὐδὲν γὰρ διοίσει ἐν τούτῳ τῆς πρὸς τὸν πατέρα ἰσότητος, ὥσπερ οὐδὲ ἀπὸ τοῦ ὁμοίου, [10] τῷ μὴ δύνασθαι τὰ γεγονότα ἑαυτοῖς παρασχεῖν τὸ εἶναι, ὡς καὶ ὁ προκριτέος καὶ ἐν ἅπασι τέλειος οὐκ ἀπό τινος ἄνωθεν ἔσχε τὴν ἀρχήν. Οὔτε γὰρ ἤρξατο τοῦ εἶναι. Ἦν γὰρ ἀεὶ, καὶ ἀεὶ ἔστι, κἄν τε ἐν ταυτότητι μένοι, καὶ ἑαυτῷ [11] τὸ εἶναι μὴ παράσχοι, οὐ τῶν ὁμωνύμων λέξεων ζητουμένων, ἀλλὰ τῆς κατὰ τὸ ἀκραιφνὲς πρὸς τὸ εὐσεβὲς θεωρίας.

Καὶ ἄλλως· ἐπεὶ ἔφης, Εἰ δὲ αὐτὸς ἑαυτῷ τὸ εἶναι μὴ παρέσχεν,

2. *Ita libri omnes. Petavius coniecit* ἐξελεῖν. *Mihi videtur* ἐξελέγχειν.
3. ἐπὶ *mendum est edit. Petav. Colon. repet.*
4. ἀνοίας *volebat Petavius.*
5. αὐτὸν *cod. Rhedig.*
6. τὸ εἶναι *cod. Ien.* εἶναι τὸ *cod. Rhedig. et editi libri.* — *Pro* Τὸ γὰρ *scribendum fortasse* Τῷ γάρ.
7. ἄρα *cod. Rhedig.*

consuluisse. Cum enim necessariis in rebus ac deo convenientibus dissimilem hunc et inaequalem ei quem genuit constituas, idque magno sane errore, sed falsa quadam pietatis specie confingere videare, in hoc ipso tamen, quod deo indignissimum est, iis quae divinitatem eius minime decent similem praedicas. Inprimis enim in tam altas de deo cogitationes sese committere impietatis, vel furiosae potius mentis ille fructus est. Nam cum haec usurpas, sui ipsius esse caussam, aut ipse sibi ut esset contulisse, utraque illa pessima suspicione temetipsum confixisti; cum id de deo velut palpando ac tentando perquisisti quemadmodum fuerit, utrumnam semper extiterit, ac num sibi ipsi ut esset tribuerit, an casu illud obtinuerit. Equidem non sine metu quodam et horrore meipsum tuum ad illud pessimum argumentum accommodo. Fac itaque modum, si potes, ut et ipsi facere possimus, quibus idoneum illud ac religiosum videtur, deum semper intelligere ac semper illum extitisse credere. In quo quidem stolide locutus ac ratiocinatus, quasi deo honorem maximum haberes, dixisti nec ipsum sibi ut esset contulisse. Verum, si quidem, ut instituis, a dictionibus et syllogismis pendet fidei salus, quae in infimis miserrimisque corporibus simile aliquid eius quod narras inveniri potest, nec creatarum quidem rerum ulla suimetipsius caussa est, aut a seipsa ut esset obtinuit, idque, si a bestiis ad homines, et ab iis ad angelos progredi volueris, verum esse comperies. Nihil enim eorum quae facta sunt sibi ut existeret concessit, sed ab eo solo quod est existendi initium accepit. Quamobrem cave eiusmodi rationibus, quibus argute concludere tete putas, ad id quod maius ac praestantius est praeter naturam te ac violenter extendas. Hoc enim si feceris, omnino viribus defectus excides. Quandoquidem unicus dei filius aequalis est, ac similis deo patri, licet hoc dignitatis habeat, ut ab eo productus sit ac genitus. Nihil enim ob hoc ipsum ab aequalitate patris abhorrebit, uti nec a similitudine. Nam nihil eorum quae facta sunt sibi ut esset contulit, quemadmodum praestantissimus ille, atque omni ex parte perfectus, ab nullo initium olim habuit, eo quod nunquam esse coeperit. Semper enim extitit, existitque semper, tametsi in identitate maneat, neque sibi ut esset tribuerit. In quo non ambiguae voces quaerendae sunt, sed sincera ac pietati consentanea adhibenda consideratio.

II. Praeterea, cum sic ipse disputes, Quod si ipsi sibi ut esset

8. *Verte* Nec contulit quidem ipse sibi ut esset, ex tua sententia, si *cett.*

9. ὄντος *codd. mss. et edit. princ.* ὄντως *edit. Petav.*

10. *Scripsi* τῷ *pro* τοῦ, *quod in libris est omnibus.*

11. *In libris editis mendose exaratum est* τῷ εἶναι.

οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν, μάθε καὶ αὐτὸς ὅτι οὐ διὰ τὸ ἀσθενὲς τοῦ υἱοῦ ἔσται τὸ ὄνομα, ἀλλὰ διὰ τὸ συμπρέπον τῷ γεγεννηκότι ἔχει τῆς ὁμοουσιότητος τὸ ἐξαίρετον. Ἐπειδὴ γὰρ ὡς τῷ πατρὶ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν πρεπωδέστατόν ἐστιν, οὕτω καὶ τῷ μόνῳ ἐκ μόνου πατρὸς σὺν τῷ μόνῳ πνεύματι ἡ αὐτὴ μία θεότης συμπρέπει, μηδὲ αἴτιον ὑποδέχεσθαι δυναμένη, οὐ διὰ τὸ ἀσθενὲς, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πάντα ἀριθμὸν [12] τῶν ἐξ οὐκ ὄντων, μιᾶς οὔσης τῆς θεότητος ἐν ἑνὶ ὀνόματι τριάδος ἀριθμουμένης, καὶ ἐν μίᾳ σφραγῖδι ὀνομάτων πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τοῖς φωτιζομένοις κηρυττομένης, καὶ μηδὲν παρηλλαγμένον ἑαυτῆς ἐχούσης, διὰ τῶν ἐν ἀληθείᾳ λόγων, ἰσότητα ὀνομασίας πληρούντων, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. Ἔφης δὲ πάλιν ὅτι, Πόθεν ἄν τις τὴν ὑποστᾶσαν πρὸς τὴν
pag. 939. ὑποστήσασαν φύσιν τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειεν, οὐ προσιεμένης τῆς τοιαύτης ὑποστάσεως γένεσιν; Καὶ οὔτε νοεῖς, οὔτε νενόηκας, ὡς ἑαυτὸν ἠλλοτρίωσας ἀπογνώσεως θεοῦ τῆς ἀληθείας, οὐ πνεύματι ἁγίῳ τὰ τῆς ἀληθείας διδασκόμενος, ἀλλὰ σοφίᾳ κοσμικῇ τῇ μωρανθείσῃ τὰ ἄνω ἐμβατεύειν πειρώμενος. Ἀκολούθως γὰρ καὶ αὐτὸς ἀκούσεις ὅτι μεματαίωταί σοι. Οἶδε γὰρ ὁ θεὸς τοὺς λογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι. Ὁ γὰρ γεννῶν τὸν ἐνυπόστατον λόγον ἴσον ἑαυτῷ ἐγέννησε, καὶ οὐ παρηλλαγμένον τῆς ἑαυτοῦ θεότητος, οὐ διὰ τὴν τοῦ γεννήματος παραλλαγὴν, ἀλλ᾽ ὅτι ἀπρεπὲς ὅλως ἦν τὸ διανοηθῆναι ἡμᾶς ἀνάξιον [13] ἑαυτὸν καὶ ἄνισον καὶ ὑποβεβηκότα τοῦ γεννήτορος γεγεννηκέναι τὸ γέννημα αὐτὸν τὸν γεγεννηκότα. Διὸ διὰ τοῦ υἱοῦ καὶ ἐνυποστάτου λόγου τὰ πάντα γεγονέναι ἔφη, ἵνα αὐτὸν οὐκ ἀπὸ τῶν γεγονότων ἀριθμήσῃ, ἀλλ᾽ ἐν πατρὶ ὅμοιον καὶ ἴσον ὄντα, διὰ τὸ συμπρέπον τῇ τοῦ πατρὸς ὀνομασίᾳ εἶναι, ἀεὶ ὄντα τὴν οὐσίαν τῷ ὄντι, οὐ ξένον ὄντα, ἀλλὰ γνήσιον, ὡς υἱὸν ὁμοούσιον ἐξ αὐτοῦ γεγεννημένον.

Κεφ. Ἀετίου δ΄. Εἰ ἀτελευτήτως ὁ θεὸς διαμένει ἐν ἀγεννήτῳ φύσει, καὶ ἀτελευτήτως τὸ γέννημα γέννημά ἐστιν, ἡ τοῦ ὁμοουσίου καὶ [1] ἀνομοιουσίου κακοδοξία [2] παραφανισθήσεται, ἵσταται δὲ τὸ ἐν οὐσίᾳ [3] ἀσυγκρίτῃ, ἑκατέρας φύσεως ἀπαύστως διαμενούσης ἐν τῷ ἰδίῳ τῆς φύσεως ἀξιώματι.

Ἀνατρ. Εἰ ἀτελευτήτως καὶ ἀπαύστως ὁ θεὸς διαμένει, ὡς ἔφης, ἐν ἀγεννήτῳ φύσει, φύσις δὲ θεοῦ ἀΐδιος, ἀτελευτήτως ἔχουσα

12. τὸν *mendose exaratum in edit. Petav. Colon. repet.*

13. ἑαυτοῦ *scribendum ex emendat. Cornarii atque Petavii.*

minime tribuerit, non propter ullam naturae imbecillitatem, sed quod sit omni caussa superior, velim et ipse illud intelligas, non ad imbecillitatem ullam filii nomen pertinere, sed eo potius quod cum genitore pariter conveniens sibi consubstantialis decus obtineat. Quoniam sicut patrem inprimis decet caussam omnem excellere, ita unico dei filio, et ab uno patre cum uno spiritu sancto procedenti una eademque divinitas convenit, quae nullam sui caussam admittat, non ob ullam imbecillitatem, sed quod iis omnibus quae ex nihilo facta sunt antecellat. Nimirum una divinitas est, quae sub una trinitatis appellatione numeratur, et in patris, filii ac spiritus sancti nominibus, quibus velut singulari aliquo sigillo firmamur, iis qui baptismo initiantur praedicari solet, ac denique nihil a seipsa diversum continet; cum a veritate profectae illae voces patris, filii et spiritus sancti eius quod significant aequalitatem impleant. Quod vero subiicis, Quis productam naturam ab ea quae produxerit nihil in essentia discriminis habere fatebitur, cum eiusmodi substantia generationem omnem excludat? non illud animadvertis, a divinae veritatis cognitione tua te culpa abalienari, ut qui non a spiritu sancto veritatem sis edoctus, sed mundi huius sapientia, quae *fatua stolidaque reddita est*, subnixus ad coelestia te provehere conaris. 1.Cor.1,20.
Quare consequens est ut et illud audias, frustra te esse: *Novit enim deus sapientum cogitationes, quoniam vanae sunt.* Psalm. 93, 11.
Quocirca qui subsistens verbum genuit, idem aequale sibi genuit, nec a sua divinitate diversum; nec ulla est in genita sobole varietas, cum minime sane deceat ut illum putemus indignum seipso, et inaequalem, et infra conditionem genitoris amandatum suum illum genuisse filium. Quam etiam ob caussam per filium ac subsistens verbum, *omnia esse facta* testatus est, ut ipsummet ab factarum rerum numero secerneret, doceretque in patre similem atque aequalem esse, quod ipsum patris appellationi consentaneum est, semper, inquam, existentem in substantia sua, non peregrinum, sed germanum, utpote consubstantialem filium, et a patre genitum.

Aetii Caput IV. Si perpetuo, ac sine ullo fine deus in ingenita natura persistit, ac si genita soboles sine ullo fine genita est, prava illa de homoousio et homoeousio sententia profligabitur; cum illud interim in utriusque naturae dignitate remaneat ut, quod ad substantiam attinet, comparari inter se nequeant.

Confut. IV. Si perpetuo, ac sine ullo fine deus, ut asseris, in ingenita natura permanet, estque sempiterna dei natura, quae

1. *Repone* ὁμοιουσίου, *id quod sententia flagitat, ex superioribus.*

2. *Supra* παραφθαρήσεται.

3. *Repone* ἀσύγκριτον *ex superioribus.*

τὸ ἀξίωμα, οὐ διά τι ἕτερον, ἀλλὰ διὰ τὸ αὐτόθεος καὶ αὐτοαΐδιον, [4] ἄρα γε καὶ τὸ γέννημα ὁμοούσιον ἔσται, εἰ παρὰ σοὶ τὸ τοῦ ἀτελευτήτου εἴληφεν ὄνομα, ὡς παλιμβόλως τῷ υἱῷ χαρίσασθαι πιθανῶς ἐφυσιολόγησας. Δώσεις γὰρ καὶ ἀναγκαζόμενος ὁμολογῆσαι τὸ τοῦ ἀτελευτήτου ἐν ἅπασιν ἄπλετον καὶ ἀχώρητον ὄνομα. Πῶς οὖν οὐκ ἔσται
pag. 940. [5] ὁμοούσιος; ἐπειδὴ ἔδοξας σκώπτειν διὰ κακοδόξου ὀνόματος τὴν ἀλήθειαν ἐξυβρίσαι πειρασάμενος, ἐξ αὐτῶν ἐλεγχόμενος ὧν ἔφης ῥημάτων. Ἢ γὰρ δώσεις [6] τέλος τῶν ὑπὸ σοῦ παρηλλαγμένων βλασφημουμένων τὴν οὐσίαν, ἢ ἀτελεύτητον αὐτὸν ὁρισάμενος ἐν ἅπασιν ἀμετάστατον καὶ ἀπαράλλακτον τῆς τοῦ ἀτελευτήτου ἀξίας εἰσάγειν ἀναγκασθήσῃ, τῆς ἀληθείας μὴ παραδεχομένης ἔχειν τὸν υἱὸν, ὅτι τῆς βασιλείας αὐτοῦ, φησὶ ἡ γραφὴ, οὐκ ἔσται τέλος, διὰ τὸ σὺν πατρὶ βασιλεύειν ἀεὶ, καὶ σὺν τῷ ἁγίῳ αὐτοῦ πνεύματι. Ἐπειδήπερ [7] πᾶν τὸ ἀρχὴν ἔχον καὶ τέλος ἕξει, εἰ βούλοιτο ὁ εἶναι τῷ τὴν ἀρχὴν εἰληφότι [8] παρεσχημένος· ὅπερ ἐπὶ πᾶσι μὲν ἐνδέχεται, ἐπὶ δὲ τῷ υἱῷ ἀνένδεκτόν ἐστιν. Ἔστι γὰρ ἀεὶ ἐκ τοῦ ὄντος, καὶ παρὰ τῷ ὄντι ἀεὶ, τοῦ εἶναι μηδέποτε λήγων. Διὸ καὶ ὁμοούσιος ἦν, [9] καὶ ἔστι, καὶ ἔσται, μόνος ἐκ μόνου, καὶ ἐν οὐδενὶ τῇ οὐσίᾳ παρηλλαγμένος, ἀλλὰ κατὰ τὸ ἀξίωμα τῶν ὀνομάτων μενούσης τῆς θεότητος ἐν τῇ ταυτότητι, οὔτε [10] συναλιφὴν ἔχουσα, οὔτε ἀρχὴν ἑαυτῇ παρέχουσα τοῦ εἶναι, οὔτε δεχομένη τὸ ἀνόμοιον ἑαυτῇ ὑπάρχειν, ἡ ἀεὶ οὖσα, καὶ μηδέποτε τοῦ εἶναι λήγουσα, συμπρέπουσα δὲ αὐτῇ, ἀεὶ ἐν τῷ ἀξιώματι πατρὸς πρὸς υἱὸν, καὶ υἱοῦ πρὸς πατέρα καὶ ἁγίου πνεύματος σὺν πατρὶ καὶ υἱῷ ὑπάρχουσα καὶ μηδέποτε διαλείπουσα. Ἔστι γὰρ ἑαυτῇ ἀσύγκριτος ἡ τριὰς, διαίρεσιν οὐδεμίαν ἐν τῷ ἀξιώματι ὑποδεχομένη.

Κεφ. Ἀετίου ε΄. Εἰ ἀγέννητός ἐστιν ὁ θεὸς τὴν οὐσίαν, οὐκ οὐσίας διαστάσει τὸ γεννητὸν ἐγεννήθη, ἀλλ' ἐξ οὐσίας ὑποστησάσης αὐτό. Τὴν γὰρ αὐτὴν οὐσίαν καὶ γεννητὴν εἶναι καὶ ἀγέννητον, οὐδεὶς λόγος εὐσεβὴς ἐπιτρέπει.

Ἀνατρ. Πολλάκις ἡμῖν προῆλθες φέρων, ὦ οὗτος, τὸ ἀγέννητον καὶ γεννητὸν, τὸ τοῦ θεοῦ ὄνομα φρυαττόμενος, ὁ ἐν πάσῃ ἀνομίᾳ σεαυτοῦ τὴν διάνοιαν ἐνθάψας. Ἐκεῖνο δὲ παντὶ τῷ ἀπόρως ἔχοντί

4. *Libri vulgo* ἆρα.
5. *Ita libri mss. Editi praebent* ὁμοούσιον.
6. *Fortasse* τέλος τῷ ὑπὸ σοῦ παρηλλαγμένῳ (*vel* ὡς παρηλλαγμένῳ) βλασφημουμένῳ τὴν οὐσίαν. *Petavius* δώσεις ἔχειν τέλος τῶν ὑπὸ σ. π. βλασφημουμένων τ. οὐσίαν *scribendum, sed ne sic quidem constare sibi lectionem censebat. Cornarius convertit* Aut enim dabis

sine ullo fine dignitatem suam obtinet, nullam ob aliam caussam quam quod per sese deus ac per sese sempiternus est, igitur et genita soboles consubstantialis erit, cum indesinentis abs te nomen illi tribuatur; quemadmodum callide ac veteratorie filio gratificans probabiliter de eius natura disputasti. Dabis hoc igitur, vel invitus ut infinitum illud et incomprehensibile nomen indesinentis omnino fateare. An non igitur consubstantialis erit? Quando ita iocari visus es, dum sacrilega appellatione veritati illudere conatus es, ita tamen ut illa ipsa, quibus usus es, te verba redarguant. Aut enim finem habere statues illum quem per summam contumeliam substantia discrepare voluisti, aut, si nunquam desinere sentias, eundem nulla ex parte mutatum, aut diversum ab indesinentis illius dignitate profiteri cogeris. Neque enim veritas patitur uti filius finem unquam habiturus existimetur. *Quoniam regni ipsius*, ait scriptura, *non erit finis;* Luc. 1, 33. eo quod cum patre ac spiritu sancto perpetuo regnat. Etenim quicquid initium habet, finem etiam habebit, si ei libuerit qui ei quod initium habere dicitur ut esset tribuit. Quod quidem cum ceteris in rebus verum sit, dici de filio non potest. Est enim ab eo semper qui est, et apud eundem, nec unquam esse desinit. Quare et consubstantialis erat, et est, eritque perpetuo, solus e solo, nec ulla in re ab illius substantia diversus. Sed pro nominum dignitate divinitas in identitate perseverat, non ulla confusione coalescens, neque sibi ipsi, velut principium quoddam, ut sit tribuens, neque quicquam sui dissimile in seipsam admittens. Quae et est semper, et esse nunquam desinit, sibi ipsi conveniens, in sempiterna dignitate patris ad filium, filii ad patrem, sancti spiritus cum patre, et filio sine ulla interruptione consistens. Neque enim secum ipsa comparari trinitas potest, quae omnem dignitatis divisionem respuit.

Aetii Caput V. Si ingenitus substantia deus est, quod genitum est non distractione quadam substantiae genitum est, sed ab substantia, a qua productum est, manavit. Quippe eandem substantiam genitam simul et ingenitam esse nulla cum pietate coniuncta ratio patitur.

Confut. V. Saepenumero haec ingeniti genitique vocabula nobis obtrusisti, dei nomen insolenter iactitans, cum in omni genere improbitatis consepultam mentem habeas. Et quidem illud indigenti cui-

finem eorum qui a te blasphemia petiti sunt, velut diversam essentiam habeant.

7. ποῦ *pro* πᾶν *extat in utroque libro mss.*

8. παρισχημένος *codd. mss. et ed. princ.*

9. *Verba* καὶ ἔστι *desiderantur in edit. Petav. Colon. repet.*

10. συναλιφὴν *codd. mss. et edit. princ.* (*ubique*) συναλοιφὴν *edit. Petav.*

ἐστι ποθητὸν, ἡ τοῦ ἀπορουμένου εὐπορία εἰς παραμυθίαν, καὶ ἐπὶ
pag. 941. τοῦ στόματος φέρειν, ἐὰν μὴ εὐποροίη τοῦ τοιούτου. Καὶ σὺ, ἐπειδὴ ἄθεος τυγχάνεις, [1] σεμνύνει κἂν διὰ τοῦ ὀνόματος λέγειν τούτου τὸ ὄνομα, ἐπειδὴ φύσει κατὰ τὸν αὐτοῦ φόβον καὶ πίστιν καὶ ἐλπίδα καὶ πρὸς αὐτὸν ἀγάπην οὐδέποτε αὐτὸν ἐκτήσω. Ἦ γὰρ ἂν ἤρκει σοι ἅπαξ τοῦτο λέγειν, καὶ μὴ ὑπερβαίνειν ὅρον τῶν τεταγμένων τῆς [2] ἀκολουθίας. Σαφὴς γὰρ ἡ [3] περὶ σοῦ παρὰ τοῦ σωτῆρος ἡμῖν ἀποφαντικὴ ἀπόδειξις, ὅτι, Ἀπὸ τῶν καρπῶν αὐτῶν γνώσεσθε αὐτοὺς, τῷ εἶναι μέν σε περιβεβλημένον προβάτου κώδιον, ἔσωθεν δὲ εἶναι ἅρπαγα, καὶ λύκῳ παραβεβλημένον. Εἰ γὰρ ἦς ἐξ ἁγίου πνεύματος γεγεννημένος, καὶ προφήταις καὶ ἀποστόλοις μεμαθητευμένος, ἔδει σε διελθόντα ἀπαρχῆς γενέσεως κόσμου ἄχρι τῶν τῆς Αἰσθὴρ χρόνων, ἐν εἴκοσι καὶ ἑπτὰ βίβλοις παλαιᾶς διαθήκης, εἴκοσι δύο ἀριθμουμένοις, τέταρσι δὲ ἁγίοις εὐαγγελίοις, καὶ ἐν τεσσαρεσκαίδεκα ἐπιστολαῖς τοῦ ἁγίου ἀποστόλου Παύλου, καὶ ἐν ταῖς πρὸ τούτων καὶ σὺν ταῖς ἐν τοῖς αὐτῶν χρόνοις Πράξεσι τῶν ἀποστόλων, καθολικαῖς ἐπιστολαῖς Ἰακώβου, καὶ Πέτρου, καὶ Ἰωάννου, καὶ Ἰούδα, καὶ ἐν τῇ τοῦ Ἰωάννου Ἀποκαλύψει, ἔν τε ταῖς Σοφίαις Σολομῶντός τέ φημι, καὶ υἱοῦ Σιρὰχ, καὶ πάσαις ἁπλῶς γραφαῖς θείαις, καὶ ἑαυτοῦ καταγνῶναι, ὅτι ὄνομα, ὅπερ οὐδαμοῦ ἐντέτακται, ἦλθες ἡμῖν φέρων, οὐκ ἀπρεπὲς μὲν θεῷ, ἀλλ' εὐσεβὲς εἰς θεὸν, τὸ τοῦ ἀγεννήτου ὄνομα, μηδαμοῦ δὲ ἐν θείᾳ γραφῇ ῥηθέν. Οὐδεὶς γὰρ μεμηνώς ποτε γεννητὸν ἐνενόει θεόν· ἀλλ' οὔτε χρείαν ἔσχον εἰπεῖν ἀγέννητον θεὸν μόνον πατέρα διὰ τὸν ἐξ αὐτοῦ γεγεννημένον, [4] ἵνα μή τις ἐπὶ τῷ πατρὶ μόνῳ νομίσῃ τοῦτο πληροῦσθαι, ἀλλὰ καὶ ἐπὶ τῷ υἱῷ καὶ ἐπὶ τῷ ἁγίῳ πνεύματι· τῆς διανοίας τῆς ὀρθῆς καὶ τοῦ πνεύματος τοῦ ἁγίου διδάσκοντος πάντας υἱοὺς ἀληθείας ἀφ' ἑαυτῶν μὴ ἐν θαυμασμῷ τοῦτο ἔχειν, ἀλλὰ κατὰ τὸ ἀπαιτούμενον καὶ ἐν ἑαυτῷ ὑπάρχον τοῦ πρὸς εὐσέβειαν λογισμοῦ περὶ θεοῦ εἰδέναι. [5] Δεῖ δὲ διὰ τὸ ἀγέννητον αὐτὸν εἶναι, συνομολογεῖσθαι δὲ ἀφ' ἡμῶν τοῦτο, ἀπὸ γραφῆς δὲ μὴ ἔχειν τῆς ὀνομασίας τοῦ λόγου τὴν σύστασιν, ἀλλ' ἀφ' ἑαυτῶν διὰ τῶν λογισμῶν, τὴν εὐσέβειαν ταύτην εἰδέναι, τὸ οὕτως εἶναι. Εἰς
pag. 942. τί γὰρ οὐσίας ἔσται διάστασις [6] τὸ γεννηθὲν, εἰ κατὰ ἀλήθειαν τοῦ [7] γεγεννῆσθαι ἔχει τὸ ὄνομα φυσικῇ τινι καὶ ἀρρήτῳ συμπρεπούσῃ τῷ θεῷ, καὶ τῷ ἐξ αὐτοῦ γεγεννημένῳ, ἀχρόνως καὶ ἀνάρχως ἐν ἀληθείᾳ, καὶ οὐ καταχρηστικῇ τινι ὑπονοίᾳ; Ἐντεῦθεν οὐ κτιστήν φαμεν

1. σεμνύναι *mendose habet edit. Petav. Colon. repet.*

2. ἀκολουθείας *cod. Rhedig.* ἀκολουθ/ *cod. Ien.*

3. *Libri habent* παρὰ σοῦ παρὰ *cett.*

4. γ''α *cod. Ien.* χα *cod. Rhedig.*

5. Δεῖ δὲ *emendarunt Cornarius (qui interpretatus est* Oportet itaque eo quod ingenitus ipse est, et nos a nobis hoc confitemur, et appellationis huius vocis confirmationem a scriptura non habemus, a nobis ipsis per ratiocinatio-

vis inprimis optabile est ut eius quo indiget copiam ad solatium habeat, aut si minus assequi possit, saltem crebro in sermone illud usurpet. Unde et tu, cum impius ac dei sis expers, quod unum restat, voce tenus proferendo illius nomine tete venditas, quoniam quidem, quod ad eius timorem, fidem, spem, et erga illum caritatem attinet, nunquam illum vere in possessionem habuisti. Alioqui satis esse crederes semel istud eloqui, neque praescriptum ordinem seriemque praetergredi. Manifesta quidem est a salvatore contra te pronuntiata sententia, *A fructibus eorum cognoscetis ipsos;* eo quod Matth. 7, 16.
cum ovis pelle sis obvolutus, intus rapax es, et cum lupo comparatus. Etenim si a spiritu sancto genitus esses, facere te illud oportebat, ut sacris omnibus codicibus pervolutis, a Genesi ad Estheris tempora, qui sunt septem et viginti libri testamenti veteris, et XXII numerantur, tum sacrosanctis IV evangeliis, et S. Pauli XIV epistolis, nec non et apostolorum Actis, quae vel superiora illis tempora, vel posteriora continent, catholicis item epistolis Iacobi, Petri, Ioannis, et Iudae, Apocalypsi Ioannis, Sapientiae quoque libris, hoc est Salomonis, filii Sirach, omnibus denique scripturae libris percursis, temetipsum damnares, quod eiusmodi nomen, de quo nulla sit usquam mentio, nobis afferre non dubitaveris. Est enim ingeniti nomen minime illud quidem indignum deo, ut etiam pietatem redoleat, verum nusquam in scripturis expressum. Neque vero adeo quis unquam insanus extitit, genitum ut esse cogitaret deum, neque ob genitum filium necesse fuit solum patrem ingenitum deum appellare, ne quis in patre solo verum istud esse sibi persuadeat, sed et filio ac spiritui sancto convenire. Recta quippe ratio et spiritus sanctus veritatis filios docent non tantopere illud admirandum esse, sed pro eo atque a nobis exigitur, quodque in nobis piae rationis inest, de divina maiestate sentiendum. Quoniam igitur ingenitus deus est, idque ultro confitemur omnes, tametsi nullo e scripturae loco comprobari hoc appellationis genus potest, sed a nobis ipsis atque ex pia illa ratiocinatione profectum est, ad eum modum scire nos et existimare consentaneum est. Cur enim in eo, quod genitum est, essentiae divortium aliquod erit, si geniti nomen ei merito congruat, ac naturali quadam, sed inexplicabili ac tam deo patri quam ei qui ab illo citra tempus initiumque genitus est convenienti ratione, et quidem vere ac proprie, non sola vocis abusione tribuatur? Unde nos neque creatam

nes hanc pietatem nosse, quod sic se habet) *et Petavius. Libri habent* εἰ δὲ

6. *Fortasse* εἰς τὸ γεννηθὲν.

7. γεγεννῆσθαι *codd. mss.* γεγενῆσθαι *editi libri.*

τὴν οὐσίαν, οὐδὲ ἀλλοτρίαν, ὡς ποιητὴν, ἀλλὰ γεννητὴν οὐσιωδῶς, καὶ οὐκ ἀλλοίαν παρὰ τὸν γεγεννηκότα. Διὸ καὶ ἄκτιστος διαμένει, καὶ οὐ ποιηθεῖσα, ἀλλὰ γεννηθεῖσα ἐκ τῆς αὐτῆς οὐσίας θεοῦ, οὐ χρόνῳ ὑποπίπτουσα. Οὐ γὰρ ὁ γεννήσας ἐν ἀληθείᾳ χρόνῳ ὑπέπεσεν, ἵνα χρονικὴν ὑποστήσεται οὐσίαν. Ὁποῖον γάρ ἐστι τὸ γέννημα, τοιοῦτος ὁ γεννήτωρ, καὶ ὁποῖος ὁ γεννήτωρ, τοιοῦτος καὶ ὁ γεγεννημένος.

Κεφ. Ἀετίου ϛʹ. Εἰ τὸ ἀγέννητον ἐγεννήθη, [1] τί τὸ κωλῦον τὸ γεννητὸν ἀγέννητον γεγονέναι; μᾶλλον γὰρ τοῦ ἀνοικείου ἐπὶ τὸ αὐτῆς οἰκεῖον ἐπείγεται πᾶσα φύσις.

Ἀνατρ. Εἰ τὸ ἀγέννητον ἐποίησε, καὶ οὐκ ἐγέννησεν, ἐπὶ τῆς μιᾶς ταυτότητος ταττομένης τῆς ὀνομασίας, καὶ θατέρου θατέρῳ μὴ παρεκτεινομένου διὰ τῆς κατὰ ἀλήθειαν ἀντωνυμίας, ἡ δύναμις τῆς σχέσεως ἐπὶ θατέρου διαφωνίᾳ ἕστηκεν, μηδὲν πρὸς τὸ ἕτερον ἐπικοινωνοῦσα, ἢ μόνον κατὰ τὴν ἐξουσίαν [2] καὶ τοῦ προκριτέου φύσεως αἰτίου πρὸς πᾶν τὸ ὑπ' αὐτῆς κεκτισμένον. Ἐπειδὴ δὲ ἀναμέσον τοῦ ποιητικοῦ καὶ ποιουμένου, καὶ κτιστοῦ καὶ κτιζομένου, ἄλλη τίς ἐστιν ὀνομασία, ἐγγίζουσα μὲν τῷ ἀγεννήτῳ ὀνόματι, μακρυνομένη δὲ ἀπὸ τοῦ κτιστοῦ ὀνόματος, ἀδύνατόν ἐστιν πάντα συγχέειν, ὦ Ἀέτιε, καὶ ἀφανίζειν ἀπὸ σαυτοῦ τῆς τελείας κατὰ ἀληθινὴν σχέσιν υἱοῦ πρὸς πατέρα ἀεὶ ὄντος καὶ ἀκτίστου ὀνομασίας ἐπικοινωνίαν, ἀδύνατόν ἐστι τὴν ἀγέννητον καὶ ἄκτιστον [3] κτίσιν κτιστήν ποτε γενέσθαι, καὶ ἀπὸ τοῦ [4] κεκτίσθαι πάλιν μεταμεληθεῖσαν ἀναδραμεῖν ἐπὶ τὴν αὐτῆς ἀγεννησίαν, κἂν τε μυρία ἡμῖν πλέκῃς Ἀριστοτελικὰ ζητήματα, καταλείψας τὴν ἄνωθεν ἁπλῆν καὶ ἁγνὴν καὶ πνεύματος ἁγίου διδασκαλίαν.

pag. 943. Κεφ. Ἀετίου ζʹ. Εἰ μὴ [1] ὅλος ὁ θεὸς ἀγέννητός ἐστιν, οὐδὲν κωλύει γεγεννηκέναι οὐσιωδῶς· εἰ δὲ [2] ὅλος ἐστὶν ἀγέννητος, οὐκ οὐσιωδῶς εἰς γένεσιν διέστη, ἐξουσίᾳ δὲ ὑπέστησε γέννημα.

Ἀνατρ. Καὶ ὅλος θεὸς ἀγέννητος καὶ ἄκτιστος, καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος ἄκτιστος, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα παρὰ σοῦ σμικρυνόμενον, σαρκικὲ Ἀέτιε, καὶ ψυχικὲ πνευματικῶς ἀνακρινόμενε, μονοειδῶς ἔχον τὸ ἐξ αὐτοῦ ἐξαίρετον, μὴ ἀπεικαζόμενον τοῖς πολλοῖς ἐκ τοῦ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἀπ' αὐτοῦ κεκτισμένοις. Διὸ οὔτε κοινωνήσει τοῖς πᾶσιν, οὔτε τις αὐτοῦ τῷ ἀξιώματι ἐπικοινωνήσειεν. Πάντα

1. τί κωλύει *supra.*

2. *Cornarii interpretatio voc.* καὶ *non agnoscit. Et sane, nisi post eam aliquod vocabulum excidisse, aut* ἕνεκα *loco eius restituendum putaveris, iure delendam esse statueris.*

3. φύσιν *emendat Petavius, praeeunte Cornario, qui naturam vertit. Recte.*

4. κεκτῆσθαι *codd. mss. et ed. princ.*

1. ὅλος, *ut legebatur etiam supra, scriptura est codd. mss.* ὅλως *habent editi.*

substantiam, nec alienam, tanquam facta sit, sed secundum substantiam genitam, nec a genitore putamus alienam. Ob id increata manet, non facta, sed ex ipsa dei substantia genita, neque tempori subiecta. Quippe genitor ipse tempori nequaquam subest, ut temporariam substantiam producat. Nam cuiusmodi est quod gignitur, talis est et genitor, et vicissim qualis genitor est, tale etiam est quod gignitur.

Aetii Caput VI. Si ingenitum genitum est, quid vetat et quod genitum est ingenitum fieri? Omnis enim natura ad id quod sibi consentaneum est magis quam ad alienum peregrinumque contendit.

Confut. VI. Si quod ingenitum est fecisse, non genuisse dicatur, ita ut utraque haec appellatio pro una et eadem accipiatur, neque alterum alteri velut ex adverso respondens contrario revera vocabulo sit oppositum, vis habitudinis ipsius in altero disiuncta penitus est, neque quicquam habet cum altero commune, praeter potestatis comparationem, quod tanquam caussa id omne quod a se creatum est naturae dignitate superet. Iam vero cum inter id, quod efficiendi vi praeditum est, atque opus effectum et creatorem creatamque rem alia quaedam interiecta sit appellatio, quae ut ad ingeniti nomen accedit, sic a conditoris nomine remotior est, fieri non potest, Aëti, uti confundamus omnia, atque ex ingenio tuo perfectae appellationis communionem tollamus e medio, quae habitudini illi convenit, qua cum patre sempiternus filius, increatusque comparatur. Fieri item non potest ut ingenita increataque natura creata sit aliquando, ab eaque creatae rei conditione, velut poenitendo, ad priorem illum ingeniti statum postliminio revertatur, quantumvis Aristotelicis tuis iisce infinitis quaestionibus implicare nos studeas, coelesti ac simplici castaque spiritus sancti doctrina derelicta.

Aetii Caput VII. Si deus omnino sit ingenitus, nihil ipsum prohibet secundum naturam substantiamque genuisse: sin penitus est ingenitus, non est secundum substantiam ad generationem distractus, sed quod genuit, potestate ac facultate produxit.

Confut. VII. Et totus ingenitus est increatusque deus, et qui ab ipso genitus est increatus, ut et sanctus illius spiritus, cuius tantopere existimationem elevas, o carnalis et animalis Aëti, *spiritaliterque diiudicate!* (1.Cor. 2, 14.) Habet hoc porro, ut ab ipso procedat, singulari quadam et eximia ratione, quae cum ceteris omnibus quae *ex ipso,* (Col. 1, 16.) *per ipsum, et ab ipso creata* sunt, comparari nequit. Quocirca neque cum iis rebus commune est ei quicquam, nec istae communem cum illo dignitatem vindicare sibi possunt. Etenim praetervolant ac ce-

2. ὅλος, *uti supra extat, codd. mss. (cod. Ien. cum rasura).* ὅλως *editi.*

γὰρ παρίπταται, καὶ ὑποχωρεῖ, καὶ καταλιμπάνει πᾶσαν αἰτίαν συλλογιστικὴν τῷ ἀπὸ τῆς θείας γραφῆς διδασκαλικῷ λόγῳ, τῷ, Οὐδεὶς οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν ἀποκαλύψῃ. Ἀποκαλύπτει δὲ δι' ἁγίου πνεύματος οὐ τοῖς αὐτὸν συλλογιζομένοις, ἀλλὰ τοῖς εἰς αὐτὸν γνησίως καὶ τελείως πεπιστευκόσι. Καὶ γὰρ οὔτε τὰ κρίματα αὐτοῦ ἐρευνῆσαι δυνηθείης, οὐδὲ τὰς ὁδοὺς αὐτοῦ ἐξιχνιάσεις, κατὰ τὸ γεγραμμένον, κἄν τε μυρία ἡμῖν ἔλθῃς φλυαρῶν, ἐλεεινὸν κατ' ἐμὲ ἀνθρωπάριον.

Κεφ. Ἀετίου η'. Εἰ ὅλος ἐστὶ γεννητικὸς ὁ ἀγέννητος θεὸς, οὐκ οὐσιωδῶς τὸ γεννηθὲν ἐγεννήθη, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾶν, [1] οὐ τὸ γεννᾶσθαι. Εἰ δὲ μετασχηματισθεῖσα ἡ οὐσία τοῦ θεοῦ γέννημα λέγεται, οὐκ ἀμετάβλητος ἡ οὐσία αὐτοῦ, τῆς μεταβολῆς [2] ἐργαζομένης τὴν υἱοῦ ἰδιοποίησιν. Εἰ δὲ εἴη καὶ ἀμετάβλητος, καὶ γενέσεως κρείττων ἡ οὐσία τοῦ θεοῦ, τὸ κατὰ τὸν υἱὸν ἕως ψιλῆς προσηγορίας ὁμολογηθήσεται.

pag. 914. Ἀνατρ. Ἔδει μὲν οὖν οὐ μόνον σὲ, Ἀέτιε, ἀλλὰ καὶ πάντα αἱρετικὸν μετὰ μίαν νουθεσίαν παραιτεῖσθαι, ὡς ὁ ἅγιος καὶ σοφὸς κελεύει λόγος. Αὐτοκατάκριτος γὰρ τυγχάνεις, ἑαυτῷ τὸν ὄλεθρον ἐπισπώμενος καὶ οὐχὶ ὑφ' ἑτέρου ἀναγκαζόμενος. Τίς οὖν ἐλεήσει τὸν ἑαυτῷ πονηρὸν, καὶ οὐδενὶ [3] ἀγαθὸν τυγχάνοντα; Ἀλλ' ἵνα μὴ ἐφ' οἷς ἐβλάστησας τῷ κόσμῳ κακοῖς ἐν σεαυτῷ ἔχων ὑπολαμβάνοις ὡς περὶ μεγάλων καὶ ἀντιθέτων, ἐπιμενοῦμεν καὶ αὐτοὶ μετὰ μακροθυμίας τῇ διστόμῳ μαχαίρᾳ, τοῦ Χριστοῦ λόγῳ, ἐκτέμνοντές σου τὰς ἀκανθώδεις ῥίζας, ἐν τῇ ὑγιαινούσῃ πρὸς θεὸν τελείᾳ καὶ ἀληθινῇ ὁμολογίᾳ. Δόξα γὰρ τῷ ἐλεήμονι τῷ φωράσαντί σε ὁποῖος εἶ, τὴν τοῦ Ἰούδα ἐπέχων τάξιν, τοῦ σὺν τοῖς μαθηταῖς μὲν ἀριθμηθέντος, ἀφορισθέντος δὲ, οὐ Χριστοῦ ἔχοντος τὸν νοῦν, ἀλλ' ἐκ τοῦ Σατανᾶ ὑποδεξαμένου τὴν πρὸς τὸν δεσπότην αὐτοῦ ἐπαρνησιθεῖαν. Ψιλῇ γὰρ λέξει ὡμολόγησας τὸν υἱὸν τοῦ θεοῦ ἔχειν ἐν τῇ διανοίᾳ. Καὶ τίς ἐστι χρεία περὶ τῆς πρὸς σὲ λαλιᾶς, ὁπότε παντάπασιν ἀλλότριος Χριστιανῶν ὑπάρχεις, προφητῶν τε καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν, μαρτύρων τε καὶ πάντων τῶν ἁγίων, τῶν ἐλέγξαι σε εἰς ἡμέραν κρίσεως ἑτοίμως ἐχόντων, ὅτι ἄχρι θανάτου στρεβλούμενοι ὑπέμειναν, μαστιζόμενοι, ξεόμενοι, θηρσὶ καὶ πυρὶ παραβληθέντες, καὶ φόνῳ μαχαίρας, ἵνα υἱὸν θεοῦ ὄντα, καὶ ἐξ αὐτοῦ ἀληθινῶς γεγεννημένον, μὴ ἀρνήσονται. Γεννητικὸς γὰρ ὁ πατὴρ μόνου μονογενοῦς, καὶ οὐχ ἑτέρου τινὸς ἔτι μετὰ τὸν ἕνα, καὶ ἀνομβρητικὸς πνεύματος ἁγίου, καὶ οὐχ ἑτέρου πνεύματος, κτιστὴς δὲ καὶ ποιητὴς τῶν ὑπ' αὐτοῦ γενο-

1. Supra ἀλλ' οὐ. 2. ἐργασαμένης supra.

dunt omnia, et ratiocinationibus argumentisque relictis sacrarum se literarum auctoritati sententiaeque submittunt, quae istud ipsum pronuntiat: *Nemo novit filium nisi pater: neque patrem nisi filius, et cui revelaverit.* Revelat autem per spiritum sanctum non iis qui syllogismis se suis et argutiis comprehendere nituntur, sed iis duntaxat qui in se sincere perfecteque crediderint. Nam neque *iudicia illius perscrutari* poteris, neque *vias investigare*, sicut scriptum est, tametsi infinitas nugas effutias, o miserrime, ac mei similis homuncio!

Matth. 11, 27.

Rom. 11, 33.

Aetii Caput VIII. Si ingenitus deus generandi vi totus est praeditus, quod genitum est, secundum naturam non est genitum, cum tota ipsa natura insitum illud habeat ut gignat, non ut gignatur. Quod si commutata dei essentia genitum quiddam vocetur, non erit immutabilis, cum ei ipsa mutatio filii proprietatem efficiat. Sin et mutationis est expers, et omni generatione dei natura praestantior, quod de filio asseritur, sola appellatione constabit.

Confut. VIII. Non te solum, Aëti, sed et *haereticum omnem post primam correptionem* devitare oportuit, ex sancta illa sapientique Pauli sententia. Abs te enim ipso damnatus tibimet exitium, nullo alio cogente, consciscis. Ecquis igitur illius miserebitur, qui *sibi ipsi malus, nemini alteri bonus est?* Sed ne pessima illa dogmata, quae in mundo te auctore pullularunt, magnificum quiddam et eiusmodi esse censeas ut veritati contradicere possint, in hoc ipsum patienti incumbemus animo ut *ancipiti gladio, hoc est Christi verbo*, spinosas tuas radices excidamus, ac salubrem perfectam ac sinceram fidei confessionem opponamus. Magnas itaque misericordi deo gratias agere debemus, qui cuiusmodi sis indicare nobis voluit, tu, inquam, qui Iudae locum vicemque sustines, qui cum inter discipulos censeretur, ab eorum numero segregatus est, quod Christi mente nequaquam praeditus e Satanae afflatu nefariam illam eiurandi dei voluntatem expressit. Ita et tu verbis tenus filium dei habere te in animo profiteris. Quid autem pluribus tecum colloqui necesse est, cum sis ab omni coetu Christianorum alienus, prophetis nimirum, apostolis, evangelistis, martyribus, ceteris denique sanctis? Qui te extremo illo iudicii die palam redarguent, quod ad mortem usque quaestiones, flagella, lanienas, bestias, ignes, postremo gladium sustinuerint, ut ne dei filium, et ab ipso revera procedentem abnegarent. Pater enim unum duntaxat filium, non alterum ab eo potest gignere, idem et spiritum sanctum, non alterum ab eo spiritum suapte vi, atque ex sese produxit. At eorum quae ab ipso

Eccl. 11, 5.

Eccl. 14, 5.

Hebr. 4, 12.

3. ἀγαθῷ *cod. Rhedig.*

μένων καὶ ἀεὶ γιγνομένων. Διὸ οὐκέτι πολλῶν υἱῶν γενωμένων, οὔτε πολλῶν πνευμάτων ἐξ αὐτοῦ ἐκπορευομένων, τῆς αὐτῆς θεότητος ἀεὶ ἐν τῇ τριάδι μενούσης, καὶ δοξαζομένης, καὶ μηδέποτε προςτιθεμένης, μήτε ληγούσης, μήτε ὑπολειφθείσης ποτὲ ὡς μὴ οὔσης. Διὸ καὶ οὐχ ἕως ψιλῆς ὀνομασίας ἐπὶ τῷ γεννήματι ἵσταται τὸ ἀξίωμα· ἐπεὶ ἂν πολλοὺς ἀδελφοὺς μετ' αὐτὸν ἔσχεν ὁμοίους αὐτῷ, ὡς ἐπὶ τῷ εἰρημένῳ, Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, καὶ ἐπὶ τῷ, Ὁ τετοκὼς βώλους δρόσου, καὶ ἐπὶ τῷ, Ἀφ' οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ
pag. 945. γῆς ὀνομάζεται, καὶ ἐπὶ τῷ, Οὐχ εἷς πατὴρ πάντων ὑμῶν; καὶ ἐπὶ τῷ, Παῖς μου Ἰακὼβ, καὶ ἐπὶ τῷ, Πρωτότοκός μου Ἰσραήλ. Οὗτοι γὰρ πάντες ψιλῇ λέξει τὸ τῆς ἀναγωγῆς ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι προκεκοφότες, οὐ κατ' οὐσίαν τῇ ἀληθινῇ ἵστανται ὀνομασίᾳ, ἀλλὰ ψιλῶς, καὶ [4] κατὰ χάριν. Διὸ διὰ τοῦ ἑνὸς, τοῦ οὔτε κατὰ χάριν, οὔτε ψιλῇ ὀνομασίᾳ ὀνομαζομένου, ἀλλὰ κατὰ ἀλήθειαν ἐκτίσθησαν ἀπὸ τοῦ ἑνὸς διὰ τοῦ ἑνὸς, σὺν τῷ ἐξ αὐτοῦ ἐκπορευομένῳ, [5] καὶ τοῦ αὐτοῦ λαμβάνοντι.

Κεφ. Ἀετίου θ'. Εἰ σπερματικῶς ἦν ἐν τῷ ἀγεννήτῳ θεῷ τὸ γέννημα, μετὰ τὴν γέννησιν ἔξωθεν προςλαβὸν, ὡς ἂν εἴποι τις, ἠνδρώθη. Τέλειος οὖν ἐστιν ὁ υἱὸς οὐκ ἐξ ὧν ἐγεννήθη, ἀλλ' ἐξ ὧν προςέλαβε. Τὰ γὰρ συγγενικῶς προςλαμβάνοντα, ὡς ἐξ ἐκείνων συνεστῶτα, τὸ [1] τελείου ὄνομα διαφόρως [2] προςίεσθαι πέφυκεν.

Ἀνατρ. Εἰ μὴ ὡμολογεῖτο ἀσώματος ὢν ὁ γεννήτωρ, πάντα παρὰ σοὶ δραματουργείσθω. Δραματουργήσας δὲ οὐκ ἄλλον τινὰ πτύρεις, σεαυτοῦ δὲ τὸν νοῦν θολοῖς ἀπὸ τῆς ἀληθινῆς ὁμολογίας. Ἐξ αὐτοῦ γὰρ θεὸς τέλειος ὢν τέλειον υἱὸν ἐγέννησεν, οὐχ ἕτερον παρὰ τὴν φύσιν. Οὐ γὰρ ἀπρεπής ἐστι πρὸς τὸν γεννήτορα, οὔτε ἔξωθεν ἐπιδεόμενος προςλήψεως. Οὐ γάρ τί ἐστι μεῖζον μετὰ τὴν τοῦ θεοῦ οὐσίαν, ὅπως τῷ ἐνδεομένῳ μεταδοῦναι τῆς προςλήψεως πρὸς τελειότητα δυνηθείη. Ὁ γὰρ ὢν ἀεὶ ἀσώματος τὸν ὄντα ἀσώματον παρ' αὐτῷ τῷ ὄντι ἀεὶ γεννητικῶς τέλειον ὁ τέλειος ἀεὶ ὄντως γεγέννηκε, πνεῦμα ὢν θεὸς, καὶ πνεῦμα ὄντα τὸν ἐνυπόστατον λόγον γεγεννηκώς. Τὸ ὅλον γὰρ ἠλίθιον εἴη παρὰ σοὶ [3] τῷ Ἀετίῳ, τῷ ἐμβατεύοντι, καὶ τὰς κατὰ θεὸν δόξας ἐρευνῶντι ἐκ συλλογισμῶν καί σου φιλολογιστικῆς

4. *Verba* κατὰ χάριν. Διὸ διὰ τοῦ ἑνὸς, τοῦ οὔτε, *omissa in editis*, *restitui ex codd. mss. Agnoscit etiam Latina Cornarii versio:* — sed nude et secundum gratiam. Quapropter per unum qui neque secundum gratiam, neque nude appellatione nominatur, sed secundum veritatem creati sunt ab uno per unum, cum eo qui ex ipso procedit, et de ipso accipit.

facta sunt, et perpetuo fiunt, creator est ac conditor. Quocirca neque plures adhuc generantur filii, neque plures ab eo procedunt spiritus. Sed divinitas ipsa in trinitate manet, ac praedicatur, nec ad eam ulla fit accessio, neque desinit unquam, neque quasi nusquam sit destituitur. Unde non in appellatione sola eius quod genitum est dignitas consistit. Alioqui quamplurimos post se fratres, ac sui similes haberet, ut ex illo loco constat: *Filios genui,* Esai. 1, 2. Iob. 38, 28.
et exaltavi; item: *Qui genuit stillas roris;* tum illud: *Ex quo omnis* Eph. 3, 15.
paternitas in coelo, et in terra nominatur; deinde: *Nonne unus pater* Matth. 23, 9.
est omnium vestrum? item: *Filius meus Iacob;* et: *Primogenitus* Exod. 4, 22.
meus Israël. Nam isti omnes accommodata per tropum filii voce, cum nondum essent, eo, ut essent, progressi sunt. Ideoque nequaquam vera ac solida secundum naturam appellatione censentur, sed minus proprie, ac gratiae beneficiique loco id illis tribuitur. Ita tamen ut praeter appellationem ipsam insit aliquid; propterea quod ab uno et per unum revera procreata sunt, nec non et a spiritu sancto, qui ab ipso procedit, et ex ipso accipit.

Aetii Caput IX. Si in ingenito deo genitus filius velut quodam semine continebatur, idem ubi genitus est, extrinsecus accessione facta ad virilem, ut ita dixerim, aetatem adolevit. Itaque perfectus est filius non ex ipsa generatione, sed ex eo quod illi postmodum accrevit. Nam quae cognatas res ad sui incrementum asciscunt, tanquam ex illis constantia, diverso modo perfecti nomen admittunt.

Confut. IX. I. Nisi corporis expertem genitorem confiteamur, quantascumque voles tragoedias excitato. Quibus neminem tu quidem perterres, sed mentem tuam a verae fidei professione perturbatione illa deiicis. Igitur perfectus e seipso deus perfectum genuit filium, non alium praeter naturam. Neque enim genitore est indignus, nec externam ullam accessionem desiderat. Nihil quippe secundum dei substantiam maius ac praestantius esse potest, quod istud ipsum, quod ad perfectionem accedere dicitur, cum indigente communicet. Nam qui perpetuo expers corporis existit, peraeque existentem apud ipsum, perfectumque perfectus genitali quadam vi semper ac vere produxit, deus, inquam, spiritus spiritum genuit, verbum dei subsistens. Est vero cumprimis, Aëti, tuum illud commentum ridiculum, qui coelestia perscrutari, ac quid de divinis rebus existimandum sit, syllogismis et argutis ratiocinationibus investigare stu-

5. καὶ *omissum est in edit. Petav. Colon. repet.*

1. *Supra extat* τοῦ τελείου.

2. *Reposui* προςίεσθαι *pro* προΐεσθαι *quod vulgo extat, de superioribus.*

3. *Fortasse scribendum* τῷ ἐν ἀερίῳ ἐμβατεύοντι.

ἐννοίας, ὅτι τῷ ποιήσαντι τὰ πάντα ἐξ οὐκ ὄντων, καὶ δυνηθέντι τελείως τὰ πάντα ὑπὸ ἓν ἐργάσασθαι, μηδὲν χρείαν ἔχοντι προςληπτικῆς ἐπιδόσεως, δεσμῷ δὲ ταῦτα πεδήσαντι, ἀδρυντικὴν οὐσίαν προςληπτικῆς [4] θεότητος ἐπιδεόμενον ἐπιφημίζεις λόγον, καὶ οὔτε ἐξισοῖς
pag. 946. τοῖς ὑπ' αὐτοῦ κεκτισμένοις. Ἀπαρχῆς γὰρ τελείως αὐτὰ ποιήσας, προςλήψεως ἐπιδεόμενα τὰ ἐξ αὐτῶν ἔτι βλαστάνοντα ὥρισε νόμῳ σοφίας, ἅτινά ἐστι ταῦτα ἐν οἷς ἐστι τὰ καθεξῆς γενόμενά τε καὶ γινόμενα, ὡς οἷον εἰπεῖν, οὐρανὸν, γῆν, ὕδωρ, ἀέρα, ἥλιον, σελήνην, ἄστρα, καὶ τὰ ἐκ τῶν ὑδάτων γεγεννημένα, ἕως καὶ αὐτοῦ τοῦ ἀνθρώπου. Οὐκ οὐρανὸν ἀτελῆ ἐποίησεν, οὐ γῆν [5] ἀτελεστάτην, ἀλλὰ τελείαν μὲν τὴν γῆν, τέλειον δὲ τὸν οὐρανὸν, ἀόρατον δὲ καὶ ἀκατασκεύαστον τότε δι' ἣν ἔμελλε ποιεῖν διακόσμησιν. Ὕδωρ δὲ ἅμα καὶ φῶς τὸ πρωτόκτιστον, διὰ τοῦ ἀληθινοῦ φωτὸς τὰ πάντα ποιήσας, τοῦ ἀκτίστου καὶ ζωοποιοῦ, ἔπειτα δὲ τὰ ἐκ τῆς γῆς φυέντα· καὶ πρὸ τούτου τὸ στερέωμα. Οὐχ ἡμιτελές τι ἐγίνετο, ἀλλὰ πάντα ἐν τελειότητι. Ἐξαγαγέτω γὰρ ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς, καὶ ξύλον κάρπιμον, οὗ τὸ σπέρμα [6] αὐτῶν ἐν αὐτῷ καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς. Καὶ ὁρᾷς ὡς οὐδεμιᾶς [7] εὐθὺς τὰ [8] γεγονότα ἐπεδέετο προςληπτικῆς ἐπιδόσεως, ἀλλ' ἀνδρεῖα, ὡς εἰπεῖν, καὶ τελεία διὰ τοῦ προστάγματος εὐθὺς [9] εὑρίσκεται, τῷ δὲ ἀνθρώπῳ ἐπιδοθέντα, ὑπ' αὐτὸν ὄντα καὶ ἐν αὐτῷ σπερματικῶς εἰς δεσποτείαν, οὐ τέλεια παρεδόθη, διὰ τὸ εἰδέναι τὸν ἄνθρωπον πάντοτε τὸν εὐεργετοῦντα καὶ τὸ εἶναι πᾶσι παρέχοντα, ἐπὶ πάντων δὲ ὄντα, καὶ τὰς ἐπιδόσεις ἑκάστης ποιήσεως πρὸς σύστασιν τῶν αὐτῷ [10] χρησιμευόντων παρέχοντα.

Παρέδωκεν αὐτῷ σπερματικῶς τὴν γῆν ὑποβάθραν, ὡς εἰπεῖν, προστησάμενος, καὶ ὡς μήτραν αὐτῷ παραδεδωκὼς, ἵνα ἀπὸ τῆς προβολῆς τῶν κατὰ τὸ τέλειον ὑπὸ θεοῦ γεγονότων τὰ σπερματικῶς δι' ἑαυτοῦ μετὰ συνέσεως ἐπὶ γῆν καταβαλλόμενα, ὡς οἷόν τε [11] ξύλων, καὶ ἄλλων γεννημάτων, αὐτὸς μὲν λεπτομερῶς, ὡς ψηφῖδα παρὰ τῶν τελείων ἐρανισάμενος, ταύτην εἰς γῆν ἐνθεματίζων τὰ τῆς ἐπιδόσεως τοῦ τελείου θεοῦ πρὸς αὔξησιν προσδέχηται, ἵνα αὐξηθείη ἔξωθεν τὰ ὑπ' αὐτοῦ ἐνσπερματιζόμενα· ἵνα μὴ ἀγνοήσας τὸν ἐπιχωρηγὸν τῆς ἐπι-

4. *Pro* θεότητος *in cod. Rhedig. primitus erat* οὐσίας *scriptum, quod postea eadem manus delevit, nullo alio vocabulo eius loco reposito. Idem cod. habet* ἀνδρυντικὴν *pro* ἀδρυντικὴν.

5. ἀτελῆ ταύτην *corrigendum esse suspicor.*

6. *Corrige* αὐτοῦ. *Recte cuius semen* ipsius in ipso *convertit Cornarius.*

7. εὐθὺς (*cod. len.* ΔΘ^ν) *codd. mss.* εὐθὺ *editi libri.*

8. γενόμενα *cod. Rhedig.*

des, cum ei qui e nihilo condidit universa, et ad unum perfecte eadem elaborare illa potest, quique nullius incrementi et accessionis eget, et illa legibus suis ac decretis adstrinxit, verbum affingis istiusmodi, quod augmentum divinitatis admittat, neque saltem cum creatis ab ipso rebus adaequari pateris. Quas cum perfectas initio absolutasque molitus est, tum quae ex ipsis pullulant accessione opus habere sapientiae suae decreto constituit; cuiusmodi sunt quae deinceps nata sunt, nascunturque quotidie, veluti coelum, terra, aqua, aër, sol, lunae, sidera, et quae ex aquis oriuntur, ad ipsum hominem usque. Igitur neque coelum imperfectum, neque terram mancam defectamque condidit, sed perfectam hanc, perinde atque coelum; tametsi minime aspectabilem ipsam inconditamque fabricarit, propter expolitionem et ornatum illum quem postmodum erat effecturus: sed et aquam ac lumen illud ante omnia procreatum edidit, ac per verum, increatum ac vitale lumen universa produxit; tum demum cetera, quae e terra propagantur, adiecit. Ante omnia vero firmamentum ipsum creavit. Horum omnium porro nihil imperfectum, sed absoluta omnia constituta sunt. *Producat,* in- Gen. 1, 11.
quit, *terra herbam virentem seminans semen ad similitudinem in terra, et lignum fructiferum, cuius semen in ipso sit ad similitudinem in terra.* Animadvertisne quam nullam subinde quae producta sunt accessionem incrementumque desideraverint, sed virili, ut ita dicam, robore praedita, et adulta statim dei mandato prodierint? Quaecumque vero homini subiecta sunt, aut insunt in eo, solo adhuc semine contenta, necdum perfecta illius dominatui commissa sunt; ut is bene de se meritum ignorare non posset qui et rebus omnibus ut sint impertitur, et omnibus superior est, ac singula opera sua pro illius opportunitatibus commodisque dilargitur.

II. Quamobrem occulta rerum semina continentem ei terram tradidit, eamque fundamenti ac basis, ut ita dicam, vice substravit, ac velut matricem obtulit, ut quae ab iis rebus propagata sunt quas deus perfectas produxit, cum velut semina quaedam proprio labore et industria in terram deposuerit, cuiusmodi sunt arborum ac ceterorum id genus semina, cum haec, inquam, singillatim velut calculum a perfectis illis operibus mutuatus in terram demiserit, a perfecto deo incrementum accipiant, paulatimque quae ille conseverit adolescant; ne si illum ipsum, cuius ista beneficio succrescunt,

9. εὑρίσκεται *codd. mss. uterque.* εὑρίσκεσθαι *editi.*
10. χρυσιμευόντων *vitiose exhibent tam scripti quam editi.*
11. ξύλον *mendum typographi legitur in ed. Petav. Colon. repet.*

δόσεως [12] αὐτὸν νομίσῃ δημιουργὸν, καὶ ἐκπέσῃ τῆς ἀληθείας. Εἰ γὰρ καὶ ἐφύτευσε Νῶε ἄμπελον, οὐ γέγραπται ὅτι ἦν φυτουργὸς, ἀλλ'
pag. 947. ἐγένετο ἀνὴρ γεωργός. Ἕτερος γάρ ἐστιν ὁ τὰ αὐθεντικὰ παρέχων τοῖς ἐσομένοις, ἕτερος δέ ἐστιν ὁ τὸ εἶναι παρ' αὐτοῦ εἰληφὼς ἄνθρωπος καὶ τὴν ἐκείνου γεωργίαν πεπιστευμένος, ἵνα ὁ μὲν γεωργῇ τὰ ἐπιδόσεως εἰς τελείωσιν ἐπιδεόμενα, ὁ δὲ τὴν τελειότητα παρέχοι διὰ τῆς αὐτοῦ ἐπιδόσεως τῶν ὑπ' αὐτοῦ ἐκτισμένων καὶ [13] ἐπιδόσεως εἰς τελειότητα αὐξανομένων. Οὕτω καὶ ἐπὶ τῶν ζώων καὶ ἐπὶ τῶν πετεινῶν· οὕτω καὶ ἐπὶ τῶν κτηνῶν καὶ ἑρπετῶν καὶ ἐναλίων. Πάντα ἐν ἀρχῇ τέλεια γέγονε διὰ τοῦ προστάξαντος. Βουλήσει δὲ σοφίας νῦν ἐπιδόσεως δεῖται, διὰ τὴν τοῦ ἐπὶ γῆς δεσπόζοντος ἀνθρώπου κατ' ἔννοιαν ὠφέλειαν, εἰς τὸ ἐπιγινώσκειν τὸν ἐπάνω πάντων θεὸν, τὸν χορηγὸν τῶν σπερματικῶν καὶ τῆς ἐπιδόσεως τῶν αὐξήσεων ὄντα θεὸν καὶ κύριον. Διόπερ τὰ μὲν κατ' οὐρανὸν καὶ οὐ διὰ χειρῶν ἀνθρώπου σπειρόμενα ὄντα, καὶ οὐ γεννῶντα οὐδὲ γεννώμενα, εἴασεν ὁ θεὸς ἐν τελειότητι. Οὐ γὰρ ἐνέσκηπτον τῇ διανοίᾳ τοῦ ἀνθρώπου εἰς ἐπιβουλὴν καὶ τῦφον κενοδοξίας, ὡς οἷον ἐπὶ ἡλίου εἰπεῖν, καὶ σελήνης, καὶ ἄστρων. Οὔτε γὰρ διὰ τὸ γεννᾶσθαι τὴν σελήνην, ἢ φθίνειν, ἢ αὔξειν, ἀλλοιοῦται τὸν τρόπον, [14] ἀλλὰ διὰ τὸ καιρῶν εἶναι σύστασιν καὶ ἐπιχορηγίαν ὧν θεὸς τοῖς φωστῆρσι διετάξατο. Πῶς οὖν τὰ σωματικὰ θεὸς, καὶ τὰ φθίνοντα καὶ τὰ φθινόμενα θελήσας εὐθὺς τέλεια εἰργάσατο, ὃν δὲ ἐξ [15] αὐτοῦ ἐγέννησεν, ἕνα ἐξ ἑνὸς τὸν ὄντα ἀεὶ γεννητικῶς παρὰ τῷ ὄντι ἐπιδόσεως ἐγέννα ἐπιδεόμενον; Πέπαυσο οὖν, ὦ Ἀέτιε, κενὰς ἡμῖν καὶ Ἀριστοτελικὰς λέξεις φέρων, ἀρκετῶς ἐχόντων ἡμῶν, καὶ μὴ ἀπατωμένων [16] τὴν τοῦ κυρίου ἡμῶν ἀληθινὴν διδασκαλίαν, τὴν λέγουσαν τὸ, Ἐκ τοῦ πατρὸς ἐγὼ ἐξῆλθον, καὶ ἥκω, καὶ οὐ καταχρηστικῶς ἐχούσης τῆς λέξεως τὴν δύναμιν, ἀλλὰ τελειότητος καὶ ἀξίας θεοῦ σημαινούσης τὴν οὐσίαν.

Ἀετίου κεφάλ. ι'. Εἰ τέλειον ἦν [1] τὸ γέννημα, ἐν ἀγεννήτῳ γέννημά ἐστι, καὶ οὐκ ἐξ ὧν ὁ ἀγέννητος αὐτὸ ἐγέννησε. Γεννητὴν γὰρ φύσιν ἐν ἀγεννήτῳ οὐσίᾳ οὐκ ἐνδέχεται εἶναι. Τὸ γὰρ αὐτὸ εἶναί τέ ἐστι καὶ μὴ εἶναι. Γέννημα γὰρ ἀγέννητον οὐκ ἔστι, καὶ ἀγέννητον
pag. 948. ὂν γέννημα οὐκ ἦν, τοῦ ἀνομοίου μέρους ἐπὶ θεοῦ βλασφημίας τύπον καὶ ὕβριν ἐπέχοντος.

12. αὐτὸν *codd. mss. et edit. princ.*

13. ἐπιδόσεως, *quod non sine iure uncinis notavit Petavius, aut delendum plane aut* ἐπιδόσεσι (*vel* ἐπιδόσει) *rescribendum est.*

14. sed eo quod temporum est constitutio et suppeditatio, quae tempora deus luminaribus adornavit, *haec verba, quae Petavii versio plane neglexit, interpretatus est Cornarius.*

ignoraverit, auctorem se ac conditorem arbitretur, et a veritate prorsus excidat. Licet enim Noëmum legamus plantasse vitem, Gen. 9. non tamen scriptum est stirpis huius conditorem illum fuisse, sed hoc duntaxat, *Vir erat*, inquit, *agricola*. Nam alius est is qui futuris rebus naturalem vim ac praecipua quaeque pro sua potestate largitur, alius qui ab ipso ut esset accepit homo, commissamque sibi ab eodem agriculturam suscepit, ut et ille quae ad perfectionem obtinendam progressionem requirunt excolat, et hic conditis a se rebus largiendis ea quae eiusmodi accessione gliscunt ad maturitatem perfectionemque perducat. Quod quidem perinde in animalium et volucrum genere, ac pecudum, serpentum pisciumque contigit. Nam omnia principio imperantis dei voluntate perfecta prodierunt, nunc autem eiusdem sapientiae decreto progressionibus suis, et incrementis augescunt. Quod ad hominis, qui in terra dominatur, fructum animi utilitatemque pertinet; quo is summum illum deum, a quo tam semina ipsa, quam eorum incrementa proficiscuntur, deum ac dominum agnoscat. Proinde quaecumque in coelo sunt, quaeque hominum manu non seruntur, ac neque gignunt, nec ab aliis gignuntur, ea deus perfecta reliquit. Neque enim humanae mentes damni ex iis aliquid capere poterant, aut ad arrogantiam excitari, ut in sole, luna ceterisque sideribus apparet. Nam ex eo quod luna nascatur, aut decrescat, augeaturve, nulla illius in mores mutatio redundat. Iam vero quî fieri potest, ut corporea illa ac corruptioni subiecta deus subinde perfecta voluntate sua procrearit, eum vero, quem e seipso genuit, unum ex uno, quique apud existentem perpetuo per generationem existat, accessionis ac progressionis egentem produxerit? Desine igitur, Aëti, Aristotelicas illas tuas voces et inanes obtrudere. Nobis enim citra ullum erroris periculum certissima Christi doctrina sufficit, cum ita loquitur: *Ego exivi a patre, et vado*. Cuius dictionis vis non in abu- Ioann. 16, 28. sione ulla consistit, sed divina perfectione ac dignitate praeditam naturam significat.

Aetii Caput X. Si perfecta sit genita soboles, eadem in ingenito erit, non ex iis quae cum ab ingenito gigneretur obtinuit. Nam genita natura in ingenita substantia esse non potest; esset enim simul idem, et non esset. Nam quod genitum est ingenitum non est, et quod ingenitum est, genitum non fuit. Quippe dissimilem aliquam deo partem affingere, maledicti in eum ac contumeliae speciem praefert.

15. αὐτοῦ *restitui ex codd. mss.* αὐτῶν *editorum est vitium.*

16. κατὰ τὴν *volebat Petavius.*
1. τὸ *non comparet in superioribus.*

Ἀνατρ. Ἀντιθέτως παρεισάγει Ἀέτιος, ἐκ συλλογιστικῶν ὀνομασιῶν ἀνθρωπίνης ἐπινοίας θεὸν καταλαβεῖν βουλόμενος, καὶ ὡς ἐκ λέξεων ἀκρωτηριάζειν πειρᾶται τῆς ἐναργοῦς πίστεως τὴν βεβαίαν ἐλπίδα, ἀνόμοιον [2] ἀνομοίῳ συγκρούσας, καὶ λέξιν λέξει ἀνατροπικῶς παρενθεὶς, ὡς ἐκ τούτου βιάζεσθαι τὸ ἀνόμοιον [3] τοῦ υἱοῦ πρὸς πατέρα σημαίνειν, ὅπερ ἐστὶν ἀδύνατον. Ἐξ αὐτῶν γὰρ, ὡς ἐδίδαξε τὸν κόσμον, συλλογισμῶν καὶ αὐτὸς συλλογισθήσεται. Φάσκει γὰρ, Εἰ τέλειον ἦν τὸ γέννημα, ἐν ἀγεννήτῳ γεννήματί ἐστι, καὶ οὐκ ἐξ ὧν ὁ ἀγέννητος αὐτὸ ἐγέννησε· γεννητὴν γὰρ φύσιν ἐν ἀγεννήτῃ οὐσίᾳ οὐκ ἐνδέχεται εἶναι· [4] τὸ γὰρ εἶναί τέ ἐστι καὶ μὴ εἶναι· γέννημα γὰρ ἀγέννητον οὐκ ἔστι, καὶ ἀγέννητον ὂν γέννημα οὐκ ἦν, τοῦ ἀνομοίου μέρους ἐπὶ θεοῦ βλασφημίας τύπον καὶ ὕβριν ἐπέχοντος· ὥςτε ἐξ ἅπαντος ἐλέγχεσθαι τὰ τῆς παραποιήσεως μέρη τῶν λόγων, ὡς οὐκ ἐνδέχεται ἀνόμοιον εἶναι τὸν υἱὸν τῷ πατρὶ, οὐδ' ἄνισον τῆς αὐτοῦ τελείας θεότητος. Εἰ γὰρ ὅλως φάσκει [5] βεβιασμένως, καθ' ἑαυτοῦ δὲ ἐπιστρέφει ῥητὰ ἃ διηγεῖται, τὸ γεννητὸν καὶ ἀγέννητον ἀεὶ φάσκων, ἀπὸ τούτου μαθέτω τὸ κτιστὸν καὶ ἄκτιστον ὅτι οὐκ ἐνδέχεται ἐπικοινωνεῖν τοῦτο τούτῳ πρὸς τὸ ἀξίωμα, ὅπερ ἐστὶ τὸ ὅλον προςκυνητόν. Εἰ γὰρ ὅλως προςκυνητὸν τὸ ἀνόμοιον τῷ ἀνομοίῳ ἐξισούμενον, οὐκέτι διοίσει λόγος τὸν ἕνα ἀπὸ τῶν ὅλων, τῆς ἀνομοίας οὐ δυναμένης ἐν τάξει τοῦ αὐτῆς ἀξιώματος τάττεσθαι, κἄν τε ἐν δόξῃ ὑπερβάλλοιτο τὸ ἀπὸ πάντων ἓν ὄντων ἀνομοίων [6] πρὸς [τὴν] τὸν ἕνα, διὰ τὴν μὴ ἐπικοινωνοῦσαν τῷ ἑνὶ πάντων πρὸς τὸν ἕνα ἀνομοιότητα. Καὶ ἔσται λοιπὸν καὶ ἥλιος, καὶ σελήνη, καὶ ἄστρα, καὶ γῆ, καὶ τούτων ἔτι τὰ ὑποβεβηκότα προςκυνητὰ, καὶ οὐκέτι ὁ εἷς σὺν τῷ ἑνὶ πνεύματι, ὅπερ ἐστὶ μία τριὰς, καὶ μία θεότης, καὶ μία προςκύνησις. [7] Ἄρα οὖν εἰ τοῦτο διὰ τοῦτο συλλογιστέον, ἔσται μὲν αὐτὸ ἐν ἀληθείᾳ, ἐπειδὴ οὐχ
pag. 949. ὅμοιος ὁ εἷς λόγος τοῖς πᾶσι λόγος, οὐδὲ [8] ὁ εἷς υἱὸς τοῖς πᾶσι κατὰ ἀναγωγὴν κικλησκομένοις ἴσος; Οὐ γάρ ἐστι σὺν τοῖς πᾶσιν, ἀλλὰ δι' οὗ οἱ πάντες. Τὸ γοῦν ἀδυνάτως παρ' αὐτῷ τῷ Ἀετίῳ ταχθὲν ἐξ ὑπαρχῆς, καὶ εἰς ὕβριν ἐπέχον τύπον βλασφημίας διὰ τὸ μέρος ὃ ἔφη ἐν θεῷ ὂν (ὅπερ οὐ διαφορᾶς μέρος ὑπάρχει, ἀλλ' ἰσότητος, καὶ οὔτε μεριζομένης τῆς θεότητος, ἀλλ' ἀεὶ οὔσης τελειοτάτης, τρία ὄντα τέλεια, μία θεότης), μᾶλλον δὲ εἰς σύστασιν τῆς ἐν ἀληθείᾳ πίστεως τὸ ἀνόμοιον ἡμῖν ἐπησφαλίσατο, εἰς τὸ μὴ νομίζειν, μήτε πείθεσθαι

2. *Sic correxi. Libri habent* ἀνομοίως.

3. τοῦ υἱοῦ πρὸς πατέρα *mea est emendatio.* τοῦ πατρὸς τὸν υἱὸν *ariolatus est Petavius. Cornarius vertit* dissimilitudinem filii ad patrem, *quod cum eo congruere videtur quod supra reposui. Cod. Ien. habet* τοῦ πρὸς πρᾶ, *cod. Rhedig.* τοῦ πρὸ πατέρα, *sed a m. s. Editi exhibent* τοῦ πατρὸς πατέρα.

4. *Repone* τὸ γὰρ εἶναι αὐτό τέ ἐστι, *aut* ταὐτὸ γὰρ εἶναί ἐστι.

5. καὶ βεβιασμένως *cod. Rhedig.*

6. *Rescribendum suspicor* πρὸς δὴ τὸν, *aut* πρὸς τοῦτον τὸν.

7. ἄρ' οὖν *cod. Ien.* ἄρα οὖν *cod. Rhedig. et editi.*

8. ὁ εἷς *codd. mss. uterque.* εἷς ὁ *editi libri.*

Confut. X. Instat oppositis rationibus et argumentis Aëtius, dialecticis vocibus humano ingenio fabricatis comprehendere deum cupiens, ac certissimam evidentis fidei spem dictionum suarum argutiis mutilare contendens. Itaque dissimilis vocabulum dissimiliter committit, et dictiones alias aliis ad evertendum inserit, ut ea ratione conficiat, filium patris esse dissimilem; quod fieri nullo modo potest. Quare suis ipse syllogismis ac rationibus capietur. Sic enim disputat: Si perfecta sit genita soboles, eadem in ingenito erit, non ex iis quae cum ab ingenito gigneretur obtinuit. Nam genita natura in ingenita substantia esse non potest; esset enim simul idem, et non esset. Nam quod genitum est, ingenitum non est, et quod ingenitum est, genitum non fuit. Quippe dissimilem aliquam deo partem tribuere maledicti in eum ac contumeliae speciem praefert. Ex quibus falsa illius ac mendaciis referta convincitur oratio, idque perspicue constat, dissimilem patris esse filium non posse, neque perfectae divinitati illius inaequalem. Etenim quae omnino velut coactus eloquitur, ea sententiae suae contraria disserit, dum assidue genitum et ingenitum nobis obtrudit. Unde et quod ad creatum increatumque spectat, illud una discere debet, alterum cum altero nullam dignitatis communionem habere; quae in eo posita est ut totum sit adoratione prosequendum. Si enim quod dissimile est cum eo cuius dissimile est adaequatum penitus sit adorandum, unus ab universis nihil ex illa oratione discrepaverit. Tum enim conditionum illa dissimilitudo in suo ordine ac dignitate contineri non poterit; tametsi unum illud ceteris, quae dissimilia sunt, splendore ac gloria antecellere dicatur, ob eorum dissimilitudinem quae cum uno consociari compararique non possunt. Quamobrem eo tandem res recidet ut sol, luna, sidera, terra, atque iis etiam inferiora quaeque adoranda videantur, neque id uni cum uno spiritu praecipium ac peculiare sit, quae est una trinitas, divinitas una, et singulariter adoranda. Quapropter si hoc modo colligere ista licet, cum rei veritate consentaneum erit quod dicitur. Neque enim unum verbum reliquorum simile est, neque filius unus aliis omnibus, qui per allegoriam sic appellantur, aequalis. Nam inter alios minime censetur, sed per eum isti procreati sunt. Ita quod impossibile initio proposuit Aëtius, quodque contumeliae in deum, ac maledicti speciem habebat, ob illam quam affinxerat deo partem (quae quidem non differentiae, sed aequalitatis pars est; adeo ut non sit particula divinitas, quae perfectissima semper est in tribus perfectis consistens, una divinitas), hoc, inquam, ipsum, quod de dissimili iniecit, ad veritatem catholicae fidei corroborandam plurimum

τοῖς παρὰ [9] ἀξίαν Ἑλλήνων [10] πταίειν προπετείας προλήψει κατεγνωσμένοις τὴν πᾶσαν κτίσιν [11] προσκυνεῖν τὴν [12] ἀνόμοιον οὖσαν πρὸς τὸν προσκυνούμενον πατέρα ἐν υἱῷ, υἱὸν ἐν πατρὶ σὺν ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Ἀετίου κεφάλ. ια΄. Εἰ ἀγεννήτου φύσεως ὑπάρχων ὁ θεὸς ὁ παντοκράτωρ γεννητῆς φύσεως οὐκ οἶδεν ἑαυτὸν, ὁ δὲ υἱὸς γεννητῆς φύσεως ὑπάρχων τοῦτο γινώσκει ἑαυτὸν ὅπερ ἐστὶ, πῶς οὐκ ἂν εἴη τὸ ὁμοούσιον ψεῦδος, τοῦ μὲν γινώσκοντος ἑαυτὸν ἀγέννητον, τοῦ δὲ γεννητόν;

Ἀνατρ. Ἔφησεν Ἀέτιος καὶ ἀπεφήνατο ὁ διαστολεὺς καὶ ὁροθέτης ἐπὶ φύσεως θεοῦ διαλαμβάνων, ἄνθρωπος ὢν τῇ φύσει, καὶ τὰ ὑπὲρ φύσιν βουλόμενος εἰδέναι, εἰδέναι δὲ οὐ κατὰ [1] ἀκολουθίαν γραφῆς, ἀλλ' ἐκ συλλογισμῶν βροτείων διανοημάτων, ὅτι ἀγεννήτου φύσεως ὑπάρχων ὁ θεὸς ὁ παντοκράτωρ γεννητῆς φύσεως οὐκ οἶδεν ἑαυτόν. Πάντοτε δὲ ἀεὶ καὶ ἀπαρχῆς τοῦ λόγου οὐκέτι κατὰ τοὺς παλαιοὺς Ἀρειανοὺς, κἂν ἀποκεκρυμμένως, υἱὸν βούλεται λέγειν τὸν μονογενῆ. Ἐν πᾶσι δὲ θεωρήσατε υἱοὶ τῆς ἀληθείας, ὡς παντάπασι βούλεται αὐτὸν ἀλλότριον εἶναι τοῦ πατρὸς, καὶ οὐδ' ὅλως μετέχοντα θεϊκῆς οὐσίας, ἐξ ὧν πάντοτε τολμηρῶς ἀποφθέγγεται. Τὸ γὰρ λέγειν ὅτι
pag. 950. αὐτὸν ἀγέννητον γινώσκει, καὶ γεννητικῆς φύσεως οὐκ οἶδεν ἑαυτὸν, μάτην παρ' αὐτῷ καὶ τὸ κἂν διὰ ψιλῆς λέξεως υἱὸν τὸν υἱὸν καλεῖσθαι. Ἀνατραπήσεται δὲ αὐτοῦ ὁ λόγος. Καὶ γὰρ ἀγέννητός ἐστιν ὁ πατὴρ, καὶ ἐγέννησεν ἀϊδίως τὸν μονογενῆ, φύσεως ὢν ἑαυτῇ πρεπούσης, τῷ ἕνα μόνον τὸν μονογενῆ γεγεννηκέναι, καὶ πνεῦμα ἐνηνοχέναι, τὸν μόνον μόνῳ ἐπὶ μονογενεῖ γεννήτορα, ὃς τῷ ἀνάρχως γεγεννημένῳ υἱῷ συνυπάρχει, πνεῦμα ὢν, πνεῦμα γεγεννηκὼς, καὶ οὐ σῶμα ὢν σωματικῶς διαστελλόμενον, οὐδὲ φθῖνον καὶ αὖξον καὶ τομὴν ὑφιστάμενον. Διὸ παρὰ τοῖς ἄλλοις πᾶσι τοῖς γεγεννηκόσι καὶ γεννωμένοις [2] ἀλλ' ἐπὶ πολλῶν ἐπιδέχεται ἡ χρεία. Ἐνταῦθα δὲ οὐχ ὅμοιον τοῖς οὖσι πᾶσιν ἡ τοῦ ἑνὸς πρὸς τὸν ἕνα ἀξία. Διὸ καὶ αὐτὸς ὁ γεννηθεὶς ἐξαιρέτως ἐκ τοῦ ἐκπλήκτως γεννήσαντος ὥςπερ ἀπὸ τοῦ ἀγεννήτου γεγέννηται συμπρέπων τῷ γεννήτορι. Καὶ αὐτὸς οὐ γεννᾷ

9. ἀξίοις *cod. Rhedig.*

10. παίειν *cod. Rhedig.*

11. προςκυνεῖν (προςκυν⁀) *cod. Ien.*) *codd. mss.* προςκυνητέον εἶναι *editi libri.*

12. ἀνόμοιον *correxerunt Cornarius et Petavius. Libri vulgo habent* ἄνοιαν. *Cornarius interpretatus est haec verba ita:* Quod igitur impossibiliter apud ipsum Aetium ab initio positum est, et ad contumeliam blasphemiae figuram obtinens, propter partem quam dixit in deo esse: non differentiae pars extitit, sed aequalitatis, et quae ne dividitur quidem deitatis, sed semper est perfecta, tria existentia perfecta, una deitas. Imo potius ad confirmationem verae fidei, dissimilitudinem nobis communivit, ad hoc, ut ne putemus neque credamus praeter dignitatem Graecae nationi, ob temeritatis praesumptionem damna-

contulit; ut ne illorum errori fidem habeamus quos perperam ad temerariam gentilium opinionem ac superstitionem adhaerescere convincimus, et omnem creaturam adorandam esse profiteri, quantumvis patri sit dissimilis, qui adoratur in filio, et filio qui adoratur in patre cum sancto spiritu, cui gloria sit in saecula.

Aetii Caput XI. Si ingenita natura praeditus deus omnipotens genitae naturae conditionem in sese non agnoscit, filius vero genitam naturam habens eiusmodi se qualis est agnoscit, nonne tota illa consubstantialis ratio mendax est ac falsa, cum alter ingenitum sese, genitum alter agnoscat?

Confut. XI. Aëtius ille, qui in divina natura discrimen constituere ac terminos quosdam definire disputando conatus est, cum natura conditionis esset humanae, quique ea quae naturam omnem superant non ex sacrorum auctoritate literarum, sed ex humanis ratiocinationibus comprehendere studuit, sic, inquam, ille pronuntiavit: Omnipotentem deum, cum natura sit ingenitus, genitum se natura nequaquam intelligere. Quod quidem ita perpetuo, et ab ipso initio sermonis asseruit, ut a veteribus Arianis dissideat; licet filium unigenitum appellare dissimulando voluerit. Illud vero, veritatis filii, ubique diligenter attendite, quemadmodum a patre eundem abalienare penitus studeat, nec ullo modo divinae substantiae participem esse ex his ostendat quae identidem temere pronuntiare non dubitat. Nam cum patrem asserat ingenitum sese cognoscere, neque naturalem in se generandi facultatem esse scire, frustra filium vel vocabulo tenus filium appellat. Verum facile eius oratio refutabitur. Nam et ingenitus est pater, et unigenitum ab aeterno genuit, cum naturam habeat eiusmodi quae sibi ipsi conveniens sit. Siquidem unum ac solum unigenam filium genuit, spiritumque produxit solus cum unigenito solo genitor; qui cum filio sine ullo initio genito simul existit, et, cum spiritus sit, spiritum genuit. Neque vero corpus est quod corporeo more distrahatur, aut corrumpatur augeaturve, vel sectionem patiatur. Quamobrem etsi in ceteris omnibus quae gignunt, aut gignuntur, aliud necessitas ipsa conditionis ferat, tamen hic unius ad unum comparata dignitas dissimile quiddam est ab aliis sortita. Unde et genitus ipse eximia quadam ratione a patre, qui admirabiliter genuit, tanquam ab ingenito genitus est, genitoris naturae consentaneus. Idem ipse porro, quod

tae, ac sentienti omnem creaturam adorandam esse, quae dissimilis est ad patrem *cett.*

1. ἀκολουθείαν *cod. Rhedig.*

2. *Petavius suspicatus est* ἀλλ' ἐπὶ, *ego* ἄλλο τι. *Cornarius transtulit* Quare apud alia omnia, quae generant et generantur, multorum adhuc necessitas requiritur.

οὐκέτι κατὰ τὴν οὐσίαν, φημὶ, ἵνα ἀπὸ τοῦ μηκέτι γεννᾶν κατ' οὐσίαν καὶ ἀπὸ τοῦ τὸν πατέρα μὴ γεγεννῆσθαι ἐξ ἑκατέρων μερῶν ἡ πᾶσα δόξα τοῦ ἀξιώματος σώζηται ἐν τῇ μιᾷ ἑνότητι τῆς ἀξίας θεοῦ πατρὸς τελείου, καὶ υἱοῦ τελείου, καὶ τελείου πνεύματος ἁγίου. Καὶ διὰ τοῦτο τὸ ὁμοούσιον οὐ ψεῦδος οἶδεν ἡ θεία γραφὴ, οὐδὲ ὁ εὐσεβὴς λογισμὸς ὁ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εὐσεβῶς μεμαθηκὼς τὸ δοξάζειν καὶ προςκυνεῖν, ἐκ θεοῦ λαβὼν τὴν χάριν.

Κεφάλ. Ἀετίου ιβ'. Εἰ μὴ τὸ ἀγέννητον τὴν ὑπόστασιν τοῦ θεοῦ παρίστησιν, ἀλλ' ὑπονοίας ἐστὶν ἀνθρωπίνης τὸ ἀσύγκριτον ὄνομα, χάριν τοῖς ἐπινοήσασι γινώσκει ὁ θεὸς, διὰ τὴν ἀγέννητον ἐπίνοιαν τὴν ὑπεροχὴν τοῦ ὀνόματος οὐ φέρων ἐν οὐσίᾳ.

Ἀνατρ. Καὶ ἀγέννητον, ὡς ἔφαμεν πρὸς τὸν Ἀέτιον ἀποτεινόμενοι, [1] καὶ οὐκ ἀρνούμεθα, κἄν τε ἐν θείᾳ γραφῇ μὴ ἐμφέρηται,
pag. 951. εὐσεβῶς ἐπινενόηται. Ἀγέννητον δὲ φάσκοντες τὸν πατέρα καὶ ἀγέννητον ὁμολογοῦμεν, γεννητὸν δὲ τὸν υἱὸν οὐκ ἀρνούμεθα, ἀλλ' οὐχὶ κτιστόν· οὔτε γὰρ, ἐὰν τὸν υἱὸν γεννητὸν ὁρισώμεθα, ἐκ θεοῦ πατρὸς τὴν οὐσίαν ἔχειν ἀρνεῖσθαι δυνάμεθα. Γεννητῶς γὰρ ἐγέννησε, καὶ οὐκ ἔκτισεν. Ὡς γὰρ λοξῶς πάντα ἐπὶ τοῦ γεννητοῦ καὶ ἀγεννήτου διανοούμενος παρεκτρέπειν ἑαυτὸν βούλει (οὐ γάρ τι ἕτερον), οὕτως καὶ αὐτὸς ἀκούεις ἐξ ἀνθρωπίνων συλλογισμῶν καὶ ἀντιθέσεως συλλογιστικῆς, ἀνθρωπείας τε ματαιοφροσύνης, τὸ, Ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐπιμελῶς ἐκ νεότητος. Λέξομεν καὶ αὐτοὶ ὅτι [2] πολλῷ μᾶλλον ἀπρέπεια θεῷ τῷ ἀκτίστῳ τὸ κτίζειν τὰ κτισθέντα, καὶ τῷ ἀποιήτῳ τὸ ποιεῖν. Οὐ γὰρ ἐνδέχεται τὸν ἄκτιστον κτίζειν τὰ [3] κτισθέντα, καὶ τὸν μὴ γενόμενον ποιεῖν τὰ ἐσόμενα, εἰ οὐ πρέπει τῷ ἀγεννήτῳ τὸ γεννᾶν κατὰ τὸν Ἀετίου λόγον. Τῶν δὲ κτίσεων ὁρωμένων, καὶ τοῦ πλείστου μέρους τῆς οὐσίας ὑποστάσεως φαινομένης, θεῷ δὲ τῷ ἀκτίστῳ τὸ ὑπ' αὐτοῦ κεκτίσθαι μὴ πρεπούσης, ἵνα μὴ τὸ ἀσύγκριτον ἐπὶ μεταβολὴν τῶν γενομένων παρενεχθὲν ἀντὶ τοῦ πρέποντος παρὰ τῷ Ἀετίῳ ἀπρεπὲς μᾶλλον νομισθείη, ζητηθήσεται λοιπὸν ἕτερος ὢν θεὸς ὁ ἄκτιστος, ἕτερος δὲ ὁ κτισθεὶς, καὶ κτίζειν ἀναλόγως ἑαυτῷ δυνάμενος. Τοῦ δὲ κεκτισμένου καὶ τὸ κτίζειν ἔχοντος, αὐτομάτου μὴ ὄντος, ἀλλὰ κεκτισμένου, ζητηθήσεται καὶ ἕτερος ὁ τούτου αἴτιος γεγονὼς, καὶ ἀπὸ τούτου ἄλλος ἐπινοηθήσεται.

1. καὶ *uncinis notavit Petavius.*
2. *Libri vulgo* πολλῶν. *Sed* multo *magis iam convertit Cornarius.*
3. *Post* κτισθέντα *editi repetunt* καὶ τῷ ἀποιήτῳ τὸ ποιεῖν, οὐ γὰρ ἐνδέχεται τὸν ἄκτιστον κτίζειν. *Petavius ea verba uncinis inclusit, ego delevi, cum in codd. mss. non legantur.*

quidem ad naturam attinet, non amplius generat. Ut ex eo quod nihil ipse natura substantiaque gignat, pater vero a nullo sit genitus, divinae amplitudinis gloria in una ac singulari dei dignitate servetur, patris videlicet perfecti, perfecti filii, ac perfecti spiritus sancti. Quae cum ita sint, ipsa consubstantialis ratio falsa ex scripturis ostendi minime potest, neque pia ac religiosa mens repudiare velut confictam potest, quod de patre ac filio sanctoque spiritu pie instituta fuerit, eandemque celebrare et adorare posse trinitatem divino sit beneficio consecuta.

Aetii Caput XII. Si ingeniti vox dei substantiam minime significat, sed incomparabile istud nomen ab humanis ingeniis excogitatum est, deus ob illud ipsum ingeniti commentum iis qui repererint gratiae debitor est, cum tanto nomini respondentem excellentiam in essentia sua non habeat.

Confut. XII. Ingeniti vox, ut adversus Aëtium contendimus, nec inficiari possumus, tametsi in sacris literis minime reperiatur, pie tamen est excogitata. Ergo ingenitum patrem appellamus ac confitemur, genitum vero filium asserimus, et creatum fuisse negamus. Nam cum filium genitum esse constituerimus, quin a deo patre substantiam acceperit negare non possumus. Nam generatione ipsum produxit, non creavit. Ac tu perperam et oblique genitum illud et ingenitum accipiens, detorquere temetipsum studes (neque enim quicquam aliud efficis), tum de humanis ratiocinationibus et arguta oppugnatione disputationeque tua, hoc est de humana stultitia, commode illud e sacris literis exaudire potes: *Prompta est* Gen. 6, 5.
hominis mens in mala impensius, iam inde ab adolescentia. Nos autem et illud contra te dicere possumus, multo id increato deo indignius et indecentius esse, creare quicquid est conditum, aut qui a nullo factus est facere. Etenim si, quod Aëtius asserit, ingenitum generare nequaquam decet, consequens est nec increatum creare quicquam, neque qui a nullo factus est, quae erant condenda procreasse. Quocirca cum creatae res oculis subiiciantur, ac bona pars naturae subsistentis appareat, nec illud deceat, increatus ut illam deus creaverit, ne si incomparabile illud ad eorum quae facta sunt mutabilem conditionem abiiciatur, non modo non decorum sit, sed ex ipsius Aëtii sententia vel maxime dedeceat, eo res tandem adducitur, ut alter deus increatus, alter creatus, qui ad sui similitudinem creare cetera possit, quaerendus merito videatur. Iam vero cum hic ipse creatus deus et creandi potestate praeditus a se ipso non extiterit, sed creatus ponatur, quaerendus iterum alter ille fuerit a quo tanquam a principio profectus sit, deinde etiam alius post ipsum exco-

Καὶ πολλὴ ἔσται ἡ τοῦ βυθοῦ τῆς πλάνης ἡ ματαιολογία τῶν νοημάτων, τῆς διανοίας μηκέτι εὐσταθούσης, ἀλλὰ πληρούσης τὸ εἰρημένον, Ἐμωράνθησαν οἱ δοῦλοι τοῦ θεοῦ, καὶ ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. Οὐ γάρ τις ἑαυτῷ ζῇ, οὐδὲ ἑαυτῷ ἀποθνήσκει. Οὐδέ τις γνώσεται οὐδὲν πάρεξ τοῦ θεοῦ, τοῦ ἀποκαλύψαντος ἡμῖν τὴν ἀληθινὴν πίστιν αὐτοῦ, λέγοντος, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, καὶ αὐτοῦ ἀκούετε, καὶ τοῦ ἐξ αὐτοῦ γεγεννημένου ἀπακαλύψαντος ἡμῖν τὸν πατέρα αὐτοῦ, καὶ λέγοντος, Ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον,
pag. 952. καὶ ἥκω. Καὶ οὔτε ἀπὸ ὀνομασίας ἀνθρώπων τὸ ἀσύγκριτον ἔσχε θεὸς, οὔτε διὰ τὸ ἀσύγκριτον ἡ ἀξία τοῦ ἀληθινοῦ ἐνυποστάτου θεοῦ λόγου καὶ ἐκ πατρὸς ἀνάρχως ὁμοουσίως γεγεννημένου παρεκτραπήσεται, [4] οὔτε ὁποτέρου τῶν ὀνομάτων χάριν ἔχοντος ἐπινοίαις ἀνθρώπων. Οὐδὲν γὰρ προςλαμβάνεται τὸ θεῖον ἀξιώματος ἢ προςθήκης, αὐτὸ δὲ [5] τὸ θεῖον πᾶσι παρέχει ἐκ τοῦ αὐτοῦ πληρώματος, ἀεὶ ἐν ταυτότητι μένοντος, καὶ μὴ ἐλαττουμένου, ἀλλ' ἐν τῇ ἰδίᾳ φέροντος ἀεὶ οὐσίᾳ τοῦ ὀνόματος καὶ δυνάμεως καὶ οὐσίας τὸ ἀξίωμα.

Ἀετίου κεφάλ. ιγ'. Εἰ ἔξωθεν ἐπιθεωρεῖται τῷ θεῷ [1] τὸ ἀγέννητον, οἱ ἐπιθεωρήσαντες τοῦ ἐπιθεωρηθέντος εἰσὶν ἀμείνους, κρεῖττον ὄνομα τῆς φύσεως αὐτῷ πορισάμενοι.

Ἀνατρ. Ἀμείνων οὐδεὶς θεοῦ, πρὸς Ἀέτιόν μοι ἡ λέξις, τὸν οὕτως ἐπινενοηκότα. Ὡς ἔχει ἡ ἀλήθεια. Πῶς γὰρ ἀμείνων θεοῦ εἴη τις, τῶν πάντων ἐκ θεοῦ τὸ εἶναι εἰληφότων; Αἰτίου δὲ ὄντος τοῦ θεοῦ τῶν ὑπ' αὐτοῦ κεκτισμένων λογικῶν τε καὶ ἀλόγων, ὁρατῶν τε καὶ ἀοράτων, ἀμείνων αὐτός ἐστι παρὰ πάντας, κἄν τε οἱ λογικοὶ διανοίας γένοιντο ὀρθῆς εἰς εὐσέβειαν, τοῦ γεραίρειν τὸ ἄμεινον ἀπὸ μέρους, μηδὲ ὅλως τῶν πάντων ἐπιτοαυτὸ συναχθέντων, καὶ μυρίων ἐπέκεινα διανενοημένων πρὸς ὕμνον θεοῦ ἐπεκτείνεσθαι δυναμένων [2] τό τε τέλειον τῆς αὐτῆς δόξης ἐν ἑαυτοῖς ἐμπεριέχειν, ὑπερβαινούσης ἀεὶ τῆς ἀμείνονος τῶν ὑποβεβηκότων τὴν ἔννοιαν, κἄν τε κατὰ δύναμιν, καὶ ὑπὲρ δύναμιν, πρὸς ὑμνολογίαν [3] ἐπεκτείνωνται τῷ ἀμείνονι. Ἔστι γὰρ οὐ λόγῳ ἀμείνων, ἀλλὰ δυνάμει, καὶ ὀνόματι, καὶ λόγῳ. Ἀλλ' οὐ διοίσει τὸ ἀσύγκριτον ἀπὸ τοῦ ἀσυγκρίτου [4] ἡ τοῦ ἀμείνονος παρὰ τῶν ὑποβεβηκότων δοξολογία. Οἶδε γὰρ ἐν πατρὶ τὸ ἄμεινον διὰ τοῦ
pag. 953. ἀγεννήτου, καὶ τὸ ἄμεινον ἐξ αὐτοῦ γεγεννημένον. Διόπερ ὁμοούσιον

4. *Fortasse* οὐδὲ.
5. τὸ *omissum in edit. Petav. Colon. repet.*
1. τὸ, *quod h. l. omissum est in edit. Petav. Colon. repet., abest a loco gemello in superioribus.*
2. *Libri vulgo* τὸ τέλειον. *Repetii voculam* τε *ex vocabulo* τέλειον. *Petavius coniecit* πρὸς τὸ τέλειον.
3. ἐπεκτεινόντων *cod. Rhedig., correcturae vestigiis in finali vocis syllaba conspicuis.*
4. *Libri vulgo* ἢ τοῦ. *Emendarunt iam pridem Cornarius et Petavius.*

gitandus. Ex quo profundissimus iste error ad ingentem dogmatum et sententiarum absurditatem postremo deducitur. Neque enim consistere animus uspiam poterit, sed illud e scripturis implebit: *Stulti* Iob. 10, 14.
facti sunt dei servi, et fatuus omnis homo redditus est a scientia. Neque enim *sibi ipsi quisquam vivit, aut moritur,* neque quicpiam Rom. 14, 7.
cognoscit ullus sine ope dei, qui veram nobis fidem patefecit, ac dixit, *Hic est filius meus dilectus, ipsum audite,* ac sine illius quem Matth. 3, 17.
genuit auxilio, qui suum nobis patrem declaravit his verbis: *Ego a* Ioann. 16, 18.
patre exivi et venio. Porro neque ex hominum appellatione deus illud incomparabile sortitus est, neque ob idem incomparabile, veri ac subsistentis dei verbi, et a patre sine ullo initio eadem in substantia geniti dignitas abrogabitur. Neutrum enim istorum nominum ingeniis hominum, vel inventis acceptum ferendum est. Quippe divina natura novam nullam dignitatem accessionemve potest admittere, quin potius ex eo quod plene in sese abundanterque continet omnibus suppeditat, eodem in statu permanens, nec ullo modo diminuta, ac demum nominis illius ac potestatis et substantiae dignitatem in natura sua complectitur.

Aetii Caput XIII. Si ingeniti conditio deo extrinsecus affingitur, qui eam affinxerunt ei ipsi cui affingitur praestant, cum praestantius quam natura patiatur ei nomen attribuant.

Confut. XIII. Deo melior esse nemo potest (ut adversus Aëtium commenti huius auctorem disputem), neque quicquam eo dici potest verius. Nam quomodo quisquam deo melior esse potest, cum ab eo sint omnia producta? Cum igitur conditarum a se rerum omnium auctor sit deus ac principium tam quae ratione praeditae sunt quam quae ratione carent, tam quae videri possunt quam quae aspectum fugiunt, necesse est omnibus ut sit ille praestantior, quantumvis ex rebus creatis, quae ratione praeditae sunt, rectum ad pietatem animum obtinuerint, ut ex aliqua parte excellentius illud colere ac praedicare possint. Etenim si in unum locum conferantur omnes, et infinito plures adiiciantur, atque ad collaudandum deum vires suas omnes intendant, nunquam perfectum illius splendorem ac gloriam in seipsis concipere poterunt; eo quod praestantior illa natura inferiorum ac sibi subiectarum cogitationem omnem superat, licet pro viribus, imo supra vires, laudibus praeconiisque suis cum praestantiore adaequare se conentur. Est enim non solo sermone, sed potestate, voce ac ratione praestantior. Porro incomparabile unum ab altero nunquam excellentioris ab inferioribus suscepta praedicatio separabit. Novit enim in patre praestantius inesse quiddam, quatenus est ingenitus, ac praestantius itidem esse hoc quod ab eo

ὁμολογεῖ ἡ ἐκ θεοῦ ἀνθρώποις ὀρθὴ κεχαρισμένη ἔννοια, ἵνα μὴ τὸ ἀνομοιούσιον ἐπινοήσασα υἱοῦ πρὸς πατέρα διαίρεσιν ποιήσηται τῆς ἀμείνονος καὶ ἀκραιφνοῦς τελειότητος δι' οὗ οἶδε γεγεννημένου ἐν ἀληθείᾳ ὑπὸ τοῦ γεγεννηκότος ἀσυγκρίτως πάσας ἐννοίας ὑπερβαίνοντος διὰ τὸ ἄμεινον.

Ἀετίου κεφάλ. ιδ'. Εἰ μὴ [1] εἴκει ἡ ἀγέννητος φύσις γενέσει, τοῦτ' ἔστιν ὃ λέγεται· εἰ δὲ [2] εἴκει γενέσει, τὰ τῆς γενέσεως πάθη τῆς ὑποστάσεως τοῦ θεοῦ εἴη [3] ἀμείνω.

Ἀνατρ. Πάθη ὅλως ἐν θεῷ διηγεῖσθαι ἀσεβέστατον. Εἴσω γὰρ παθῶν οὐδ' ὅλως περιέχεται τὸ θεῖον. Ἀνωτάτω δὲ [4] ὄντος τῶν τοιούτων, τῶν ἐν ἡμῖν εἰς μεριστικὰς ἐννοίας ὑποπιπτόντων, κατὰ πάντα τρόπον ὁ Ἀετίου λόγος ἀνατραπήσεται. Πάντα γὰρ τὰ ἐν ἡμῖν παθητικῶς συμβαίνοντα ἐν θεῷ ἀπαθῶς συνέστηκεν. Ἐν ἡμῖν γὰρ κατά τι μέρος τὸ θέλειν ἐστὶ πάθος, οὐ τὸ θέλειν εὐσεβεῖν λέγω, ἀλλὰ τὸ θέλειν τι πράττειν, ὅπερ ἐστὶν ὑπὲρ φύσιν, διὰ τὸ μὴ δύνασθαι ἐπιτελεῖν τὸ καθῆκον τοῦ θελήματος· οἷον ὡς ἐπὶ ἀνθρώπῳ λέγειν τὸ πτῆναι, τὸ εἰς ἀέρα φέρεσθαι, τὸ τὰς φλέβας τοῦ βυθοῦ κατανοῆσαι, τὸ εἰδέναι [5] πυθμένας γῆς, καὶ τὰ τούτοις ὅμοια. Ὅσον δέ ἐστιν ἐν ἐμοὶ παθητικῶς συνεχόμενον, τοσοῦτον ἐν τῷ θεῷ ἀπαθῶς ἐστιν ὑπάρχον. Διὰ τοῦτο πάντα ὅσα βούλεται [6] δύναται πράττειν, τῆς φύσεως αὐτῷ μὴ ἀντιπραττούσης πρὸς τὸ βούλημα, τῆς δὲ ἡμετέρας ἐν ἡμῖν ἀντιπραττούσης πρὸς τὰ βουλήματα, ὅσα πρὸς τὸ ἀδύνατον ἐπεκτείνεσθαι ἔστιν ἐν ἡμῖν. Καὶ οὐδ' ὅτι εἴπομεν τὸν θεὸν πράττειν ὃ βούλεται, πάντως λέξειέ τις ὅτι πράττει οὖν τὰ μὴ πρέποντα, οὐ πάντως. Ἐκεῖνα γὰρ βούλεται ἃ καὶ πράττει, ἀναλόγως τῆς αὐτοῦ ἀξίας, οὔτε τοῦ βουλήματος ἀντιπράττοντος πρὸς τὸ μὴ δύνασθαι, οὔτε τοῦ δύνασθαι ἀντιθέτου ὄντος πρὸς τὸ βούλεσθαι, οὐ διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι.

Καὶ ἄλλως. Μετὰ τὴν τοιαύτην ἀπάθειαν ἐν θεῷ ὑπάρχουσαν,
pag. 954. ἐν ἡμῖν δὲ καὶ ἄλλοις κτίσμασι παθητὴν οὖσαν, ἐὰν συμβῇ οὕτως διανοεῖσθαι, πάλιν ἕτερον πάθος κατὰ τὴν ἀλήθειάν ἐστιν ὁμολογητέον, μετὰ δὲ τὸ δεύτερον καὶ τρίτον ἔστι διανοηθῆναι. Πάθει γεννῶμεν καὶ γεννώμεθα, τῆς ἡμετέρας φύσεως καὶ τῆς τῶν ἄλλων τῶν γεννωμένων καὶ γεννώντων τομὴν ὑποδεχομένης καὶ ῥύσιν ἐπεχούσης, πλατυσμόν τε καὶ συστολήν, ὄγκον τε καὶ μείωσιν, καὶ τὰ ἄλλα πάντα

1. *Supra* εἴχῃ.
2. *Supra* εἴχῃ.
3. ἀμείνω (*uti coniecit Petavius*) *cod. Rhedig.* ἄμεινων *reliqui libri.*
4. *Libri habent* ὄν. ὄντος *coniecerunt Cornarius et Petavius.*
5. πυθμένας *codd. mss.* πυθμίας *editi.*
6. *Libri vulgo* δύνασθαι.

genitum est. Quamobrem vera ac sincera, quam deus hominibus impertitur, intelligentia consubstantialem esse patri filium profitetur, ne si dissimilis illos essentiae constituat, excellentiori illi ac sincerissimae perfectioni divisionis aliquid inducat. Cum ille ipse, cuius ista beneficio percipit, a genitore re vera sit genitus, et intelligentiam omnem, prae excellentia sua, sine ulla comparatione transcendat.

Aetii Caput XIV. Si ingenita natura generationi minime cedat, habemus quod volumus. Sin generationi cedat, generationis affectiones divina substantia praestantiores erunt.

Confut. XIV. I. Esse aliquas in deo affectiones dicere, sacrilegum est et impium. Divinum quippe numen nullis est affectionibus obnoxium, et his omnibus superius est quae peculiari cognitione ac cogitatione comprehendimus. Quare quod ab Aëtio propositum est, funditus evertetur. Nam quae nobis cum affectione aliqua contingunt, deo sine ulla affectione conveniunt. Siquidem in nobis velle ipsum partim affectio quaedam est, non exempli caussa velle pium esse dico, sed aliquid eiusmodi velle facere quod naturae captum superat, eo quod voluntati obsequi minime possimus, velut in homine volare, aut in aërem ferri, aut profundi venas indagare, terrae fundum investigare, et id genus alia. Quicquid autem cum aliqua affectione naturae meae insitum est, illud omne citra passionem inest in deo. Hinc est quod quaecumque vult perficere potest, quoniam natura eius voluntati non reluctatur, nostra vero in nobis ipsis repugnat, quoties voluntate ad id intendimur quod fieri omnino non potest. Verum quod deum diximus quae velit omnia perficere, non est quod aliquis obiiciat facere illum etiam quae minus deceant. Nequaquam vero. Nam illa vult quae re ipsa facit, ratione suae dignitatis habita, adeo ut neque potestati voluntas, neque voluntati sit contraria potestas; non quod facere nequeat, sed quod non libeat.

II. Praeterea postquam talis est affectionum in deo constituta vacuitas, cum in nobis ceterisque creatis rebus eadem illa cum affectionibus coniuncta sint, si ad illum modum quippiam animo concipiatur, alia rursus affectio ex rei veritate confitenda fuerit, et post hanc ipsam altera, tertiaque similiter. Nos quidem non sine affectione generamus aut gignimur, propterea quod natura nostra ceterarumque rerum quae gignunt aut ab aliis gignuntur partitionem admittit, ac profluens est, et collatatur, aut contrahitur, et molis incrementum vel diminutionem patitur, ac cetera id genus quae cum

ὅσαπερ πάθει συνέχεται διὰ τὴν τοιαύτην αἰτίαν. Ἐν θεῷ δὲ οὐδὲν τούτων ἐν τῷ τὸν υἱὸν γεγεννηκέναι ἐνυπῆρξεν. Εἰ γὰρ ὑπῆρξεν ἕν τι τῶν τοιούτων ἐν θεῷ, κατὰ τὴν προφασιστικὴν εἰς ἀνατροπὴν τοῦ γεννήματος ὑπόνοιαν, ἀπὸ τοῦ ἑτέρου καθ' ἡμᾶς μέρους ἀντιθέτως πρὸς αὐτοὺς ῥητέον ὅτι ἐν ἡμῖν τοῖς ἐν πάθει γεννῶσί τε καὶ γεννωμένοις πάθος ἐστὶ δεύτερον ἐν τῷ κτίζειν, καὶ πάσχομεν ἐν τῷ γεννᾶν τε καὶ γεννᾶσθαι. Θεὸς δὲ ὁ παρ' ὑμῖν κτιστὴς, καὶ οὐ γεννήτωρ ἐπινοούμενος· [7] ὃς διὰ μὲν τὸ γεννᾶν ἀνατρεπτικῶς τὸ πάθος παραφέρετε, ἵνα τὴν υἱοῦ γνησιότητα ἀρνήσησθε, λήθῃ δὲ παραδιδόατε τὸ ἐπὶ τῷ κτίζειν πάθος, ὅπερ καὶ αὐτὸ ἐν θεῷ οὐ πάθος ὑπάρχει, μὴ γένοιτο. Οὔ τε γὰρ ἡμεῖς πάθος αὐτῷ προςάπτομεν, ὁμολογοῦντες αὐτὸν κτιστὴν ὄντα τῶν ἁπάντων. Οὐδὲ πάλιν πάθος ὂν περὶ αὐτὸν διανοούμεθα, γεγεννηκότα τὸν ἀληθινὸν υἱὸν, ἀληθινῶς ἀνάρχως καὶ ἀχρόνως ὁμολογοῦντες. Διὸ τὴν φύσιν αὐτοῦ γινώσκομεν ἀκατάληπτον οὖσαν, καὶ πάθει μὴ συνεχομένην. Διὰ τοῦτο ὁμολογοῦμεν αὐτὸν καὶ ἀπαθῆ γεννήτορα καὶ κτιστὴν ἀπαθῆ. Ἐγέννησε γὰρ τὸν μονογενῆ μὴ πάσχων, καὶ ἀπέστειλεν ἐξ αὐτοῦ τὸ ἅγιον αὐτοῦ πνεῦμα, τομὴν μὴ ὑποστὰς, καὶ ἔκτισε τὰ κτισθέντα καὶ κτιζόμενα μὴ [8] κακῷ, μηδὲ πάθει συσχεθεὶς, καὶ ποιεῖ ὃ βούλεται συμπρεπόντως τῇ αὐτοῦ θεότητι, οὐ πρῶτον [9] βουλόμενος, ἵνα μάθῃ διανοούμενος εἰ χρὴ γενέσθαι τὸ ἐπιτελούμενον, οὐδὲ βουλόμενος πράττειν, καὶ μὴ δυνάμενος ἐπιχορηγεῖν τῷ βουλήματι διὰ πάθος τὸ τελειούμενον. Ἅμα γὰρ ἔχει τὸ θέλειν, τὸ πράττειν, τὸ γεγεννηκέναι τὸν μονογενῆ, τὸ κτίσαι τὰ πάντα, τῆς θεϊκῆς φύσεως καὶ ἀξιώματος ἀνωτάτου ὄντος
pag. 955. [10] τῆς Ἀετίου συλλογιστικῆς ἐννοίας καὶ πάσης ἀνθρωπότητος, ἀμείνονος ὄντος τοῦ θεοῦ πάσης ἐπινοίας, οὐ πάθει εἴκοντος, ἀλλ' ἀνωτάτου ὄντος πάντων τῶν παθῶν καὶ πάσης ὑπονοίας.

Ἀετίου κεφάλ. ιε'. Εἰ τὸ γέννημα ἄτρεπτόν [1] ἐστι τὴν φύσιν διὰ τὸν γεννήσαντα, [2] τὸ ἀγέννητον οὐσία ἐστὶν ἄτρεπτος, οὐ διὰ γνώμην, ἀλλὰ διὰ τὸ ἐν οὐσίᾳ ἀξίωμα.

Ἀνατρ. Ἕως πότε ἥκει φέρων ἡμῖν οὗτος τὸ αὐτὸ λέγειν, καὶ μηδὲν ὑπερβαίνειν τῶν ἐγκειμένων; Ὅσα γὰρ ἔφη ἀπαρχῆς, καὶ ἄχρι τέ-

7. *Rescribendum puto* ὡς διὰ μὲν *cett. Cornarius vertit:* deus autem apud vos creator, et non genitor intelligitur. Quare propter generationem quidem et subversionem faciendam falso passionem profertis, quo filii ingenuitatem negetis: verum passionem in creando oblivioni traditis, quae sane neque ipsa passio est in deo.

8. *Reposui* κακῷ *pro* κακῶν, *quae*

affectione coniuncta sunt eandem ob caussam. In deo vero nihil eiusmodi, dum filium generaret, locum habere potuit. Nam si tale quicpiam in ipso extitisse dicamus, ut inanis istorum fert opinio, quae ad evertendam dei sobolem pertinet, ex altero quod in nobis inest tale adversus illos argumentum efficiemus. Etenim nobis ipsis, qui non sine affectione gignimus, aut gignimur, secundum quoddam insitum est affectionis genus, cum aliquid procreamus. Tum enim perinde patimur ac dum gignimus, aut gignimur. Atqui deum vos, si non genitorem, certe creatorem agnoscitis, atque ut filii germanitatem abnegetis, et catholicum dogma convellatis, generationi quidem affectionem tribuitis, eandem vero in creatione dissimulatis; quae et ipsa in deo reperitur, nec in eo tamen affectio est, absit ut illud dicamus. Nos enim nullam ei affectionem propterea tribuimus, quod omnium creatorem esse fateamur. Similiter ne affectionem quidem in eo putamus esse, quod verum filium vere ac sine initio, vel tempore, genuisse fateamur. Ob id naturam illius comprehendi non posse, et ab omni genere affectionum immunem esse cognoscimus. Propterea eundem sine ulla affectione genitorem ac creatorem asserimus. Quippe nihil omnino patiens unicum filium genuit, et ex se ipso sanctum suum spiritum emisit, nullum omnino sectionem ant partitionem expertus. Idem creata omnia procreavit citra fatigationem et affectionem ullam. Tum vero quicquid libuerit pro eo ac divinitati suae congruum est molitur; non quod antea velit, ut attentius postea cogitans discat ecquid perfici quod designat oporteat. Neque ita vult exequi ut ob affectionem aliquam voluntati opus ipsum repraesentare nequeat. Nam haec omnia simul ei suppetunt, velle, facere, unicum generare filium, procreare res omnes. Quandoquidem dei natura et maiestas omni est Aetii disputandi subtililitate et humana conditione superior. Deus, inquam, intelligentiam omnem exsuperat, nec affectioni cedit ulli, sed supra affectionem omnem ac suspicionem eminet.

Aetii Caput XV. Si genita soboles natura ob generantem immutabilis est, quod ingenitum est substantia quaedam immutabilis est, non arbitrio cuiusquam, sed insita quadam substantiae dignitate.

Confut. XV. Quousque tandem eadem nobis inculcabit, nec ab iis quae antea proposita sunt diversum afferet? Nam quae initio

librorum scriptura est. Cornarius vertit citra afflictionem, neque affectui obnoxius. *Olim putabam* χαμών.

9. βουλευόμενος *codd. mss. uterque.*

10. τῆς *codd. mss. et ed. princ.* καὶ *edit. Petav.*

1. ἔστι *abest supra.*

2. *Correxi* τὸ *ex superioribus. Libri enim hic vulgo* τὸν ἀγέννητον, οὐσία κτλ.

λους αὐτὰ περὶ τῶν αὐτῶν, καὶ [3] οὐθὲν ἕτερον διηγήσατο, οὐ μυστήρια ἡμῖν ὑποδείξας, οὐ θεὸν ὃν ἐπαγγέλλεται διδάξας, οὐ πίστιν δι' ἧς ἐνεργοῦντες ἀπόστολοι τὴν τῆς ἀληθείας ὀνομάζοντες στερεὰν ὁμολογίαν νεκροὺς ἤγειραν καὶ λεπροὺς ἐκαθάρισαν, καὶ τἄλλα πάντα τῆς ἀγαθῆς συμφωνίας ἐξ ὧν τὰ ὑποδείγματα ὑπέφαινον τῆς ἀληθινῆς ἐνεργείας, ἀλλὰ ματαίους καὶ κομπώδεις συλλογισμοὺς μὴ ὑπερβαίνοντας τὴν τῆς ταυτολογίας προφορὰν, ἀλλ' αὐτὰ ἐκεῖνα, καὶ οὐδὲν ἕτερον διηγούμενος. Διὸ παρακαλοῦμεν ὅπως μηδεὶς ἡμᾶς ἐπιμέμψηται τῶν ἐντυγχανόντων, εἴπερ καὶ αὐτοὶ κατὰ τῶν αὐτῶν ἐνεχθῶμεν, ἀναγκαζόμενοι λέγειν πρὸς τὴν αὐτοῦ ταυτολογίαν. Τὸ γέννημα γὰρ ἄτρεπτόν ἐστιν, ὅσον πρέπει θεότητι· καὶ ὁ γεννήτωρ ἄτρεπτός ἐστιν, ὡς πρέπει ἀναλόγως τῇ αὐτοῦ ἀτρέπτῳ φύσει. Μένει δὲ ὁ γεννήσας ἀεὶ τὸν ἐξ αὐτοῦ ἔχων γεγεννημένον, μηδεμίαν ὑπόνοιαν συγχωρῶν τοῖς ὑπ' αὐτοῦ κεκτισμένοις ἄνευ υἱοῦ εἰδέναι πατέρα, καὶ ἄνευ πατρός ποτε εἰδέναι τὸν γεγεννημένον, καὶ τὸ τέλειον αὐτοῦ πνεῦμα, ὃ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ τοῦ υἱοῦ λαμβάνει. Καὶ τοῦτο πρέπον ἐστὶν ἀξιώματος οὐσίας θεοῦ, τὸ ἀπροςληπτικῶς μὴ ἐπιδεῖσθαί τινος ἀξιώματος, ἀλλ' [4] ἔχειν αὐτὸ ἀϊδίως ἐν τῇ ἰδίᾳ ταυτότητι.

pag. 956. Κεφάλ. Ἀετίου ις'. Εἰ τὸ ἀγέννητον οὐσίας ἐστὶ δηλωτικὸν, εἰκότως πρὸς τὴν τοῦ γεννήματος οὐσίαν ἀντιδιαστέλλεται. Εἰ δὲ μηδὲν σημαίνει τὸ ἀγέννητον, πολλῷ μᾶλλον οὐδὲν δηλοῖ τὸ γέννημα. [1] Εἰ δὲ μηδὲν, πῶς ἀντιδιασταλείη; Εἰ δὲ [2] ἡ ἀγέννητος προφορὰ πρὸς τὴν γεννητὴν προφορὰν ἀντιδιαστέλλεται, σιωπῆς τὴν προφορὰν διαδεχομένης, γίνεσθαι συμβαίνει καὶ ἀπογίνεσθαι τὴν τῶν Χριστιανῶν ἐλπίδα, [3] ἐν προφορᾷ κειμένην, ἀλλ' οὐκ ἐν φύσεσιν οὕτως ἐχούσαις ὡς ἡ τῶν ὀνομάτων βούλεται σημασία.

Ἀνατρ. Πῶς προλαμβάνειν εἰώθασι τὰς καθ' ἑαυτῶν μαρτυρίας οἱ ἐκθαμβεῖν τὴν διάνοιαν τῶν ἀπείρων μεμαθηκότες; Ὁ γὰρ ἐν προφορᾷ τὴν ἐλπίδα κεκτημένος Ἀέτιος [4] μόνον, καὶ οὐκ ἀληθείᾳ, ταύτην ἡμῖν ἐπιφημίζειν τολμηρῶς προῆλθεν, αὐτὸς υἱὸν θεοῦ καὶ θεὸν πατέρα ψιλῷ λόγῳ μὴ αἰδεσθεὶς ὁμολογῆσαι· ἡμῶν δὲ μάλιστα ὁμολογούντων φυσικὸν εἶναι πατέρα, καὶ φυσικὸν εἶναι υἱὸν, καὶ φυσικὸν

3. οὐδὲν *cod. Rhedig.*
4. ἔχει *cod. Rhedig.*
1. *Supra exstat vitiose* μηδενὶ μηδέν.
2. ἡ *abest a cod. Rhedig.*
3. *Repone ex superioribus* ἐν διαφόρῳ προφορᾷ. *Pro* προφορᾷ *in edit. Petav.*

pronuntiaverat, eadem ad finem usque iisdem de rebus, nec aliud praeterea narrat. Non mysteria ulla nobis aperuit, non de deo, quem professus erat, docuit, non fidem, cuius praesidio mira facientes apostoli, cum solidam veritatis confessionem concepissent, mortuos excitarunt, elephantiacos purgarunt, aliaque praeclare cohaerentia praestiterunt, quae quidem vere non sola specie patrata, velut argumenta atque indicia proferebant: at ille contra nihil praeter vanissimas et ventosas syllogismorum subtilitates in medium affert, quas ipsas repetendo saepius ad satietatem ingerit, nec aliud praeterea proponit. Quocirca lectorem rogatum volumus, ne id nobis vitio tribuendum existimet quod et ipsi saepius eadem repetamus; quod, ut illi respondeamus, facere hoc loco cogimur. Igitur genita soboles, pro eo ac divinitatem decet, immutabilis est, sed et ipse genitor immutabilis est, quemadmodum constanti ipsius naturae convenit. Ceterum genitor ita manet, ut quem e seipso genuit perpetuo secum habeat; nec ullam conditis a se rebus suspicandi occasionem praebet, ut vel sine filio intelligere patrem, vel sine patre genitum filium, aut perfectum eius spiritum, *qui a patre procedit, et a filio accipit*, animo possint concipere. Atque hoc natura dei dignum est, maximeque consentaneum, nullam ut splendoris accessionem extrinsecus requirat, sed totum illud perpetuo in propria identitate contineat. Ioann. 15, 26.

Aetii Caput XVI. Si ingeniti vox substantiam exprimit, merito ab geniti substantia, velut membrum divisionis oppositum, discernitur. Sin autem nihil omnino vocabulum illud ingeniti significat, multo minus geniti vox aliquid exprimet; neque quicquam supererit quod in divisione alteri respondeat. Quod si ingeniti prolatio ipsa a geniti prolatione, velut membrum divisionis oppositum, secernitur, cum secundum pronuntiationem tacetur, Christianorum spem modo existere, modo extingui necesse est, quae tota in pronuntiatione consistat, non in naturis, quae ita sese habeant ut vocabulorum significatio ipsa prae se ferre videtur.

Confut. XVI. Quomodo quae contra se faciunt testimonia priores usurpare solent ii qui rudiorum animis stuporem iniicere didicerunt? Etenim Aëtius, qui in sola pronuntiatione, non in rei veritate, spem omnem collocavit, istud ipsum nobis obiicere nihil est veritus, cum ipse dei filium deumque patrem sola voce confiteri non erubuerit. Nam quod ad nos attinet, naturalem inprimis esse patrem asserimus, et naturalem filium, et naturalem spiritum san-

Colon. repet. vitiose exaratum legitur ὑποφορᾷ. 4. *Vulgo* μόνος.

εἶναι ἅγιον πνεῦμα. Τῇ γὰρ τριάδι οὐδὲν ἄλλο συγκριθήσεται. Καὶ διὰ τοῦτο ἀληθινῶς ὁμοούσιόν ἐστι τὸ τῆς ὁμολογίας ἡμῶν ἔρεισμα, καὶ οὐ διὰ προφορᾶς τῆς [5] διὰ τοῦ γίνεσθαι καὶ μὴ γίνεσθαι ἀναιρουμένης, ὡς ἡ τοῦ Ἀετίου περὶ πατρὸς δόξα, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. Ἔστι γὰρ ὄντως πατὴρ ἀληθινὸς, καὶ υἱὸς ὄντως ἀληθινὸς, καὶ πνεῦμα ἅγιον ἀληθινὸν, κἄν τε μυρίους συλλογισμοὺς ματαίους ὑποσπείρῃ· ὥς φησι ὁ θεῖος λόγος περὶ τῶν τοιούτων λέγων ὅτι, Τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω, καὶ ὅτι, Οἶδε κύριος τοὺς λογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι, καὶ τὰ ἑξῆς.

Ἀετίου κεφάλ. ιζ΄. Εἰ μηδὲν πλέον νέμει εἰς ὑπεροχὴν οὐσίας τὸ ἀγέννητον πρὸς τὸ [1] γεννητὸν, προφορᾷ μόνον ὑπερεχόμενος ὁ υἱὸς βελτίους ἑαυτοῦ γνώσεται τοὺς προσαγορεύσαντας, οὐ τὸν προσαγορευθέντα θεὸν αὐτοῦ καὶ πατέρα.

pag. 957. Ἀνατρ. Οὐδεὶς εὐσεβὴς λόγος συγχωρήσειε, κἄν τε μυρία δραματουργήσει ἡμῖν Ἀέτιος, ἀμείνους εἶναι τοὺς τὸ εἶναι παρὰ τοῦ [2] ὄντος εἰληφότας. Δἰ αὐτοῦ γὰρ καὶ αὐτὸς ὁμολογεῖ τοὺς αὐτοὺς γεγενῆσθαι. Οὔ τε γὰρ κατὰ προφορὰν [3] λόγου ἴσασι τὸ γέννημα καλεῖν, ἀλλὰ ἀληθινὸν ἐξ ἀληθινοῦ γεγεννημένον, οἱ ἐξ αὐτοῦ εὐεργετηθέντες καταξιωθῆναι Χριστιανοὶ, τῷ εἰδέναι αὐτὸν ἐν ἀληθείᾳ, καὶ διδαχθέντες διὰ πατρὸς, καὶ οὐκ ἀπὸ σαρκὸς καὶ αἵματος, καὶ διὰ τοῦτο εἰκότως μακαριζόμενοι, ὡς ὁ μετὰ προςθήκης τοῦ ζῶντος υἱὸν θεοῦ αὐτὸν ἐπιγνοὺς, κἄν τε πνευματικῶς [4] ἀνακρινόμενοι, ὁ πνεῦμα ὢν καὶ μονογενὴς, τὸν ψυχικὸν Ἀέτιον μὴ παραδεχόμενον τὰ τοῦ πνεύματος, κἄν τε εἴποι, Ἀπέρχομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν, τῶν ἀμφοτέρων τούτων ὀνομασιῶν πρὸς τὰ ἀλλογενῆ ὀνόματα μὴ δυναμένων ἐξισοῦσθαι, τῆς ἀληθείας ἀεὶ μενούσης, καὶ ἑκάστης χρειώδους τάξεως ἐν υἱῷ θεοῦ ἐν ἀληθείᾳ τὸ σαφὲς διδασκούσης. Οὔτε γὰρ, Πατέρα μου καὶ πατέρα ὑμῶν, κατὰ τὴν σάρκα εἰς αὐτοὺς πληρωτέον. Πῶς γὰρ πατὴρ σαρκὸς ὁ θεὸς, ὁ σάρκα μὴ ἐνδυσάμενος; Οὔτε, Τὸν θεόν μου καὶ θεὸν ὑμῶν, κατὰ τὴν τοῦ υἱοῦ θεότητα, καὶ κατὰ τὴν μαθητῶν υἱοθεσίαν πληρωτέον, ἀλλὰ Θεόν μου καὶ θεὸν ὑμῶν, διὰ τὴν ἡμετέραν ἐνανθρώπησιν μυστηριωδῶς ὁ ἀληθεύων ἐν ἅπασι τοὺς μαθητὰς ἠσφαλίζετο. Πατέρα δέ μου καὶ πατέρα ὑμῶν, διὰ τὸ ἐμοῦ πρὸς αὐτὸν κατὰ φύσιν, καὶ ἐμοῦ πρὸς ὑμᾶς [5] ἐπικοινωνίας, ἧς ἐγὼ μὲν κατὰ φιλανθρωπίαν

5. *Vulgo* δἰ αὐτοῦ. *Emendavit Petavius.*

1. *Supra* γέννημα.

2. *Fortasse* ὄντως ὄντος.

3. λόγον *mendum est edit. Petav.*

4. *Huic loco certam qua succurram rationem non habeo. Petavius verba* ὁ πνεῦμα ὢν καὶ μονογενὴς *loco suo esse turbata atque post* κἄν τε εἴποι *collocanda censuit. Cornarius suspicatus esse videtur* ἀνακρινόμενος. *Vertit enim* Sive enim spiritualiter percunctetur spiritus existens unigenitus, animalem Aëtium quae spiritus sunt non suscipientem, sive dicat, Vado ad patrem meum et patrem vestrum, et deum meum et deum

ctum. Nihil autem conferri cum trinitate potest; ob idque consubstantiale re vera est fidei nostrae firmamentum, neque sola pronuntiatione constat, quae cum modo sit, modo desinat, in nihilum redigitur. Talis est de patre, filio ac spiritu sancto Aëtii sententia. Est enim verus utique pater, verus filius, verus spiritus sanctus, quantumvis infinitos ille syllogismos, eosdemque vanissimos, serere contendat. De huiusmodi vero hominibus divinus sermo sic loquitur, *Sapientiam sapientum reprobabo;* item: *Novit dominus cogitationes hominum, quoniam vanae sunt* etc. 1. Cor. 1, 19. Psalm. 93, 11.

Aetii Caput XVII. Si ingenitum nihil ad substantiae dignitatem amplius confert quam genitum filius sola vocabuli pronuntiatione superatus praestantiores se appellantes ipsos agnoscet, non eum qui ipsius deus appellatur, et pater.

Confut. XVII. Quamvis innumeras nobis Aëtius tragoedias excitet, nulla nobis unquam cum pietate coniuncta ratio persuadere poterit praestantiores illos esse qui ab eo qui est ut essent obtinuerunt. Nam ipsius beneficio illos extitisse ille ipse testatur. Atqui singulari illius munere Christianorum dignitatem asseculi sunt, genitam sobolem non sola vocis prolatione, sed verum e vero genitum appellare norunt; eo quod vere ipsum intelligunt, et *a patre sunt, non a carne, vel sanguine perdocti.* Matth. 16, 17. Quam ob caussam felices merito praedicantur; ut inter ceteros apostolus ille, qui viventis addito vocabulo dei filium illum agnovit. Iidem porro animalem Aëtium spiritaliter diiudicant; qui ea quae ad spiritum pertinent repudiat. Ac licet unigenitus dei filius ac spiritus ita loquatur: *Vado ad patrem meum, et patrem vestrum, deum meum, et deum vestrum,* ambae Ioann. 20, 17. tamen appellationes istae alienis ac diversis nominibus adaequari nequeunt, cum perpetuo veritas ipsa permaneat, ac singularum vocum proprius et necessarius ordo rei in filio dei veritatem clare ac perspicue demonstret. Neque enim haec ipsa, *Patrem meum et patrem vestrum,* ad ipsius carnem referenda sunt. Quomodo enim carnis pater deus esse potest, qui carnem nunquam induit? Neque haec, *Deum meum et deum vestrum,* de filii divinitate vel adoptione discipulorum accipienda sunt. Sed haec verba, *Deum meum et deum vestrum,* ob humanam nostram, quam suscepit, naturam non sine mysterio veritatis in omnibus observantissimus ad discipulos praemuniendos usurpare voluit. *Patrem* vero *meum et patrem vestrum* dixit, propter meam cum illo naturae communionem, meamque vobiscum, cuius ego pro mea benignitate hic apud vos degens participes

vestrum, ambae hae appellationes ad alterius generis nomina adaequari non possunt, veritate semper manente *cett.* 5. *Repone* κοινωνίαν.

ἐνδημήσας ἔδωκα ὑμῖν [6] τὸ γενέσθαι, διὰ τοῦ ῥητοῦ, Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. Διόπερ καὶ αὐτὸς παρ᾽ αὐτοῖς γενόμενος μορφὴν δούλου ἔλαβε, προσφάτως προσφάτῳ ἐπικοινωνήσας, τῶν ἀρχαϊζόντων [7] μενόντων ἐν ταυτότητι, καὶ μὴ εἰς σύγχυσιν μεταβαινόντων, υἱῶν μὲν ἀνθρώπων διὰ τῆς μετοχῆς εἰς ἀφθαρσίαν μεταβαλλομένων, ἀλλ᾽ οὐκ εἰς ὁμοουσιότητα συνενουμένων, καὶ τοῦ τὴν μορφὴν δούλου λαβόντος διὰ τοῦ μὲν Λαβόντος, τὸ πρόσφατον δηλοῦντος, διὰ
pag. 958. δὲ τοῦ, Ἐν μορφῇ θεοῦ ὑπάρχοντος, εἰς τροπὴν μὴ παρερχομένου. Τούτων δὲ οὕτως ὄντων, καὶ ἐν τελείᾳ γνώσει οὕτως παρὰ τοῖς θεοδιδάκτοις σαφῶς ὁμολογουμένων, οὔτε τὸ, Θεός μου καὶ θεὸς ὑμῶν, [8] οὔτε, Ὁ πατήρ μου καὶ πατὴρ ὑμῶν, ἀπὸ τῆς κατὰ τὸ εὔλογον ἐπικοινωνίας διὰ τοῦ ὁμωνύμου διοίσει τῆς ἀκραιφνοῦς οὐσίας ἀπὸ τῆς ὑπεροχῆς τῆς ἰδίας ἰδιότητος πατρὸς πρὸς υἱὸν, καὶ υἱοῦ πρὸς πατέρα, καὶ ἁγίου πνεύματος ὡςαύτως.

Κεφάλ. Ἀετίου ιη΄. Εἰ ἡ ἀγέννητος οὐσία κρείττων ἐστὶ γενέσεως, οἴκοθεν ἔχουσα τὸ κρεῖττον, αὐτοουσία ἐστὶν ἀγέννητος. Οὐ γὰρ βουλόμενος ὅτι βούλεται γενέσεώς ἐστι κρείττων, ἀλλ᾽ ὅτι πέφυκεν. Αὐτὸ οὖν ὑπάρχουσα οὐσία ἀγέννητος ὁ θεὸς οὐδενὶ λόγῳ ἐπιτρέπει καθ᾽ ἑαυτῆς γένεσιν ἐπινοῆσαι, ὠθοῦσα φέρεσθαι κατὰ τῶν γεννητῶν πᾶσαν ἐξέτασιν καὶ πάντα λογισμόν.

Ἀνατρ. Τοῖς αὐτοῖς ἡμᾶς σκυλμοῖς περιέβαλεν Ἀέτιος, ταυτολογεῖν ἡμᾶς, ὡς ἔφην, καὶ πολλάκις παρασκευάζων διὰ τὴν ἐξ ὑπαρχῆς ἄχρι τέλους αὐτοῦ περὶ τῶν αὐτῶν ταυτολογίαν. Οὐ γάρ ποτε ἡ πίστις ἡ πάντα πιστὸν σώζουσα ἐκ συλλογιστικῆς ὑπονοίας ἀνθρώπων συνέστηκεν· ἐπειδὴ γὰρ ἐπισφαλεῖς εἰσιν αἱ τῶν ἀνθρώπων διάνοιαι, καὶ οὐ δυνάμεναι πρὸς τὸ ἄπειρον τῆς τοῦ θεοῦ οὐσίας ἐπεκτείνεσθαι. Καὶ γὰρ τὸ πᾶν τῆς σωτηρίας ἡμῶν Χριστοῦ ζωτικὸν μυστήριον Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία, ἡμῖν δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία· ὅτι τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Πῶς οὖν οὐκ ἄν τις τὸν Ἀέτιον ἐν τοῖς Ἰουδαίοις μὲν διὰ τὸ σκάνδαλον τῶν αὐτοῦ συλλογισμῶν καταστήσειεν, Ἕλληνα δὲ διὰ τὸ ἐκ τῆς ἰδίας ἐθελοσοφίας μωρίαν ἡγεῖσθαι τὴν τοῦ θεοῦ ἀλήθειαν; Καὶ γὰρ εἷς καὶ κρείττων πάσης κτίσεως καὶ δη-

6. „Deest κοινωνοὺς, aut simile quid" *annotavit Petavius. Equidem nihil excidisse puto, sed rescribendum* ὑμῖν ἔντος γενέσθαι. *Cornarius vertit* societatem, quam ego amore hominum ductus apud vos praesens dedi vobis ut fieretis, velut dictum est *cett.*

ut esse possetis indulsi. Sic enim scriptum est: *Dedit illis potestatem filios dei fieri.* Propterea cum ille apud ipsos existeret, formam servi suscepit, cum recentiori recens communionem suscipiens; sic ut interim vetera eodem in statu permanserint, neque confusionem ullam passa fuerint. Hominum quippe filii eiusmodi participatione ad incorruptum statum translati sunt, non eadem substantia coniuncti. At cum servi formam filius accepisse dicitur, illud *accipiendi* vocabulum novum aliquid ac recens istud extitisse demonstrat. Quod autem additum est, *cum in forma dei esset,* mutationem nullam intercessisse significat. Quae cum ita sese habeant, ac cum perfecta dei cognitione coniuncta palam ab iis asserantur qui divinitus instituti sunt, neque haec verba, *Deus meus et deus vester,* neque ista, *Pater meus et pater vester,* puram illam ac sinceram dei naturam a consentanea, nec ipso indigna, communione propter vocis ambiguitatem separare poterunt, aut quicquam de proprietatis excellentia detrahent, qua pater cum filio, filius cum patre, ac spiritus sanctus denique comparantur. Ioann.1,12.

Aetii Caput XVIII. Si ingenita substantia generationi praestat, insitam in sese habens excellentiam suapte natura ingenita est substantia. Neque enim cui libitum est pro eo quod libitum est generationi antecellit, sed quod ita natura comparatus est. Quare cum deus per sese ingenita sit substantia, rationi nulli permittit sibi ut generationem affingat, sed inquisitionem omnem et ratiocinationem ad res genitas amandat ac reiicit.

Confut. XVIII. In easdem nos molestias Aëtii importunitas immisit. Qui dum eadem saepius ab initio ad finem usque repetit, eiusdem nobis faciendi necessitatem imposuit. Enimvero fides, quae catholicos omnes ad salutem perducit, humanorum argumentorum subtilitate non constat. Quandoquidem lubrica et in errorem prona sunt hominum ingenia, neque cum infinita dei substantia adaequari possunt. Et vero totum illud salutis nostrae a Christo administratum mysterium, quod hominibus vitam attulit, *Iudaeis scandalum* 2.Cor.1,23.
fuit, gentibus stultitia, nobis vero vocatis Iudaeis et gentibus Christus dei virtus et dei sapientia: quoniam quod stultum est dei sapientius est hominibus, et quod infirmum est dei fortius est hominibus. Quis igitur Aëtium non primo Iudaeis annumeret, quod syllogismis suis aliis offensionis caussam praebeat? tum vero gentilem esse censeat, quod prae affectata sua sapientia divinam veritatem stultitiae condemnet? Etenim unus ille conditor omnium atque artifex omni

7. ἐνόντων *mendose legitur in edit. Petav. Colon. repet.*

8. *Fortasse* οὔτε τὸ, Πατήρ μου.

pag. 959. *μιουργίας ὁ κτιστὴς καὶ δημιουργὸς τῶν ἁπάντων. Οὐ παρὰ τοῦτο, ὅτι ἔστι κρείττων τῶν ὑπ' αὐτοῦ γεγεννημένων, οὐ ποιεῖ καὶ κτίζει τὰ ὑπ' αὐτοῦ γεγονότα· οὐδὲ γὰρ φθονεῖ τῇ ἰδίᾳ ἀγαθότητι. Οἴκοθεν γὰρ ἔχει τὸ αὐτοάγαθον, ὅπερ ἐστὶ πάντων κρεῖττον. Οὔτε γὰρ [1] εἴσω παθῶν περιέχεται, ἢ φθόνου, ἢ βασκανίας. Καὶ τὰ ὄντα ἐξ οὐκ ὄντων ἐτελεσιούργησεν. Οὐ γὰρ [2] τὰ ὑπ' αὐτοῦ γεγονότα, ὑποβεβηκότα δὲ τὴν αὐτοῦ ἀσύγκριτον θεότητα, οὐ καθ' ἑαυτοῦ ἐπενοήθη τὰ ὑπ' αὐτοῦ κτισθέντα, ἀλλ' εἰς δόξαν αὐτοῦ, πρὸς τὸ δεῖξαι τὴν ἄφθονον αὐτοῦ θεότητα, αὐτοαγαθότης οὖσα καὶ αὐτοουσία ἐπικοινωνοῦσα τοῖς ἐξ αὐτοῦ ἐξ οὐκ ὄντων κτισθεῖσι, τὸ εἶναι αὐτὰ θελήσας καὶ μετέχειν τῆς αὐτοῦ ἕκαστον τῶν κεκτισμένων κατὰ τὴν ἀναλογίαν δωρεᾶς ἑκάστης ὑποθέσεως· [3] φωστῆρσι μὲν τὸ φῶς κεχάρισται, οὐρανῷ δὲ τὰ κάλλη τῆς διακοσμήσεως, γῇ τε καὶ τοῖς ἄλλοις κατὰ τὸ αὐτοῦ βούλημα μέρη ἀρετῆς ἐχαρίσατο, ἀγγέλοις τε τὸ δοῦναι αὐτοῖς ἀφθαρσίαν, καὶ ἄλλαις ἁγίαις δυνάμεσιν, ἀνθρώπῳ τε τὸ τῆς εἰκόνος ἀξίωμα καὶ ζωῆς καὶ γνώσεως καὶ λογικοῦ χαρίσματος δῶρον. Καὶ οὐκ ἀπὸ βουλήματος μόνον ὑπῆρξεν αὐτῷ τοῦτο, ὡς ἂν εἴποι τις μελλητικῶς, ἢ [4] κατὰ μετάμελον ἢ συμβουλευτικὸν λογισμὸν, ἀλλὰ κατὰ τὸ αὐτοάγαθον. Πέφυκε γὰρ [5] αὐτοάγαθον συμπρεπόντως αὐτῷ τὰ πάντα ἔχων καὶ ποιῶν καὶ ἐργαζόμενος. Ὥσπερ οὖν τῇ αὐτοῦ ἀγαθότητι οὐκ ἀπρέπειαν τοῦτο περιεποιήσατο, ἀλλὰ δόξαν καὶ γνῶσιν ἐπαίνου ἀφθονίας τοῖς ὑπ' αὐτοῦ γεγονόσιν εἰς εἴδησιν καὶ αἴσθησιν [6] ἐλθὸν, οὕτω καὶ δόξα ἐστὶν οὐ προσληπτικὴ τῆς αὐτοῦ θεότητος (οὐ γάρ ποτε [7] ἐνδεῖται τὸ θεῖον προσθήκης δόξης, ἀλλὰ αὐτοδόξα καὶ αὐτοαρετὴ καὶ αὐτοθαῦμα καὶ αὐτουμνηγορία) τὸ τὸν πατέρα γεννῆσαι, εἰ καὶ αὐτὸς οὐ γεγέννηται· ἵνα ἐκ πηγῆς ἀεὶ οὔσης ἀΐδιος πηγὴ συνυπάρχων ἐξ αὐτοῦ οὖσα πηγὴ ἐκ πηγῆς, καὶ θεὸς ἐκ θεοῦ, καὶ φῶς ἐκ φωτὸς, οὐκ ἀρξάμενος τοῦ εἶναι, οὐ χρόνῳ ὑποπεσὼν, ἀλλ' ἅμα πατέρα ἔχων ἀληθινῶς, καὶ ἅμα τὸν πατέρα υἱὸν ἔχοντα ἀληθινῶς, οὐκ ἀποπρεποῦντα πατρὶ, οὐ τὸ ἀσύγκριτον ἀφανίζοντα.*
pag. 960. *Οὐ γὰρ ἔστι σωματική τις διαστολὴ, ἀλλὰ λόγος ἐνυπόστατος, θεὸς ἐκ πατρὸς ὢν, πνεῦμα ἐκ πνεύματος, καὶ θεὸς ἐκ θεοῦ, ἀποκλείων πᾶσαν συλλογιστικὴν ὑπόνοιαν, εἰς ζωὴν ὢν πιστοῖς καὶ ὅλοις τοῖς ὑπὸ τοῦ πατρὸς δι' αὐτοῦ καὶ ἀπ' αὐτοῦ γεγονόσι, τοῖς πιστεύουσι καὶ γινώσκουσι καὶ μὴ μωρίαν ἡγουμένοις θεοῦ τὴν δύναμιν καὶ θεοῦ*

1. ἴσω *codd. mss.* ἴσως *ed. princ.*
2. τὰ *om. in ed. Petav. Colon. repet.*
3. *Distinguendum fortasse est* κεκτισμένων. Κατὰ τὴν ἀναλογίαν δωρεᾶς ἑκάστης ὑποθέσεως φωστῆρσι μὲν *cett.*
4. *Correxi* κατὰ μετάμελον. *In libris mss. et ed. princ. legitur* κατάμελον, *ed. Petav. habet* κατὰ μέλλον. *Ita supra haer.* 66, 47. ἀλλὰ καὶ δεύτερον, *dixit,* ἀπεσταλμένον εἰς τὸ σῶσαι, ὅπερ φάσκεις αὐτὸς εἶναι πνεῦμα ζῶν, κατὰ μετάμελον; *uti haer.* 64, 30 (23), εἰ δὲ ἐκ μεταμέλου τοῦτο φαίη περιπεποιηκέναι τὸν θεὸν ὁ ἀντιλέγων κτλ.
5. αὐτοάγαθος *coniectavit Petavius.*
6. ἐλθὸν *emendatio Petavii est. Libri*

creatura opificioque praestantior. Non propterea quod productis a se omnibus antecellit, non eadem ista molitur ac procreat. Neque enim quae illius est bonitas, invidia tangitur, quandoquidem ipsam in se bonitatem complectitur, quae res una ceteris praestat omnibus. Neque perturbationibus obnoxius est, velut invidiae, livori etc. Quare quaecumque demum existunt, e nihilo perfecit. Nam quae ab ipso condita sunt, quaeque incomparabili eius divinitate longe inferiora sunt, non adversus ipsum excogitata fuerunt, sed ad eius honorem ac gloriam, ut magnificam et invidiae expertem illius divinitatem indicent. Quae quidem ipsamet est bonitas et substantia, quae cum iis rebus quas e nihilo creavit sua communicat, easdemque et esse vult et unamquamque pro naturae suae conditione suorum beneficiorum esse participem. Unde et sideribus lucem impertitus est, et coelo descriptionis ordinisque pulchritudinem, et terrae, ceterisque, pro eo ac voluit partem aliquam virtutis attribuit, et angelis ac reliquis sanctis mentibus immortalitatem concessit, et hominem denique imaginis dignitate, vita, scientia, ac rationis proprio munere donavit. Quod quidem ipsum non illius in sola voluntate positum fuit, quasi cunctando, et in futurum deliberando, ut ita dicam, apud se tractaret, sed pro ipsamet, quae in illo est, bonitate perfecit; cuius hoc proprium est, ut congruenter sibi contineat, efficiat ac molitur omnia. Quemadmodum igitur quod dictum est, nihil indignum aut indecens bonitati eius aspersit, sed gloriam ac cum praedicatione coniunctam largitatis suae notitiam peperit, ubi ad eorum quos condidit cognitionem sensumque pervenit, ita et summa in eo divinitatis gloria est, non illa quidem extrinsecus adscita (nec enim divinum numen accessionem ullam requirit, quippe cum ipsamet gloria sit, virtus ipsa, admirabilitas ipsa, ipsa praedicatio), hoc inquam in illius gloriam cedit, quod pater ipse generet a nullo genitus, ut ex perenni fonte perennis aeque fons emanet, cum ipso et ex ipso, e fonte, inquam, fons existens, deus ex deo, lumen de lumine, qui sine ullo initio semper fuit, non subiectus tempori, adeo ut et patrem filius in se vere sit complexus, et pater filium, qui nec illo indignus est, nec incomparabili eius excellentiae quicquam detrahit. Siquidem non corporea quaedam distractio locum illic habet, sed verbum subsistens, deus a patre procedens, spiritus a spiritu, deus ex deo, omnes syllogismorum argutias excludens, ac fidelibus vitam concilians, universisque quos pater per ipsum et ab ipso produxit, fide nimirum, et cognitione praeditis, qui dei vim ac sapientiam, quae inquisitionem

vulgo habent ἐλϑών. 7. ἐνδεεῖται *codd. mss. et edit. princ.*

τὴν σοφίαν, τὴν ὑπερβαίνουσαν [8] πᾶσαν ἐξέτασιν καὶ πάντα λογισμὸν, μάλιστα φθαρτῶν ἀνθρώπων, ὡς καὶ αὐτὸς Ἀέτιος ἄκων ὡμολόγησεν.

Κεφάλ. Ἀετίου ιθ'. Εἰ στερήσεώς ἐστι δηλωτικὸν ἐπὶ θεοῦ τὸ ἀγέννητον, μηδὲν δὲ εἴη τὸ ἀγέννητον, ποῖος λόγος ἂν ἀφαιρήσειε τοῦ μὴ ὄντος [1] τὸ μηδέν; Εἰ δὲ ὂν σημαίνει, τίς ἂν [2] ὁρίσειεν [3] ὄντος θεοῦ ὅπερ ἐστὶν αὐτὸς ἑαυτοῦ;

Ἀνατρ. Τὰ κατὰ στέρησιν λεγόμενα παρὰ τοῖς ἔξω διαλεκτικοῖς φέρει ἡμῖν Ἀέτιος ὡς ἐπὶ θεοῦ εἰδήσεως καὶ ὠφελείας τοῦτο διαλαμβάνων, πρότερον ἀγνοήσας ἐπὶ τίσι παρὰ τοῖς ἔξω τὸ στερητικὸν λαμβάνεται. Οὐ γὰρ παρὰ πᾶσι ἐνδέχεσθαι τὸ κατὰ στέρησιν λέγεσθαι βούλονται οἱ τῶν διαλεκτικῶν λόγοι, ἀλλ' ὡς ἐπὶ τοῖς κατὰ φύσιν τι κεκτημένοις. Τούτοις γὰρ ἐπὶ τἀναντία ἐνδεχομένοις ἵστασθαι τῶν κατὰ φύσιν αὐτοῖς ὑπαρχόντων τὸ κατὰ στέρησιν λέγεται, ἐπὶ δὲ τῶν μὴ ἐνδεχομένων οὐκέτι. Οἷον τὸ Τυφλὸς ἐπὶ τοῦ λίθου οὐκ ἂν εἴποι τις (ὁ γὰρ πεφυκὼς ὁρᾶν, εἶτα ἀποβαλὼν τὸ ὁρᾶν, τυφλὸς ἀκούει· εἰ μέν τοί γε πετεινὸν, ἢ ἄνθρωπος, ἢ κτῆνος, ὅτι πεφυκὸς ὁρᾶν, ὅτε ἐστέρηται, τυφλὸν στερητικῶς λέγεται), οὕτως καὶ τὸ Ἀόργητον οὐκ ἂν εἴποιμεν τὸν λίθον, ἢ τὸ Ἄκακος, ἢ [4] τὸ Ἄφθονος· οὐ γὰρ πέφυκεν· ἐπὶ μέν τοι ἀνθρώπου καὶ κτήνους τοῦ πεφυκότος ὀργίζεσθαι, ὅτε μὴ ὀργίζοιτο, εἴποι ἄν τις κατὰ στέρησιν, ἐπὶ δὲ τῶν μὴ ἐνδεχομένων οὐκ ἂν ἔτι.

Οὕτω καὶ ἐπὶ τοῦ θεοῦ [5] ληπτέον, ὡς πρὸς τὸν Ἀέτιον ἀποτεινομένου τοῦ λόγου, καὶ ἐρωτικῶς ἐξετάζοντος. Λέγε ἡμῖν, ὦ Ἀέτιε, οἶδας ἀσύγκριτον πρὸς τοὺς πάντας τοὺς μὴ ὄντας ἐκ τῆς αὐτῆς pag. 961. οὐσίας, ἢ καὶ αὐτὸν σὺν τοῖς ἅπασιν ἀριθμεῖν τολμήσειας; Καὶ εἰ μὲν [6] τοῖς πᾶσι τοῦτον ἀριθμήσειας, τοῖς μὴ ἐκ τῆς οὐσίας [7] αὐτοῦ οὖσιν, ἀλλ' ἐξ οὐκ ὄντων ὑπ' αὐτοῦ διὰ τοῦ ὄντος ἐξ αὐτοῦ κατ' οὐσίαν γεγεννημένοις, πάρεξ μόνου αὐτοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου, τοῦ ἐκ τῆς οὐσίας τοῦ ἀσυγκρίτου πατρὸς καὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ ὄντος, ἀτοπωτάτη ἂν εἴη σου ἡ ὁμολογία. Πῶς γὰρ ἔτι εἷς ἐκ τῶν πάντων ἐξ οὗ πάντα ἐξ οὐκ ὄντων [8] γεγένηται; ἀδύνατον γὰρ τοῦτο,

8. πᾶσαν ἐξέτασιν *correxerunt ex superioribus Cornarius et Petavius. Libri, tam scripti quam editi, habent* συνεξέτασιν.

1. τὸ *omissum est supra.*

2. *Supra extat* χωρήσειεν ὄντος ὅπερ ἐστὶν, αὐτό γε αὐτοῦ;

3. ὄντως Θεὸν *codd. mss. uterque. Scribendum fortasse* τίς ἂν χωρίσειεν ὄντως Θεὸν, ὅπερ ἐστὶν αὐτὸς, ἑαυτοῦ;

4. *indefessum vertit Cornarius.*

5. ληπτὸν *codd. mss. et edit. princ.*

6. *Scribendum aut* ἐν τοῖς, *ut voluit*

omnem ac rationem corruptibilium praesertim hominum superat, ut vel invitus ipse confitetur Aëtius, stultitiae non adscribunt.

Aetii Caput XIX. Si ingeniti vox privationem in deo significat, nihilque plane sit ingenitum, quaenam ratio ab eo, quod non est, nihil possit auferre? Sin existens quicpiam sonat, quis ab eo, quod est idipsum quod est, hoc est ipsum a semetipso, secernat?

Confut. XIX. I. Quae privantia dialecticis nominantur, in medium nobis affert Aëtius, et ad dei scientiam atque intelligentiae fructum aliquem transferre conatur. Sed illud inprimis ignorat, quibus rebus significandis privationis vocabulum a philosophis impositum sit. Neque enim privatione affecta promiscue dici omnia dialecticorum regulae patiuntur, sed ea solum quae natura sua aliqua re praedita sunt. Haec enim cum naturae suae contrarium in statum aliquando redigantur, tum demum privari dicuntur; quorum vero naturalis illa conditio mutari non potest, ad ea vox ista nequaquam convenit. Ita lapidem nemo caecum appellaverit. Hoc enim vocabulum ei soli tribuitur qui quem a natura sortitus est videndi sensum amiserit, uti volucres, homines, pecudes, quae visu, quem habent a natura, spoliata privativa voce caeca nominantur. Sic et iracundiae, vel malitiae, vel invidiae lapidem nemo dicat expertem, quoniam ad haec natura minime comparatus est. Ad hominem vero, sive pecudem, quae iracundiae capacia sunt, cum ea carebunt, privantia illa nomina transferri poterunt, ad cetera non item.

II. Eodem modo et in deo istud accipiendum est. Atque ut ad Aëtium nostra convertatur oratio, libet hunc in modum interrogare. Dic sodes, Aëti, Utrumnam illum cum ceteris omnibus qui eadem e substantia non sunt comparari putas posse, an cum iis annumerare non dubites? Si in aliorum coetum numerumque retuleris qui non ex ipsius substantia sunt, sed e nihilo per eum qui ab ipsomet secundum substantiam ortus est ab illo procreati sunt, a quibus solus eximendus est filius cum spiritu sancto, qui ex incomparabilis patris et unigeniti eius filii substantia processit: si ad ceterorum, inquam, conditionem abieceris, nihil fidei professione tua esse potest absurdius. Quî enim unus ex omnibus erit, a quo sunt e nihilo cuncta producta? Fieri illud utique non potest; neque tute

Petavius, aut ἐναριθμήσειας *pro* ἀριθμήσειας, *quod pari iure licebit.*

7. αὐτοῦ *vitium est ed. Petav. Colon. repet.*

8. γεγέννηται *cod. Rhedig.*

καὶ οὐδ' αὐτὸς τοῦτο λέξειας. Μὴ ἐνδεχομένου δὲ τοῦ αὐτὸν εἶναι ὅμοιον, ἢ ἴσον τοῖς ἐξ αὐτοῦ ἐξ οὐκ ὄντων γεγονόσιν, ἀνένδεκτόν ἐστι τὰ ὅμοια αὐτὸν πάσχειν τοῖς ἀνομοίοις αὐτῷ, οἷς τὸ εἶναι αὐτὰ ἐξ αὐτοῦ ἐξ οὐκ ὄντων, καὶ πάντα τὰ ἐν αὐτοῖς, οἷς συμβαίνει κατὰ στέρησιν εἶναι τὸ ἐναντίον. Τὰ μὲν γάρ ἐστιν [9] ὁρῶντα οὐκ ἀφ' ἑαυτῶν· οὔτε γὰρ καὶ τὸ εἶναι ἀφ' ἑαυτῶν ἐσχήκασιν, ἀλλὰ κατὰ δοτικὴν χάριν τοῦ δεδωρημένου, ἐν οἷς συμβαίνει τὸ πάθος κατὰ στέρησιν τῶν ἐν αὐτοῖς ὑπαρξάντων κατὰ τὴν δόσιν τοῦ δεδωρημένου, τοῦ ἀπαθοῦς, καὶ οὐκ ἔκ τινος ἔχοντος τὸ εἶναι, οὐδὲ δυναμένου στερίσκεσθαι τοῖς ἐξ οὐκ ὄντων ὑπάρξασιν. Εἰ οὖν οὐκ ἴσος ἐκεῖνος ὁ υἱὸς, ἢ ὁ πατὴρ, ἢ τὸ ἅγιον πνεῦμα τούτοις, ἄλλος δέ ἐστιν ὁ υἱὸς παρὰ τούτους, οὐ τῇ ἴσῃ ὀνομασίᾳ κικλησκόμενος, ἐξαίρετον δὲ καὶ ἀσύγκριτον ὄνομα ἔχων, αὐτοαγαθὸν ἀπὸ τοῦ αὐτοαγαθοῦ ὄντος, τίς ἂν ἡ συμπλοκὴ πρὸς τὸ στερητικὸν [10] ἐχούσης ἀντίθετον; [11] Περιττὸς γὰρ ὁ τοῦ τὸ στερητικὸν εἰςενέγκαντος ἡμῖν Ἀετίου λόγος τοῦ ἀγεννήτου θεοῦ καὶ γεννητοῦ υἱοῦ, οὐ κατὰ στέρησιν τὴν τῶν κτισμάτων ἔχοντος τὸ ὑπάρχον ἀξίωμα, ἀλλὰ κατὰ τὸ αὐτομάτως καὶ ἰδιαζόντως καθ' ἑαυτὸ συμπρέπον τῇ ἑαυτοῦ οὐσίᾳ τε καὶ θεότητι. Ὡς ἐπὶ τοῦ ἀόργητος, οὐ διὰ τὸ ὀργίζεσθαι, ἀλλὰ διὰ τὸ αὐτοαόργητον, καὶ τὸ ἀγέννητος διὰ τὸ [12] αὐτοαγέννητον, κἄν τε ὁ υἱὸς γεννητὸς εἴη ἀπὸ τοῦ ἀγεννήτου· τῆς κατὰ στέρησιν λέξεως ματαίως κειμένης ἐπὶ τῷ ἀσυγκρίτῳ πρὸς τοὺς ἄλλους, κατὰ τὸν νοῦν τούτου τοῦ ὑποβάλλοντος. Οὔτε γὰρ τὰ ἄλλα τῷ γεγεννημένῳ ἰσάζεται, οὔτε ὁ ἀγέννητος τοῖς κεκτισμένοις τὸ
pag. 862. ὁμοούσιον μεταδίδωσιν· οὐκ ἀδυνάτου τοῦ δυνατοῦ κατηγορουμένου, ἀλλὰ τῶν ἀδυνάτων πρὸς τὸ δυνατὸν μὴ ἐπεκτεινομένων, διὰ τὸ ἐξαίρετον τοῦ ἑνὸς θεοῦ, καὶ τοῦ ἐξ αὐτοῦ μονογενοῦς υἱοῦ, σὺν τῷ ἁγίῳ πνεύματι.

Κεφάλ. Ἀετίου κʹ. Εἰ αἱ στερήσεις [1] τῶν ἕξεων αὐτῶν εἰσιν ἀφαιρέσεις, τὸ ἐπὶ θεοῦ ἀγέννητον ἤτοι στέρησίς ἐστιν [2] ἕξεως, ἢ ἕξις στερήσεως. Ἀλλ' εἰ μὲν στέρησίς ἐστιν ἕξεως, πῶς ἂν τὸ μὴ προσὸν [3] ὡς προσὸν τῷ θεῷ συναριθμηθήσεται; Εἰ δὲ ἕξις ἐστὶ τὸ ἀγέννητον, ἀνάγκη προϋποθέσθαι γεννητὴν οὐσίαν, ἵν' οὕτως ἕξιν προςλαβοῦσα ἀγέννητος ὀνομάζηται. Εἰ δὲ [4] γεννητὴ ἀγεννήτου οὐσίας μετέσχεν,

9. ὄντα *suspicatus est Petavius. Retinui vett. librorum scripturam respectu exempli de caeco sumpti quo paulo superius usus erat.*

10. *Corrigendum videtur* ἔχον οὐσίας ἀντίθετον. *Cornarius vertit* quaenam fuerit ea complicatio quae ad privationem opposite se habet?

11. Περιττὸς *emendarunt Cornarius* (*vertens* Corruit enim Aetii sermo) *et Petavius. Libri habent* Περί τε.

unquam hoc asserueris. Quare cum iis quae procreavit e nihilo similis et aequalis esse nequeat, eadem cum sui dissimilibus pati nulla ratione poterit; quibus hoc convenit, ut e nihilo tam ab illo ipsa producta sint, quam quae ipsis insunt, quibus per privationem accidunt contraria. Haec enim omnia minime a seipsis existunt, sed ex benigna dantis largitione; quibus etiam utpote e nihilo productis pati aliquid contingit, cum iis ipsis rebus privantur, quae a largitore illo communicatae fuerant; qui neque pati aliquid potest, et a nullo alio habet ut sit, neque privari ullo modo potest. Quapropter cum aequalis illis non sit filius, uti neque pater, neque spiritus sanctus, ac diversus sit ab istis filius, quibus cum eadem appellatione minime continetur, sed eximium nomen habet et excellens, ut ipsummet bonum ab eo qui ipsummet perinde bonum est profectum dicatur, quaenam esse potest cum iis quae oppositam ex adverso privationem habent commistio? Supervacanea igitur est Aëtii privationem nobis invehentis oratio. Nam ingenitus deus ac genitus filius non ex creatarum rerum privatione dignitatem obtinent suam, sed ex eo quod sponte sua, peculiariter, ac per sese substantiae suae divinitatique congruit. Ita cum expers irae dicitur deus, non id ab ira ipsa petitur, sed ex eo quod ira per sese vacat. Sic etiam ingenitus appellatur, quod existat a seipso, licet ab eodem ingenito filius sit ipse genitus. Itaque frustra est apposita illa vocabulo negatio, cum ad eum transfertur qui cum ceteris vel ex ipsius qui mentionem huius fecit opinione comparari non potest. Non enim cetera adaequari cum genito possunt, nec ingenitus suam cum creatis rebus substantiam communicat. Quod non ulla praepotentis imbecillitate fieri putandum est, sed eo videlicet quod imbecilla cetera ad praepotentem usque provehi nequeant, ob unius dei et ab ipso procedentis unigeniti filii cum spiritu sancto singularem maiestatem ac praestantiam.

Aetii Caput XX. Cum privationes ablationes sint affectionum, quod in deo est ingenitum, vel affectionis privatio est, vel affectio privationi contraria. Igitur si affectionis privatio est, quomodo id quod non inest deo tanquam insit tribuitur? At si affectio quaedam est ingenitum, genitam substantiam existere ante, ac velut substerni necesse est, ut affectione illa ad eam accedente ingenita nominetur. Si vero genita substantia ingenitae particeps fuit, affe-

12. *Libri habent* αὐτογέννητον.

1. τῶν *abest supra, inserto* αὐτῶν *post* ἕξεων.

2. *Supra vulgo* ἕξεων. *In codd. mss. et in edit. princ. desiderantur verba* ἕξεως, ἢ ἕξις στερήσεως. Ἀλλ' εἰ μὲν στέρησίς ἐστιν, *quae Petavius ex superioribus supplevit.*

3. ὡς προςὸν *abest supra.*

4. ἡ γεννητὴ *supra.*

ἕξεως ὑπομείνασα ἀποβολὴν ἀγεννησίας ἐστέρηται. Εἴη ἂν οὖν οὐσία μὲν γεννητὴ, τὸ δὲ ἀγέννητον ἕξις. Εἰ δὲ τὸ γέννημα παρόδου ἐστὶ δηλωτικὸν, δηλονότι ἕξεώς ἐστι σημαντικὸν, ἄν τε μεταπέπλασται ἐξ οὐσίας τινὸς, ἄν τε τοῦτό ἐστιν ὃ λέγεται γέννημα.

Ἀνατρ. Ἤδη μὲν οὖν περὶ στερητικῆς ὑποθέσεως πολλὰ συμμαχεσάμενος ὁ Ἀέτιος τοῖς ἀπὸ τῆς πίστεως ἀλλοτρίοις, καὶ αὐτὸς ἴσα ἐκείνων κατὰ τῆς πίστεως ἐξωπλίσατο, οὐδὲν ἀπὸ πίστεως λέγων, οὐδὲ μεμνημένος τοῦ ῥητοῦ πρὸς τοὺς ἀφ᾽ ἑαυτῶν κενολόγους φωνοῦντας, καὶ οὐ κρατοῦντας τὴν ἀρχὴν τῆς πίστεως, ὡς πρὸς αὐτοὺς διελεγκτικῶς ὁ λόγος φησὶ, Εἶπον ἐγὼ ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης· μετὰ καὶ τοῦ, Ἐταπεινώθην σφόδρα. Νῦν δὲ αὖθις τοῖς αὐτοῖς κατατριβόμενος, στερήσεως, ὀνομασίας τε καὶ ἕξεως, καὶ συλλογισμῶν ἀνθρωπίνης σφαλερᾶς ὑπονοίας, φόρτον προβαλλόμενος, καὶ πνευματικῶς ἀνακρινόμενος ἑαυτοῦ [5] φείδεται ἀνακύψαι τὸ ἴδιον ὅρμημα τῆς ἐξ ἀνθρωπίνης πανουργίας, [6] ἀφεὶς περὶ θεοῦ λέγειν ἃ βούλεται. Ἀλλὰ καὶ ἡμᾶς, καίπερ πολλὰ περὶ στερητικῶν διαλεχθέντας, ἀναγκάζει πάλιν τοῖς αὐτοῖς ἐμμένειν, καὶ ἐν ταῖς πρὸς αὐτὸν ἀνατροπαῖς κατατρίβεσθαι. Καὶ ἦν μὲν ἱκανὴ ἡ πρὸ ταύτης ἀνατροπὴ δυναμένη, διὰ τὸ ὁμόρροπον καὶ ὁμώνυμον τοῦ συλλογιστικοῦ αὐτοῦ λόγου, κατὰ [7] τῶν ἀμφοτέρων φέρεσθαι. Ἀλλ᾽ ἐπεὶ [8] δεῖ μήτε ἵππον σιδηρόστομον ἀχαλίνωτον ἐᾶν, κἄν τε κατὰ βαράθρων φέρηται, κἄν τε ἀπὸ τοῦ ὁρμήματος ἤδη ἀνεκρούσθη, οὔτε ἀνδρὶ κατὰ τῆς πίστεως τὰ αὐτὰ λέγοντι συγχωρεῖν, καὶ μὴ πρὸς αὐτὸν λέγειν, αὖθις ἐροῦμεν ὅτι, εἰ μὲν αἱ στερήσεις ἕξεών εἰσιν ἀφαιρέσεις, τὸ ἐπὶ θεοῦ ἀγέννητον ἤτοι στέρησίς ἐστιν ἕξεως, ἢ ἕξις στερήσεως, καὶ πάλιν, εἰ μὲν στέρησίς ἐστιν ἕξεως, πῶς ἂν τὸ μὴ προσὸν ὡς προσὸν τῷ θεῷ συναριθμηθήσεται;

pag. 963.

Καὶ ἢ τοιούτως ἢ τοιούτως περὶ θεοῦ σε διανοεῖσθαι, ὦ Ἀέτιε, καὶ ἕξεις περὶ τὸν θεὸν τοπάζειν, ἔσται σοι μὲν ἡ διάνοια [9] στερισκομένη. Ὅσα γὰρ [10] ἂν ἐπαναβῇ ἡ καρδία σου πρὸς θεὸν ἀποτίθεσθαι, πλὴν μόνου τοῦ πιστεύειν καὶ ὑπερθαυμάζειν, καὶ ἐξ ὅλης διανοίας δοξάζειν, ἐλεγχθήσῃ, θεὸν μὲν μὴ δυνάμενος συλλογίζεσθαι, μήτε τὸν αὐτοῦ υἱὸν, μήτε τὸ ἅγιον αὐτοῦ πνεῦμα, ἵνα μή σε ὁ θεὸς ἐλέγξῃ, καὶ ψεύστης γένῃ, κατὰ τὸ γεγραμμένον. Ἐν ἡμῖν γὰρ καὶ ἕξεις καὶ

5. οὐ φείδεται *coniecit Petavius. Cornarius vertit* et spiritualiter percunctans seipsum, eo enititur ut proprium suum propositum relidat, ex humana versutia, a qua de deo dicit quae vult.

6. ἀφεὶς *emendavit Petavius.* ἀφ᾽ ἧς *librorum scriptura est.*

7. τὴν *cod. Rhedig.*

8. ἐπεὶ δεῖ *correxerunt Cornarius atque Petavius.* ἐπειδὴ *praebent libri tam*

ctionis iactura facta conditionem amisit ingeniti. Quare substantia quidem genita fuerit, ingenitum autem affectio. Quod si genita soboles transitum quendam significat, non dubium est affectionem indicare certam, sive quadam e substantia mutatione conformata sit, sive hoc ipsum est genita soboles quod esse dicitur.

Confutat. XX. I. Iamdudum de hoc privationis negotio multa cum iis qui a recta fide alieni sunt consentanee dixit Aëtius, eodemque cum illis studio oppugnandi catholici dogmatis elatus est, adeo quidem, nihil ut e sincerae fidei praescripto pronuntiet, nec illius sententiae meminerit quae adversus eos contorquetur qui ex ingenio suo pleraque inaniter effutiunt, neque ad fidei principium adhaerescunt. Quos quidem his verbis scriptura condemnat: *Ego dixi in excessu meo, Omnis homo mendax;* item, *Humiliatus sum nimis.* Nunc autem in iisdem sese versans, privationis affectionisque vocum, et humanae ac lubricae opinionis argumentorum onus et molestiam praeferens, ac spiritaliter diiudicatus proprium animi impetum ab humana calliditate profectum inhiberi non patitur, eique ut de deo quae velit eloquatur laxis habenis permittit. Quin et nos quoque post multa de privationibus verba facta ad idem retractandum ac refutandum impellit. Sufficere quidem poterat quod ad eum refellendum in superiori confutatione diximus, quod propter eandem argumentorum vim ac similitudinem ambobus opponeretur. Sed quoniam neque contumacis oris equum infraenatum relinquere par est, sive per praecipitia feratur, sive concitatum cursum represserit, neque ei homini qui eadem adversus fidem inculcat cedere oportet, ut non ei contradicatur, hunc in modum idcirco disputabimus: Si privationes quidem affectionum quaedam ablationes sint, ingenitum, quod deo tribuitur, vel affectionis quaedam privatio est, vel affectio privationi opposita. Item, si privatio affectionis est, quonam pacto id quod non inest deo tanquam insit tribuitur?

Psalm. 115, 11.

II. Ad hunc igitur, vel ad istum modum cogitare potes, Aëti, ac de deo coniecturam capere, tua vero nihilominus in privatione mens versabitur. Etenim quantavis se contentione animus tuus ad deum erigat, si solam fidem et admirationem, et enixam ex toto pectore praedicationem excipias, eo tandem redigeris ut appareat deum te ratiocinationibus assequi minime potuisse, nec ipsius filium, nec spiritum sanctum, ne te convincat deus ac mendacii redarguat, ut scriptum est. Ergo et affectiones in nobis, et vo-

scripti quam editi.

9. στερισχομένη *cod. Ien. et editi libri.* περισχόμενη *cod. Rhedig.* περικεχομμένη *marg. ed. Petav. (est cod. Paris., ni fallor, ea scriptura). Fortasse corrigendum* παρακεχομμένη.

10. δ'ἂν (δἂν *cod. Rhedig.*) *codd. mss. et edit. princ.*

τὰ θελήματα καὶ αἱ διάνοιαι σφαλεραὶ, ἐπειδὴ φύσεώς ἐσμεν καὶ οὐσίας τοιαύτης. Φύσις δὲ λέγεται καὶ οὐσία θεοῦ. Καὶ οὐ παρὰ τὸ φύσιν καὶ φύσιν ἡμᾶς ἀκούειν, καὶ [11] οὐσίαν καὶ οὐσίαν, χρὴ τὸν ἀσύγκριτον θεὸν τῇ ἡμετέρᾳ συγκρίνειν φύσει. Οὕτως καὶ ἐπὶ πᾶσιν οἷς ἐὰν εἴπῃς περὶ θεοῦ, ὦ Ἀέτιε, αὐτὸ ὅλον ἐστὶν ἀσύμπλοκον, ἀσύγκριτον, τέλειον ἐν ἑαυτῷ, μὴ ἐπιδεόμενόν τινος· αὐτοαίσθησις γάρ ἐστι, καὶ αὐτοθέλημα. Διὸ ἀσύγκριτον μονογενῆ υἱὸν ἀσυγκρίτως γεννήσας οὔτε τῆς ἑαυτοῦ ἐστέρηται οὐσίας, οὔτε τῆς [12] ἑαυτοῦ τὸν γεγεννημένον μόνον ἐκ μόνου, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, μὴ ἔχοντα πρὸς τὰ ἄλλα ἰσότητα ἢ ἀξιώματος, ἢ φύσεως, ἢ ἑτέρας τινὸς ὑποθέσεως· οὐχ ἑαυτὸ ἐστέρησεν, οὔτε κατὰ ἕξιν, οὔτε κατὰ οὐσίαν τῆς ἀσυγκρίτου αὐτοῦ θεότητος, οὔτε τὸ ἐξ αὐτοῦ, ὡς ἔφην, γέννημα ἐστέρηται τῆς τοῦ πατρὸς ἀξίας καὶ ἰσότητος, ἀσύγκριτον ὂν, καὶ τὸ
pag. 964. ἅγιον αὐτοῦ πνεῦμα πρὸς πᾶν ὁτιοῦν ὅπερ ἐστὶ τριὰς τελεία, τέλειος ὁ πατὴρ, τέλειος ὁ υἱὸς, τέλειον τὸ ἅγιον πνεῦμα, οὐ [13] συναλιφή τις οὖσα, οὐδὲ πρὸς ἑαυτὴν διαφυρομένη, οὐδέ τι ἐν ἑαυτῇ ἔχουσα ὑποβεβηκὸς, ἵνα μὴ τὸ διακρινόμενον ἀφανίζῃ τὸ ἀσύγκριτον, καὶ τὸ ἠλλοιωμένον στέρησιν τοῦ εἶναι ἐργάσηται, ἕξει μόνον λεγόμενον, καὶ οὐκ ἀληθείᾳ, ἢ ὡς ψιλῷ λόγῳ ὀνομαζόμενον ἐν παρόδῳ, καὶ μὴ ὄν, ὡς ἡ σὴ πάντως περινοεῖται διάνοια, ἀποξενῶσαι πειρωμένη τοῦ τῆς πίστεως λόγου, [14] ὅτι πιστεύειν δεῖ τὸν προςερχόμενον θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται· ὅπερ ἐν πατρὶ μόνῳ οὐ δύναται τελειωθῆναι. Ὁ γὰρ μὴ ἔχων τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει, καὶ ὁ τὸν υἱὸν λέγων οὐ δύναται ἐκτὸς πνεύματος ἁγίου.

Ἔστι γὰρ ὡς ἀληθῶς ὁ πατὴρ ἀληθινὸς θεὸς, ὡς μαρτυρεῖ ο υἱὸς, ὁ εἰδὼς τὸν πατέρα. Καὶ ἀληθινὸν φῶς ὁ υἱὸς, ὁ γινωσκόμενος ὑπὸ τοῦ πατρὸς, καὶ μαρτυρούμενος. Καὶ πνεῦμα ἀληθείας τὸ πνεῦμα, τὸ οὐκ ἀλλότριον ὄν, ἀλλ' ἀπὸ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον. Ταῦτα δὲ ἀφαιρεῖται πᾶσάν σου [15] τῶν λόγων, Ἀέτιε, συλλογιστικὴν μυθολογίαν, καὶ οὐκ ἐνδέχεται ἡμᾶς προτρέψασθαι μαθητὰς γενέσθαι Ἀριστοτέλους τοῦ σοῦ ἐπιστάτου, καὶ ἐᾶσαι τὸν τῶν ἐν πνεύματι θεοῦ πεφωτισμένων ἁλιέων [16] ἀγραμμάτων ὄντων κατὰ τὸν λόγον, καὶ ἰδιωτῶν, κηρύκων δὲ ὄντων τῆς ἀληθείας

11. οὐσίας καὶ οὐσίας *cod. Rhedig.*
12. ἑαυτοῦ τὸν *scripsi Cornarium secutus*, *qui vertit* qui genitus est solus ex solo. ἑαυτοῦ τὸ *placuit Petavio. A libris vulgo abest articulus post* ἑαυτοῦ, *pro quo in cod. Rhedig. legitur* αὐτοῦ.
13. συναλιφὴ *codd. mss. et ed. princ. ubique, perpaucis locis exceptis.* συνα-

luntates, et cogitationes lubricae, et in errorem pronae sunt; quandoquidem ea naturae conditione sumus. Natura porro dei et substantia dicitur. Quod autem naturam ac naturam, et substantiam atque substantiam audimus, non ideo incomparabilem oportet deum cum natura nostra conferre. Eadem et ubique ratio est, quicquid de deo affirmare volueris. Est enim eiusmodi ut cum nullo alio commisceri aut comparari possit, perfectum in sese, ac rei nullius indigens. Est enim per se ipse sensus et per se voluntas. Unde incomparabilem unicumque filium sine ulla comparatione gignens nec substantia ipse sua privatus est, nec ille quem ex sese solum ex solo genuit, neque spiritus sanctus. Qui ambo nullam cum ceteris rebus dignitatis naturae, vel alterius rei, aequalitatem habent. Neque vero semetipsum privavit, sive affectionem, sive incomparabilis ipsius divinitatis substantiam spectes, nec illius, uti dixi, sobolem aeterno splendore est et aequalitate privata, quae perinde ac spiritus sanctus cum nullo alio in comparationem deduci potest, quae est perfecta trinitas, perfectus, inquam, pater, perfectus filius, perfectus spiritus sanctus. Quae quidem trinitas in se non confusio aliqua est, aut in se ipsa perturbationem ullam habet, aut quicpiam quod inferioris conditionis sit, ne si discernatur aliquid, incomparabile ipsum tollat e medio, aut si quid commutatum fuerit, esse desinat privatione sublatum, ac sola habitudine, non ex rei veritate, aut voce tenus sit, obiterque nominatum, ac denique nusquam extet, quod prava tibi opinione confingis, ex qua scripturae hanc sententiam a fidei professione excludere et abiudicare contendis, *Credere oportet accedentem ad deum, quoniam est, et quaerentibus ipsum remunerator est.* Hoc autem solo in patre intelligi non potest. Nam qui filium non habet, patre quoque carere necesse est, et qui filium nominat, sine spiritu sancto facere istud nequit. Hebr. 11, 16.

III. Est enim re ipsa pater verus deus, ut testatur filius, qui novit patrem, et vera lux est filius, qui cognoscitur eiusdemque testimonio declaratur, et spiritus veritatis est spiritus, qui non alienus est, *sed a patre proficiscitur, et a filio accipit.* Atque haec omnia tuam illam argumentorum fabulam circumscribunt. Neque id hortatione ulla perficere potes ut Aristotelis praeceptoris tui discipuli esse velimus, aut piscatorum, qui dei spiritu collustrati sunt, doctrinam relinquere, illiteratorum quidem et rudium, sed veritatis nihilominus praeconum, quo munere dei virtute ac beneficio perfuncti Ioann. 16, 15.

λοιφῇ *edit. Petav.*
14. ὃ *cod. Rhedig.*
15. τῶν λόγων *desideratur in cod. Rhedig.*
16. γραμμάτων *codd. mss. et ed. princ.*

ἐν δυνάμει θεοῦ, ᾗ κατηξίωνται. Οὐ γὰρ ἐν λόγῳ συλλογιστικῷ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ἐν λόγῳ κομπαστικῷ, ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ. Καὶ γὰρ ἀρκετῶς [17] ἠκούσαμεν ἐξ ἀρχῆς τοῦ λόγου σου τοῦ περὶ στερήσεως ἕξεων καὶ θέσεων, καὶ γεννητὴν οὐσίαν καὶ ἀγέννητον οὐσίαν προςλαμβάνουσαν, καὶ μὴ προςλαμβάνουσαν, καὶ μεθ' ἕξεως ἕξεως [18] ὑπομένουσαν ἀποβολὴν, καὶ περὶ οὐσίας καταπλεκομένης γεννητῆς, ἕξεως δὲ ἀγεννήτου, καὶ γέννημα λεγόμενον ἐν παρόδῳ, σημαινομένου δὲ ἐν ἕξει μόνῃ, καὶ ἕξεως δηλωτικὸν, μεταπλαζομένου ἐξ οὐσίας τινὸς, κἄν τε λεγομένου γεννήματος, ὡς ἔφης. Αὐτὰ γὰρ περὶ τῶν αὐτῶν τὸ διανόημά σου λαλεῖ, μηδὲν [19] περατοῦν κατὰ τῶν αὐτῶν φέρεσθαι φθεγγόμενον.

pag. 965. Κεφάλ. Ἀετίου κά. Εἰ τὸ ἀγέννητον ἕξις, καὶ τὸ γεννητὸν ἕξις, αἱ μὲν οὐσίαι τῶν ἕξεων πρῶται, αἱ δὲ ἕξεις τῶν οὐσιῶν, εἰ καὶ δεύτεραι, ἀλλ' οὖν γε προτιμότεραι. Εἰ δὲ τὸ ἀγέννητον τοῦ γεννητοῦ αἴτιόν ἐστι, τοῦ εἶναι [1] σημαινομένου, γέννημα συνειςφέρον τῇ ἑαυτοῦ οὐσίᾳ τὸν αἴτιον, [2] οὐσίας ἐστὶ δηλωτικὸν τὸ γέννημα, ἀλλ' οὐχ ἕξεως, τῆς ἀγεννήτου φύσεως οὐδὲν ἑαυτῇ συνειςαγούσης, πῶς οὐκ ἂν εἴη οὐσία, ἀλλ' ἕξις [3] καὶ ἡ ἀγέννητος φύσις;

Ἀνατρ. Ἕξεων διαληπτικὸν λόγον ἐπὶ θεοῦ τε καὶ μετὰ θεὸν κατασκευάζειν πάλιν ἡμῖν πειρᾶται Ἀέτιος, ὡς ὁρᾶτε, φίλοι τῆς ἀληθείας. Καὶ τὰ μὲν πρῶτα τίθησι, τὰ δὲ δεύτερα. Ἐπὶ θεῷ δὲ λαμβάνειν πρῶτα ἢ δεύτερα οὔτε θέμις λέγειν. Ἅμα γὰρ ἐν θεῷ τὰ πάντα πρόςεστι, καὶ προςθήκης οὐ δέεται. Διὸ καὶ τὸ γέννημα οὐκ ἀπὸ χρόνου νοεῖσθαι εὐσεβὴς χωρεῖ λόγος. Θεῷ γὰρ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, τουτέστι τῇ τριάδι τῇ οὔσῃ ὅπερ ὁ ὢν θεὸς, καλεῖται πατὴρ ὁ ὢν, καὶ υἱὸς ὁ ὢν πρὸς τὸν ὄντα ὢν, γεγεννημένος ἀνάρχως καὶ ἀχρόνως· ὡς τὸ, Παρὰ σοὶ πηγὴ ζωῆς, καὶ τὸ ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, καὶ τὸ, Ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, καὶ τὸ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· καὶ περὶ τοῦ ἁγίου πνεύματος ὡςαύτως, Τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Καὶ ὁρᾷς ὅτι οὐδὲν πρόσφατον ἐν τῇ τριάδι. Διὸ οὔτε [4] οὐσία πρὸ ἕξεως, οὔτε ἕξις πρὸ οὐσίας. Ἕξιν δὲ οὐ κατὰ τὰς σφαλερὰς λεγομένας ἕξεις, τροπὴν ἐχούσας ἐν ἑκάστῳ τῶν τὰς [5] θετικὰς ἕξεις ἐχόντων, εἰ καὶ ἕξιν περὶ θεοῦ λέγειν ἀναγκάσεις ἡμᾶς, ὦ Ἀέτιε. Καὶ οὔτε τι ἐν θεῷ προτιμότερον, οὔτε μετα-

17. ἠκούσαμεν *emendatio Petavii est. Libri vulgo* εἰκάσαμεν.

18. ἀπομένουσαν *vitium est edit. Petav. Colon. repet.*

19. περατοῦν *reposui ex codd. mss. et ed. princ.* παραιτοῦν *extat in ed. Petav., qui ariolatus est* πέρα τοῦ.

1. *Male supra* σημαίνων.

2. οὐκ οὐσίας *cod. Rhedig. Vide quae supra de hac scriptura annotavi.*

3. καὶ *abest supra.*

4. ἕξις (*pro* οὐσία) *vitium est edit. Petav. Colon. repet.*

sunt. Non enim in syllogismis argumentisve regnum coeleste positum est, neque in arroganti inflatoque sermone, *sed in virtute ac* 1. Cor. 4, 20.
veritate. Nos autem satis superque hactenus tuam illam de privatione affectionum ac positionum disputationem audivimus, tum genitam illam ingenitamque substantiam adsciscentem sibi, vel non adsciscentem aliquid, et una cum affectione huius quoque iacturam patientem, nec non et de substantia genita simul implicata et ingeniti affectione, tum de sobole genita, quae per quendam veluti transitum expressa significationem nihilominus permanentis affectionis habet, et ex natura quapiam commutationem indicat, cum genita soboles appellatur. Ergo iisdem de rebus eadem saepius tuo ex ingenio proponis, quod eadem inculcare saepius nihil veretur.

Aetii Caput XXI. Si tam ingenitum quam genitum affectio sit, substantiae quidem affectionis priores, affectiones porro uti natura posteriores, sic iisdem anteponendae sunt. Quod si ingenitum geniti caussa est, eique confert ut existat, genitum vero caussam ipsam substantiae sua notione complectens substantiam ipsam, non affectionem exprimit, cum ingenita natura nihil ipsa secum includat, nonne substantia potius quam affectio quaedam debet videri?

Confut. XXI. I. De affectionibus cum de divina natura, perinde ac de inferioribus deo disputat, iterum agere instituit Aëtius, ut animadvertere potestis, veritatis studiosi omnes. In quo nonnulla priora facit, alia posteriora. Atqui priora ulla in deo, vel posteriora constituere, ne sermone quidem licet. Etenim simul in deo insunt universa, nec accessionem aliquam desiderat. Quocirca cum genitam sobolem dicimus, nihil omnino temporarium pietas admittit. Nam in sanctissima trinitate, hoc est deo patre, filio et spiritu sancto, qui est deus existens, pater existens vocatur, nec non et existens filius cum existente comparatus, ab eoque citra initium ullum tempusque genitus; ut ex iis scripturae locis intelligimus: *Apud* Psalm. 35, 10.
te est fons vitae: item, *In lumine tuo videbimus lumen:* et, *Qui est*
in sinu patris: item, *In principio erat verbum, et verbum erat apud* Ioann. 1, 1.
deum, et deus erat verbum. Similiter et de spiritu sancto: *Spiri-* Agg. 2, 5.
tus meus consistit in medio vestri. Vides quam nihil in trinitate sit recens? Unde nec substantia affectionem, nec substantiam antecedit affectio. Ceterum affectionem cum dicimus, non fluxas illas et caducas intelligimus, quae in unaquaque earum rerum quae adventitiis rebus afficiuntur vires suas ac mutationes exerceat, utcumque nos a te coacti affectionis vocabulum ad divina transferimus. Nihil est igitur in deo vel antecellens, vel aetate posterius, sed ea dun-

5. τεθεικὰς codd. mss. et ed. princ.

γενέστερον, ἀλλ' ὅσα πρέπει τῷ ἀξιώματι πρὸς δοξολογίαν, τῇ μὲν μιᾷ θεότητι καὶ μία δοξολογία καὶ μία τιμή, ἵνα τιμῶσι τὸν υἱόν, ὥςπερ τιμῶσι τὸν πατέρα· καὶ ἵνα μὴ βλασφημῶσι τὸ πνεῦμα διὰ τὸν τῆς
pag. 966. *ἀπειλῆς λόγον, τὸν μὴ τὴν ἁμαρτίαν αὐτοῖς συγχωροῦντα ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ὡς πρεπόντως [6] ἐστὶν, οὐδὲν διηλλαγμένως ἔστι περὶ τὴν τριάδα νοεῖν, ἢ εὐσεβεῖν, ἢ δοξάζειν, ἐν πατρὶ δὲ τὸ πατὴρ, ἐν υἱῷ δὲ τὸ υἱὸς, ἐν ἁγίῳ πνεύματι τὸ [7] ἅγιον πνεῦμα οὕτως λέγειν, καὶ οὕτως ἐν ἀληθείᾳ δοξάζειν, ὅπερ πρεπόντως τῇ μιᾷ τριάδι προςκυνητῶς τὸ σέβας νέμειν ἡ ἀληθινὴ πίστις, καὶ τὸ ἀξίωμα γινώσκειν. Καὶ οὔτε τὸ ἀγέννητον τοῦ γεννητοῦ δέεται, εἰς τὸ συνειςφέρεσθαι ἑαυτῷ τῇ οὐσίᾳ, ἵνα [8] αἴτιος οὐσίας αὐτῷ γένηται δηλωτικὸν τὸ γέννημα· οὔτε ἕξις τῆς ἀγεννήτου φύσεως ἡ οὐσία τοῦ γεγεννημένου ἐστὶν ἢ λέγεται.*

Οὐδενὸς γὰρ ἡ τριὰς δεῖται, οὔτε προςθήκην τινὸς λαμβάνει. Οὔτε γὰρ ἐπειδὴ αὐτὴ ἡ τριὰς ἦν ἀεὶ, καὶ οὐδὲν ἦν τῶν κεκτισμένων, παρὰ τοῦτο ἀποκληρώσεως ἕνεκεν, ἢ προςληπτικῆς τινος ὀνομασίας, ἢ προςθήκης τῷ ἀξιώματι ἑαυτῷ ἐπενόησεν ὁ πατὴρ, δι' [9] υἱοῦ μὲν κτίσας οὐρανὸν καὶ γῆν, καὶ πάντα ὁρατά τε καὶ ἀόρατα, καὶ τῷ πνεύματι αὐτοῦ ἐστερέωσε πᾶσαν τὴν δύναμιν αὐτῶν τῶν ὑπ' αὐτοῦ κεκτισμένων, ἵνα ἐκ τοῦ κεκτίσθαι τὰ κεκτισμένα καὶ δημιουργηθῆναι τὰ γεγονότα ἐπισυνειςφορὰ γένηται τῷ κτιστῇ ἀκούοντι καὶ δημιουργῷ πατρὶ, [10] ἢ προςληπτικῶς νοηθείη τῷ υἱῷ, δι' οὗ καὶ ἀφ' οὗ τὰ κεκτισμένα γεγέννηται, ἢ τῷ ἁγίῳ πνεύματι, ἐν ᾧ τὰ ἐστερεωμένα ἐστερέωται. Καὶ γὰρ οὐ τραπεὶς ἀπὸ ἕξεως εἰς ἕξιν θεὸς, καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ ἀλλοιωθεὶς, ὡς κατ' ἔννοιαν καὶ [11] μετάβολον, εἰργάσατο τὰ εἰργασμένα. Εἶχε γὰρ ἐν ἑαυτῷ τὸ ἀεὶ δημιουργικὸν καὶ τέλειον, καὶ μηδεμιᾶς ἐπιδεόμενον προςλήψεως δόξης. Καὶ ὥςπερ ἐπὶ τῶν κτισμάτων οὐ δεῖ διανοούμενόν τινα περὶ θεοῦ προςληπτικῆς ἕξεως καὶ ἀξίας εἶναι τὸ ἀξίωμα τῆς οὐσίας καὶ δόξης θεοῦ, οὕτως ἀνακρουσθήσεται Ἀέτιος, βουλόμενος θεὸν συλλογίζεσθαι κατὰ τὸ ἀγέννητον καὶ γεννητὸν, κατὰ τὸν ἕξεως καὶ οὐσίας αὐτοῦ ἐπιφερόμε-

6. *Hoc* ἐστὶν *delendum iudicavit Petavius, et uncinis inclusit. In Cornarii versione ea verba* ὡς πρεπόντως ἐστὶν *ad verba praecedentia sunt retracta. Pro* συγχωροῦντα *in cod. Rhedig. legitur* ἐγχωροῦντα.

7. ἅγιον πνεῦμα, *quae verba absunt a libris, supplevi praeeunte Cornario. Petavius annotavit* „Deest (*post* πνεύματι τὸ) πνεῦμα λέγειν." *Sequentia verba ita corrigenda videntur:* τὸ ἅγιον πνεῦμα, οὕτως λέγειν, καὶ οὕτως ἐν ἀληθείᾳ δοξάζειν, ὅπερ πρεπόντως, ὡς τῇ μιᾷ τριάδι προςκυνητῶς τὸ σέβας νέμειν ἡ ἀληθινὴ πίστις καὶ τὸ ἀξίωμα γινώσκει. *Cornarius ita vertit:* — in spiritu sancto spiritus sanctus. Sic dicere, et sic in veritate glorificare, decenter uni trinitati adorationis cultum tribuere, et dignitatem confiteri, vera fides est.

taxat insunt quae dignitati illius aut laudem praedicationemque congruunt. Nimirum uni ac singulari divinitati, una laus, et singularis honor attribuendus est: *Ut honorent filium, sicut honorant patrem,* et ut ne contumeliosum quiddam in spiritum iaciant, interminationem illam veriti, quae istiusmodi scelus, uti par est, *nec in praesenti saeculo, nec in futuro condonandum* edicitur. Quare nihil in trinitate cogitare diversum, neque salva pietate sentire aut opinari licet. Verum et in patre patrem, et in filio filium, et in spiritu sancto spiritum sanctum agnoscere nos oportet. Hunc in modum profiteri, et ita ex rei veritate iudicare necesse est, pro eo ac consentaneum est uni trinitati adorationis praebere cultum et illius maiestatem agnoscere. Itaque nec ingenitum opus habet genito, ut aliquid naturae suae conferat, eiusque dum ipsam declarat quodammodo caussa censeatur, neque geniti substantia ingenitae naturae est, aut dicitur affectio.

Ioann. 5, 23.

Matth. 12, 32.

II. Quippe trinitas rei nullius indiget, nec ullius accessionem postulat. Cum enim trinitas ab aeterno fuerit, cum nihil adhuc creatarum rerum existeret, non idcirco tamen, quo velut sortito sibi aliquid cederet, aut novae alicuius appellationis, vel ad dignitatem suam accessionis compos fieret, rerum omnium procreationem in animum induxit pater, adeo ut coelum terramque, et aspectabilia omnia, eaque quae visum fugiunt, per filium crearet, omniaque quae condiderat spiritu suo corroboraret, quo ex illa conditarum rerum creatione, operumque fabricatione aliquid in patris utilitatem redundaret, qui creator et artifex nominaretur, vel accessisse intelligeretur ad filium, per quem, et a quo creatae res productae sunt, vel denique ad spiritum sanctum, qui eadem illa confirmavit. Non enim ab affectione aliqua conversus in alteram deus, et natura substantiaque mutatus, velut cogitabundus, aut ad aliam sententiam traductus, quae molitus est effecit. Quippe qui in sese fabricandi vim habuerit semper, eamque perfectam, nec ullis gloriae incrementis augendam. Quocirca quemadmodum, cum de creatis rebus agimus, tale quiddam de deo suspicari nefas, quasi divinae essentiae gloriaeque maiestas eius affectionis dignitatisque sit, quae aliquid extrinsecus vindicare sibi possit, ita et refellendus erit Aëtius, qui ratiocinationibus suis divinam naturam comprehendere cupiens ingeniti genitique proprietatibus abutitur ea disputatione, quam de

8. *An* αἴτιον?

9. *Ita correxerunt Cornarius atque Petavius. In libris vulgo legitur* οὐ.

10. ἢ, *quod vulgo abest, reposui ex emendatione Petavii. Cornarius vertit* et idem assumptive de filio intelligatur.

11. μεταβολὴν *suspicati sunt Cornarius* (*certe is vertit* mutationem) *et Petavius.*

νον ἡμῖν λόγον, ὁμολογουμένων πάντων τῶν κεκτισμένων εἶναι ἀλη-
pag. 967. θῶς, καὶ οὐχ ἕνεκεν προςλήψεως δόξης θεῷ [12] τῷ ἀνενδεεῖ ἐπινοηθέντων· ὥςπερ καὶ ἐπὶ τοῦ μονογενοῦς, καὶ ἐπὶ τοῦ ἁγίου αὐτοῦ πνεύματος οὐ τὸ ἴσον ἔστι λέγειν τῶν κτιστῶν· ἀνένδεκτον γὰρ τοῦτο λέγειν. Ἀλλ' ἐπειδὴ συλλογισμοὺς ἥκει φέρων ἡμῖν Ἀέτιος μεταρσιολεκτῶν, καὶ πρὸς τὰ ἄνω τολμηρῶς ἀποτεινόμενος, ἀπὸ δὲ τῶν κάτω ἀντισυλλογιζόμενος κτισμάτων, καὶ αὐτὸς μηδὲν εὑρισκόμενος κατὰ τὸν συλλογιστικὸν αὐτοῦ λόγον. Ἥ τε γὰρ σοφία ἀνθρώπων παρέρχεται, ἥ τε συλλογιστικὴ λέξις ἀνθρώπων θάπτεται. Ἐξελεύσεται γὰρ τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ. Τὰ γὰρ συλλογιστικὰ πάντα τῶν ἀνθρώπων παρέρχεται, καὶ οἱ ἄνθρωποι μετὰ καὶ τῆς συλλογιστικῆς Ἀετίου, καὶ κατὰ πίστεως τεχνικῆς ἐπιτηδεύσεως. Μένει δὲ ἡ [13] ὑπ' αὐτοῦ [14] συλλογιστικὴ πίστις, καὶ ἐλπὶς, καὶ ἀγάπη, κατὰ τὸ γεγραμμένον.

Κεφάλ. Ἀετίου κβ'. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οἷα ἡ θεοῦ [1] παντοκράτορος, πῶς ἂν τὴν μὲν παθητὴν ἐρεῖ τις, τὴν δὲ ἀπαθῆ; Εἰ δὲ φύσεως ἀποκληρώσει ἀγεννήτου ἡ μὲν διαμένει ποσότητος καὶ ποιότητος καὶ, ἁπλῶς εἰπεῖν, πάσης μεταβολῆς ἀμείνων, ἡ δὲ παθῶν [2] ὑπεύθυνός ἐστι, συγχωρηθεῖσα [3] διὰ τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν, τῷ [4] αὐτομάτως ἐπιτρέψαι [5] τὸν φιλοῦντα κατὰ τὰ προειρημένα, [6] ἤτοι γ' οὖν ἀκόλουθον τὴν μὲν ποιοῦσαν ἀγέννητον εἰπεῖν, γεννητὴν δὲ τὴν μεταβαλλομένην.

Ἀνατρ. Οὐ πᾶσαν οὐσίαν εἶναι λέγομεν ἀγέννητον, οὐδὲ πᾶσαν ἐκ θεοῦ γεννητήν· ὅτι ὁ γεννήσας τὸν ἐξ αὐτοῦ γεγεννημένον, καὶ ἀποστείλας ἐξ αὐτοῦ τὸ ἅγιον πνεῦμα αὐτοῦ, πνεῦμα τῶν [7] τοῦ υἱοῦ μετέχον, οὐ πάντας ἐγέννησεν, ἀλλ' ἕνα, διὸ μονογενής, καὶ ἓν ἐξ αὐτοῦ ἀπέστειλεν, διὸ ἅγιον πνεῦμα· ἔκτισε δὲ διὰ τοῦ ἑνὸς, καὶ ἐστερέωσεν ἐν τῷ ἑνὶ τοὺς πάντας, τοὺς μὲν γεννῶντας, καὶ μετὰ κτίσιν γεγεννημένους, τοὺς δὲ κτισθέντας, μήτε γεννῶντας, μήτε γεγεννημέ-
pag. 968. νους. Πολὺ δὲ ἀφέστηκεν ἡ ἄκτιστος τῆς τριάδος οὐσία τῶν ἀπὸ τῆς τριάδος κτισθέντων, καὶ οὐκ ἀπὸ τῆς τριάδος γεννηθέντων. Διὸ ἔχει ἡ τριὰς τὸ ἀπαθὲς καὶ ἀπαράλλακτον, τὰ δὲ πάντα τὰ μετὰ τὴν

12. τῷ *om. cod. Rhedig.*
13. ἀπ' αὐτοῦ *cod. Rhedig.*
14. *Corrige* συλλογισθεῖσα, *aut* συλλογιστὴ *vel*, *uti Petavius coniecit*, συλλελογισμένη.
1. *Supra* τοῦ παντοκράτορος.
2. *Supra* ἐστιν ὑπεύθυνος.
3. *Rescribendum puto* δὲ τό. *Petavio placuit* δεῖ τό. *Supra abest vocula* διά. *Cornarius vertit* altera vero passionibus obnoxia est, ita ut concessum sit ipsi, invariabilitatem in essentiam

affectione et substantia nobis obtrudit; cum illud in confesso sit, creatas res omnes esse re vera, neque tamen ob ullum commodum aut incrementum gloriae a deo, qui nulla re opus habet, excogitatas fuisse; non secus atque in unico dei filio, eiusque sancto spiritu, nefas est cum creatarum rerum conditione illos adaequare. Dici enim istud nullo modo potest. At vero rationibus syllogismisque suis nos aggreditur Aëtius, de coelestibus rebus garriens, et audacter ad superiora contendens, atque ab inferioribus creaturis petitis argumentis nos oppugnans, cum tamen suis illis disputationis argutiis nihil omnino promoveat. Hominum quippe sapientia praeterit, humana ratiocinandi vis ac subtilitas consepulta iacet: *Exibit,* inquit, *spiritus eius et revertetur in pulverem suum.* Syllogismorum, inquam, acumina omnia hominum ingeniis excogitata praetereunt, hominesque pariter cum illa Aëtii ratiocinatione, et affectato contra fidem calliditatis artificio. *Manet* autem ea quam syllogismis suis circumvenire conatur, *fides, spes, et caritas,* uti scriptum est. Psalm. 103, 14. 1. Cor. 13, 18.

Aetii Caput XXII. Si substantia omnis ingenita sit, cuiusmodi est omnipotentis dei, quid attinet hanc quidem passionibus obnoxiam, illam vero expertem asseverare? Quod si attributione quadam ingenitae naturae, altera quantitate, qualitate, atque omni prorsus manet mutatione superior, altera affectionibus obnoxia, quae tamen ipsa, ut immutabili substantiae conditione sit, beneficio quodam alterius sit adepta, si haec, inquam, ita se habeant, aut casu, ac fortuito id contigisse dicendum est, aut illud consequens est, ut et ea quae agit ingenita, et quae mutationem patitur genita censeatur.

Confut. XXII. I. Neque substantiam omnem ingenitam esse dicimus, nec omnem a deo genitam, quoniam qui filium suum genuit, et a se ipso spiritum sanctum emisit, illum inquam spiritum qui eorum quae filii sunt particeps fuit, non omnes, sed unum duntaxat genuit; unde et unigenitus est, et unum emisit a se ipso, unde spiritus sanctus. Per unum porro creavit, et in uno confirmavit omnes, quorum alii generandi vim habent, et post primam creationem deinceps generantur, alii sic creati sunt ut neque gignant, neque gignantur. Verum increata trinitatis substantia longe ab his omnibus abest, quae ab ipsa trinitate creata sunt, non genita. Ideo trinitatis illud proprium est, ut neque pati quicquam, neque commu- Matth. 12, 32.

habere, eo quod sponte sua amicus permittit ea quae sunt praedicta, *cett.*

4. *Ita codd. mss. Editi habent* αὐτομάτῳ.

5. *Supra vulgo extat scriptum* φίλον (τὸν *articulo omisso*) τὰ κατὰ τὰς προειρημένας.

6. *Vulgo* ἣ τό γ᾽ οὖν.

7. τοῦ *excidit ab edit. Petavii.*

τριάδα [8] πάθει ὑποκείμενα, εἰ μή τι ἂν δωροῖτο ὁ ἀπαθὴς τὸ ἀπαθὲς διὰ τῆς ἀφθαρσίας, οἷς βούλεται κατὰ δωρεὰν χαρίσασθαι ἀφθόνως. Οὐκ ἔχουσι δὲ τὸ ἄφθαρτον ἐξ ἀσωμάτου φύσεως, ἀλλ' ἐξ ἀφθονίας τοῦ ἀγαθοῦ καὶ ἀπαθοῦς θεοῦ. Καὶ γὰρ οὔτε τὸ παθεῖν τὸν μονογενῆ ἐν σαρκὶ πάθος περιποιεῖται τῇ αὐτοῦ θεότητι, καί τοί γε ἐξ ἀληθινῆς ὁμολογίας πιστευόμενον ἀπὸ τῆς ἀληθινῆς πίστεως, ὅτι πέπονθεν ὁ ἀπαθὴς θεὸν ὢν λόγος. Ἔμεινε δὲ ἐν ἀπαθείᾳ ὁ αὐτὸς μὴ τραπεὶς τὴν φύσιν, μήτε ἠλλοιωμένος. Διὸ σοφία ὢν, καὶ θεὸς ἀπαθὴς ὢν, καὶ εἰδὼς ὅτι διὰ πάθους σώζει τοὺς τὰ πάθη ἔχοντας τοῦ θανάτου, οὐ πρέσβυν ἀπέστειλεν, οὐκ ἄγγελον, οὔτε [9] ἔτι ὡς τοὺς πρὸ αὐτοῦ προφήτας, ἀλλ' αὐτὸς κύριος ἦλθε, καὶ τὸ παθητὸν λαβὼν ἐν ἑαυτῷ ἀληθινῶς πέπονθε, τῆς θεότητος αὐτοῦ ἀπαθοῦς μενούσης. Οὐ γὰρ ἡ ἔνσαρκος παρουσία ἤμβλυνε τὴν δύναμιν τῆς αὐτοῦ θεότητος. Εὑρίσκεται γὰρ ἐν τῇ αὐτοῦ θεότητι τὰ τοῦ θεοῦ ἐνεργῶν, καὶ μὴ ἀπὸ σαρκὸς ἀποκλειόμενος, ἀνέμῳ μὲν ἐπιτιμῶν, καὶ κλύδωνι, καὶ θαλάσσῃ, Λάζαρον δὲ αὐθεντίᾳ ἰδίᾳ καλῶν, καὶ ἄλλα μυρία καὶ ἐπέκεινα τούτων ποιῶν· ὃς καὶ συνεχώρει μὲν τὰ κατὰ τὸ εὔλογον τῇ σαρκὶ, ὡς καὶ διαβόλῳ πειράζειν, καὶ ἀνθρώποις παίειν, καὶ τοῖς συλλαμβάνουσι τὸ ἁλίσκειν, ἵνα ἐν τῷ παθητῷ ὁ ἀπαθὴς πάθῃ, ἀπαθὴς μένον ἐν τῇ ἰδίᾳ θεότητι ὢν, οὐκ ἀλλότριος τοῦ ἀπαθοῦς θεοῦ, ἑκουσίως δὲ ποιῶν τὰ πάντα κατὰ τὸ ἔκπληκτον αὐτοῦ μυστήριον· ὡς καὶ ὁ πατὴρ θεὸς σὺν αὐτῷ τῷ μονογενεῖ καὶ τῷ πνεύματι αὐτοῦ τῷ ἁγίῳ, τριὰς οὖσα ἀεὶ τέλεια καὶ ἀπαθὴς, μία θεότης, περιέχει τὰ πάντα, εἷς θεὸς, μία κυριότης, τοῦ αὐτοῦ θεοῦ περιέχοντος τὰ ὅλα.

Καὶ οὐ διὰ τὸ περιέχειν τὰ πάντα πάθει ὑποπίπτει, τῶν ἐμπεριεχομένων ὑπὸ πάθος πιπτόντων. Ἐντὸς γὰρ πάντων ἐστὶ, καὶ ἐκτὸς τῶν ὅλων πάντων θεὸς, ἀμιγὴς πρὸς τὰ πάντα. Ὅθεν οὐδὲ διὰ τὸ εἶναι πάντη, οὐδὲ διὰ τὸ ἐκτὸς εἶναι πάντων, οὐδὲ διὰ τὸ περιέχειν τὰ
pag. 969. πάντα, οὐδὲ διὰ τὸ ἐν αὐτῷ τὰ πάντα κινεῖσθαι, πάθος εἰσοίσει τῷ ἀπαθεῖ θεῷ. Ὥσπερ οὐδὲ διὰ τὸ γεγεννηκέναι τὸν μονογενῆ, [10] οὐδὲ τὸν μονογενῆ [11] γεγενῆσθαι, οὐδὲ διὰ τὸ ἅγιον αὐτοῦ πνεῦμα ἐξ αὐτοῦ ἀπεστάλθαι, πάθος εἰσοίσει τῇ ἁγίᾳ τριάδι. Οὔτε γὰρ παθητὸν τὸ

8. πάθη *codd. mss. et ed. princ.*
9. ἔτι *codd. mss.*, *et* amplius *vertit Cornarius quoque. Editi habent* ἐστι.
10. *Scribendum* οὐδὲ διὰ τὸ μον.
11. γεγεννῆσθαι *ed. Petav. Colon. repet.*

tari possit; cetera omnia, ubi a trinitate discesseris, pati aliquid possunt; nisi forte expers ille affectionis omnis similem quendam statum per incorruptionem, quibus libuerit, singulari quodam beneficio large benigneque concesserit. Quem quidem incorruptionis statum non ex incorporea aliqua natura, sed ex boni et affectionis omnis expertis dei largitate consequuntur. Quod autem unicus dei filius in carne sit passus, nullam istud in ipsius divinitatem passionem transfundit. Quamquam illud recta fides ac sincera professio docet, dei verbum, quod per sese pati nihil potest, nihilominus esse passum. Idem porro eadem ipsa patiendi nihil in conditione permansit, nec in natura sua mutationis aliquid aut diversitatis expertus est. Quamobrem ille qui sapientia ac deus erat passionis omnis expers, cum patiendo sciret se eos liberaturum esse qui mortem patiebantur, non legatum ullum, non angelum misit, non prophetas denique, cuiusmodi adventum suum antecesserant, sed ipsemet dominus venit, ac perpessionem ita in se ipso vereque sustinuit, ut interim expers passionis divinitas ipsa permaneret. Cuius quidem vim ac potentiam nihil incarnatio ipsa diminuit. Nam eundem in divinitate sua, quae dei propria sunt, praestantem sine ullo carnis impedimento cernimus, velut cum *ventos, mare et fluctus increpat, cum Lazarum propria* auctoritate evocat, et infinita alia prodigiosa ac stupenda molitur. Quamquam interim quicquid erat consentaneum corpori tribuebat. Nam et diabolo tentare permisit, et hominibus caedere, et his qui comprehendebant capere, ut in patibili natura passionis expers pateretur, et interim in sua divinitate passionis expers maneret, non alienus a passionis experte deo, sed omnia singulari quodam et admirabili mysterio suapte voluntate suscipiens. Quemadmodum et pater deus cum unigenito ipso ac spiritu sancto; quae quidem perfecta, et passionis expers trinitas, unaque divinitas universa complectitur, deus unus, ac dominatus unus continentis omnia dei.

Luc. 8, 24. Ioann. 12. Matth. 4.

II. Neque vero quod continere dicatur omnia, idcirco patiendi conditioni subiicitur, licet quae ab ipso comprehenduntur ei legi subiaceant. Est enim intra omnia et extra omnia universorum deus, neque tamen cum ulla re concretus ac permixtus; ex quo fit ut neque quod ubique sit, neque quod extra omnia sit, neque quod comprehendat omnia, neque quod in ipso universa moveantur, ob id pati quicpiam existimandus sit immunis ab omni patiendi conditione deus. Sicut nec idipsum, quod unicum filium genuit, quodque unicus ille genitus est, aut quod sanctus eius spiritus emissus est ab ipso, ullam sanctissimae trinitati affectionem inferet. Quippe nec

ἅγιον πνεῦμα, ἐν εἴδει περιστερᾶς κατιὸν [12] ἐπὶ τὸν Ἰορδάνην, οὔτε ὁ μονογενὴς ὑπὸ Ἰωάννου βαπτιζόμενός τε καὶ ψηλαφώμενος, οὔτε ὁ πατὴρ ἄνωθεν βοῶν φωνῇ ἀκουστικῇ ἀνθρώποις ὅτι, Οὗτός μού ἐστιν ὁ υἱός, αὐτοῦ ἀκούετε. Ἀπαράλλακτος τοίνυν ὁ υἱός. Καὶ ὁ μὲν πατὴρ ἀγέννητος, ὁ δὲ υἱὸς γεννητὸς ἀπαθής, καὶ τὸ πνεῦμα ἀπαθῶς προελθόν. Τῶν δὲ ἄλλων κτιστῶν ὄντων [13] τῆς τελείας τριάδος διαμενούσης ἐν τῇ ποσότητι καὶ ἀκτίστῳ ὀνομασίᾳ, οὔτε τοῦ ἀμείνονος μεταβαλλομένου, [14] οὔτε τὸ γεννηθὲν πάθει συνεχόμενόν ἐστιν. Οὔτε γὰρ ὁ γεννήσας πάθει συνεσχέθη. Οὐ γὰρ σωματικὸν τὸ γέννημα, ἀλλὰ πνεῦμα ἐκ [15] πνεύματος, καὶ υἱὸς ἐκ πατρός. Ὡσαύτως καὶ τὸ ἅγιον πνεῦμα ἐξ αὐτοῦ, πνεῦμα πατρὸς, πνεῦμα Χριστοῦ, οὐ κτιστὸν, οὐ γεννητὸν, οὐ συνάδελφον, οὐ προπάτορον, οὐκ ἔγγονον, τῆς [16] ἀσυγκρίτου οὐσίας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὑπερβαινούσης πᾶσαν ἔννοιαν καὶ πάντα νοῦν, οὐ μόνον εἴποιμι ἀνθρώπων, ἀλλὰ καὶ ἀγγέλων. Οὐ γὰρ μεταβολὴν ἐπεδέξατο ὁ μονογενὴς, οὐδὲ ὁ αὐτοῦ πατὴρ, οὐδὲ τὸ ἅγιον αὐτοῦ πνεῦμα, [17] τῷ τὸν μονογενῆ ἀπαθῆ ὄντα ἐν σαρκὶ παθεῖν, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα ἐν εἴδει περιστερᾶς, καὶ [18] τῷ τὸν πατέρα φθογγὴν εἰς ἀκοὴν ἀνθρώπων ἀπορρῆξαι ἄνωθεν ἀπαθῶς. Ὥςπερ οὐ μεταβολὴν καὶ πάθος περιεποιήσαντο οἱ κτισθέντες ἄγγελοι καὶ οὐρανοὶ καὶ ἡ γῆ, καὶ τὰ πάντα τῷ αὐτὰ πεποιηκότι, ἀλλὰ τὸ πᾶν ἐστιν ἔκπληκτον μυστήριον, κατὰ τὸ εἰρημένον, Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ [19] γνώσεως θεοῦ.

Κεφάλ. Ἀετίου κγ΄. Εἰ τῆς γενομένης [1] ἡ ἀγέννητος φύσις ἐστὶν αἰτία, τὸ δὲ ἀγέννητον μηδὲν [2] εἴη, πῶς ἂν εἴη αἴτιον τὸ μηδὲν τοῦ γεγονότος;

pag. 970. Ἀνατρ. Ἔστι μὲν οὖν καθ' [3] ἑτέραν διάνοιαν, ἀλλ' οὐ κατὰ τὴν ἴσην πρὸς πάντα, [4] ἡ ἀγέννητος φύσις, πρὸς τὸ μονογενὲς γέννημα καὶ πρὸς τὸ ἐξ αὐτῆς ἅγιον πνεῦμα, οὐκ αἴτιον δὲ, ὡς τὸ ὑπάρχον πρὸς τὸ μὴ ὄν. Ἔστι γὰρ οὐκ ἐξ οὐκ ὄντων ὁ γεννηθεὶς, οὐδὲ μὴ ὢν ἐστιν ὁ γεννήσας, οὐδὲ τὸ ἐξ αὐτοῦ ἅγιον πνεῦμα· τῶν δὲ ἄλλων ἐστὶν αἴτιον τὸ ὄν. Διὸ σύνεστι τῇ ἰδίᾳ ἀεὶ δόξῃ ἡ ἁγία τριὰς, ἀεὶ

12. περὶ *edit. Petav. Colon. repet.*

13. *Suspicor* τῆς τε τελείας.

14. *Suspicor rescribendum* οὐδὲ τὸ. *Post* προελθὸν *vulgo simplici commate distinguunt.*

15. πατρὸς *habet cod. Rhedig., et cod. Ien. a. m. sec.*

16. ἀσυγκρίτου (ἀσυγκρι^τ *cod. Ien.*) *codd. mss. Editi habent* ἀσυγκρίτης.

17. τῷ τὸν *emendarunt Cornarius* (*qui vertit* eo quod) *atque Petavius. Libri vulgo* τὸ τόν.

spiritus ipse sanctus pati quicquam potest, qui columbae specie ad Iordanem descendit, nec unigenitus a Ioanne baptizatus et contrectatus, sed neque pater eiusmodi de coelo voce personans, quam homines exaudire possent, *Hic est filius meus, ipsum audite.* Quare nihil a patre diversus est filius. Et quidem pater ingenitus est, filius genitus, nec ullo modo patibilis; spiritus vero sanctus citra passionem ullam processit; cetera omnia creatione producta sunt, ac perfecta ipsa trinitas in quantitate sua et increata appellatione remanet, sic ut neque commutetur quod melius est, neque quod gignitur ulla patiendi lege coërceatur. Cui quidem neque genitor obnoxius fuit. Non enim corporeum est genitum illud, sed spiritus e spiritu, et ex patre filius. Ita etiam et spiritus sanctus ab ipso progressus est, spiritus patris, spiritus Christi, non creatus, non genitus, non germanus frater, non avus, non nepos. Siquidem incomparabilis patris, filii ac spiritus sancti natura cogitationem omnem ac mentem superat, non hominum solum dixerim, verum etiam angelorum. Non enim mutationem ullam unicus dei filius admisit, nec ipsius pater, neque sanctus eius spiritus, eo quod unigenitus per sese passionis expers in carne sit passus, spiritus vero sanctus columbae se specie videndum obiecerit, ac postremo pater ipse voce de coelo missa citra passionem ullam hominum auribus insonuerit. Non secus atque angeli, coelestes orbes, terra, ceteraque quae deus condidit, omnia nullam auctori suo mutationem affectionemque tribuerunt. Sed haec omnia stupendum quoddam sunt horrendumque mysterium, uti scriptum est, *O altitudo divitiarum, sapientiae et* Rom. 11, 33. *scientiae dei!*

Aetii Caput XXIII. Si genitae substantiae caussa sit ingenita, ingenitum vero, quod principium dicitur, nihil omnino sit, quomodo potest id quod nihil est eius quod productum est esse principium?

Confut. XXIII. Ingenita substantia non eodem quo ad cetera omnia comparata modo, sed alio quodam sensu dicitur, cum ad unicam sobolem refertur, vel ad spiritum sanctum, qui ab ipsa progreditur. Neque vero principium est eiusmodi quale est quod existit cum nondum existente comparatum. Quippe non ex nihilo genitus est filius, neque non existens est qui genuit, vel qui ab ipso procedit spiritus sanctus; ceterorum vero caussa est existens ipsum. Quapropter suapte gloria ac splendore praedita semper est sacrosancta

18. *Libri vulgo* τὸ τόν.
19. *Editi* τῆς γνώσεως. *At articulum non agnoscunt codd. mss.*
1. ἡ *non agnoscunt codd. mss.*
2. *Differt scriptura in superioribus, de qua vide in annott.*
3. ἑκατέραν *cod. Rhedig.*
4. ἡ *om. cod. Rhedig.*

οὖσα ἀναλόγως ἑκάστῳ ὀνόματι τοῦ αὐτῆς ἀξιώματος, δἰ αὐτῆς γὰρ, καὶ οὐκ ἐκτὸς, τὰ γεγονότα γεγόνασιν οὐκ ὄντα. Διόπερ οὐδὲ καθ' ἑαυτὸν ὁ πατὴρ αἴτιος τῶν γεγονότων ἐστὶν, ἀλλὰ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα ἐποίησε τὰ πάντα. Εἰ δὲ ἦν ἀλλότριος ὁ υἱὸς, ὡς ἀπὸ αἰτίου οὐκ ὢν, προελθὼν ἂν μετὰ πάντων καὶ αὐτὸς ἴσος ἐγένετο. Καὶ αἴτιος ἦν ὁ θεὸς οὐκέτι γεννητικῶς ἀχθέντος, ἀλλὰ κτιστικῶς· καὶ οὐκέτι ἐνεδέχετο τὸν ἕνα λέγεσθαι γέννημα, τὰ δ' ἄλλα κτίσματα, ἀλλ' ἢ τὰ πάντα σὺν αὐτῷ γεννήματα λέγεσθαι, ἢ αὐτὸν [5] σὺν πᾶσι κτίσμα ὁμοίως καλεῖσθαι· καὶ οὐδὲν ἦν ἐξαίρετον, ἐξισουμένου τοῦ ἑνὸς τοῖς πᾶσι κατὰ τὸ μέρος τὸ ἐξ οὐκ ὄντων, οὐ μόνον εἴποιμι ἀγγέλους τῷ αὐτῶν δὲ ποιητῇ καὶ κτιστῇ μονογενεῖ, ἀλλὰ καὶ ἀνθρώπους, καὶ κτήνη, καὶ ὅσα ἀπειρομεγέθως ἀποδέει τῆς ἐκείνου φύσεως καὶ ἀξιώματος. Ἔστιν ὁ ὢν σὺν τῷ ὄντι ἐξ αὐτοῦ ἀχρόνως ὄντως γεγεννημένος, οὐκ ἐξ οὐκ ὄντων, ἀλλ' ἐξ αὐτοῦ, καὶ ἔστι τὸ ἅγιον αὐτοῦ πνεῦμα, τὸ οὐκ ἀλλότριον τῆς αὐτοῦ οὐσίας, οὐδὲ ὡς ἐπὶ βοηθείᾳ, κατὰ τὸν Ἀετίου λόγον, θεῷ προςπεπορισμένον.

Ἀετίου κεφάλ. κδ'. Εἰ τὸ ἀγέννητον στέρησις, ἡ δὲ στέρησις ἕξεως ἀποβολή ἐστιν, ἡ δὲ ἀποβολὴ παντελῶς ἀπόλλυται, ἢ μεθίσταται ἐφ' ἕτερον, πῶς οἷόν τε ἕξει μεθισταμένη, [1] ἢ ἀπολλυμένη, κατονομάζεσθαι τὴν οὐσίαν τοῦ θεοῦ ἀγεννήτῳ προςηγορίᾳ;

pag. 971. Ἀνατρ. Εἰ ἀπὸ σοῦ καὶ δεῦρο, Ἀέτιε, ἡ περὶ [2] θεοῦ δόξα ἀπὸ τῶν σῶν συλλογισμῶν εἰς δόξαν θεῷ πεπόρισται, κατὰ τοὺς ἀνωτάτω ὑπὸ σοῦ λεχθέντας λόγους, καὶ αὐτὸς πρὸς σὲ ἀποτεινόμενος, συγχωροῦντος τοῦ θεοῦ, τὰ ἴσα σοι καὶ αὐτὸς προςφθέγξομαι, ὅτι μηδενὸς τῶν παλαιῶν ἔν τε τῇ παλαιᾷ διαθήκῃ καὶ ἐν τῇ καινῇ ἁγίων ἀποστόλων, ἢ προφητῶν, τοῦτο [3] πεφρονηκότων, ἀμείνονά σε αὐτὸν [4] καθιστὰς καὶ αὐτοῦ τοῦ θεοῦ, καὶ ἀσφαλῆ. Ἀπὸ γὰρ σοῦ καὶ δεῦρο προσέλαβε τὸ θεῖον, ὡς κατὰ τὸν σὸν λόγον, εἰς τὴν αὐτοῦ πίστιν τὴν [5] συλλογιστικὴν ταύτην σου τὴν τεχνολογίαν, τὸ περὶ ἀγεννήτου λέγειν στερήσεως, καὶ τὸ γεννητοῦ, καὶ παντελῶς ἀποβολῆς ἕξεως καὶ μεταβολῆς, καὶ περὶ θεὸν κατονομασίας ἐν τῇ κατὰ τὸν θεὸν οὐσίας προςηγορίᾳ. Οὔτε γὰρ διὰ τὸ τὸν θεὸν εἶναι πάντων [6] κτίστην τῶν μετὰ τὸν μονογενῆ αὐτοῦ, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, διὰ τῆς τῶν κεκτισμένων συστάσεως τὸ στερητικὸν ἐφευρέθη τῶν οὐ προςόντων

5. συμπᾶσι *cod. Rhedig.*

1. *Verba* ἢ ἀπολλυμένη *supra non extant.*

2. θεὸν *cod. Rhedig.*

3. *Corrigendum videtur* πεφρονηκότος.

trinitas, quae dignitatis suae appellationi cuique consentanee semper existit. Nam per ipsam, et non extra, quae facta sunt, cum non essent, producta sunt. Ideo neque solus per sese pater caussa est conditarum rerum, sed pater et filius et spiritus sanctus procreavit omnia. Quod si alienus esset filius, atque a principio suo nondum existens originem habuisset, cum ceteris omnibus ab eo profectus aequalis esset omnibus; unde et deus non generando, sed procreando principium haberetur, fierique non posset amplius ut unus genitus ac filius, cetera vero creaturae dicerentur, sed vel omnia geniti nomine continerentur, vel filius ipse perinde ac cetera creatura diceretur, neque quicquam in eo esset eximium; cum hac ex parte, quod ex nihilo productus foret, unus ille cum ceteris adaequaretur omnibus; adeo ut non modo angeli cum conditore ac creatore suo unico dei filio, sed et homines et pecudes adaequentur, ac cetera quae ab illius natura ac dignitate infinito intervallo distant. Igitur filius existens cum existente patre aeternus est, ab eoque sine tempore, non e nihilo, sed ex ipso re vera genitus, estque spiritus eius sanctus ab illius natura non alienus, neque velut adiumenti gratia, ut Aëtius existimat, a deo comparatus.

Aetii Caput XXIV. Si ingenitum privatio quaedam est, est autem privatio affectionis amissio, amissio porro penitus e medio tollitur, aut in alterum commutatur, quonam pacto affectione illa transeunte aut pereunte, hoc est ingeniti appellatione, dei substantia cognominabitur?

Confut. XXIV. Si nunc primum a te et a tuis, Aëti, temporibus certa de deo opinio tuis ex syllogismis est ad eiusdem gloriam honoremque deprompta, quemadmodum antea professus es, ego vero, qui adversus te, deo opitulante, disputo, eadem quae tu dicis usurpare potero, cum antiquorum nemo tam in vetere quam in novo testamento, sive ex apostolis, sive ex prophetis ita senserit, tuo te iudicio vel ipso deo praestantiorem esse, et ab errore omni remotum. Etenim abs te primum, et ex hoc tempore deus, ut asserere videris, tuum illud dialecticae subtilitatis artificium, velut quandam fidei suae accessionem adiecit, ut puta totam illam disputationem de ingeniti privatione, deque genito ac de affectionis amissione perfecta, sive commutatione, ac de appellatione dei, quae substantiae ipsius tribuitur. Etenim non idcirco, quod deus omnium post unicum filium ac spiritum sanctum procreator sit, ex conditarum rerum constitutione, aut eorum quae absunt a deo privatio, aut

4. *Fortasse* καθίστης.
5. ἀλογιστικὴν *cod. Rhedig.*
6. κτίστην *codd. mss. et edit. princ.* κτιστὴν *edit. Petav.*

θεῷ, ἢ τὸ ὁμολογητικὸν τῶν ὄντων αὐτῷ προςείληπται, ἵνα τὸ μετέπειτα κτισθὲν τὸ ἄμεινον θεῷ [7] προςφέρῃ, καὶ ἀκραιφνὲς διὰ τοῦ ἀπ᾽ ἐκείνου πρὸς ταῦτα στερητικοῦ τε καὶ ἀμεταβλήτου [8] ἐπινοοῖτο. Ἀλλ᾽ ὅτι ἐστὶν ἀεὶ αὐτὸ ὂν ὅλον δόξα, καὶ ὅλον ἀπερίληπτον ὑπὸ πάντων τῶν ὑπ᾽ αὐτοῦ κεκτισμένων, κατὰ τὸ μέτρον τῶν πρὸς τὴν δοξολογίαν ἐπεκτεινομένων, δοξολογούμενον παρ᾽ ἀγγέλοις μὲν κατὰ τὴν ἀγγέλων γλῶσσαν, τὴν παρὰ τῷ ἀποστόλῳ προκριτέαν τῶν ἀνθρώπων καταγγελλομένην, [9] καὶ κατὰ τὴν τῶν ἀνθρώπων γλῶσσαν τὴν ὑποβεβηκυῖαν τῷ μέτρῳ, καὶ κατὰ τὴν τῶν ἔτι ὑποβεβηκότων δύναμιν. Καὶ οὐ πάντως ἐν ἑκάστῳ κτίσματι ἀναλόγως ὑποβέβηκεν ἡ δοξολογία, ἢ μεταβέβληται· ἀλλ᾽ ἔστι μὲν ἐν ἑαυτῇ ἀμετάβλητος, [10] στερισκομένης πάσης κτίσεως πρὸς τὸ ἄπειρον ἐπεκτείνεσθαι ἐν δοξολογίᾳ, ὑπερβαινούσης ἀεὶ πάντα νοῦν τῆς ἀνωτάτω οὐσίας, οὐ διὰ τῶν λεγομένων ὑπὸ πάντων ἐξεῖναι αὐτῇ ἢ τροπὴν, ἢ μεταβολὴν, ἢ προκοπὴν περιποιουμένης. Ἡ γὰρ αὐτὴ θεότης ἀμείνων ἐστὶ, καὶ ἀσύγκριτος, καὶ δεδοξασμένη.

pag. 972. Ἀετίου κεφάλ. κε΄. Εἰ τὸ ἀγέννητον δηλοῖ στέρησιν μὴ προςοῦσαν [1] θεῷ, πῶς ἀγέννητον εἶναι λέγομεν, γεννητὸν δὲ μὴ εἶναι;

Ἀνατρ. Ἀγέννητόν ἐστι μὲν οὖν, ἐῤῥέθη δὲ οὐδαμοῦ, οὐκ [2] ἀπό του προφήτου, οὐκ ἀπὸ ἀποστόλου, οὐκ ἀπὸ εὐαγγελιστοῦ. Θαῦμα γὰρ [3] οὐδὲ ἓν ἦν τοῦτο περὶ θεοῦ λέγειν. Προςῆν γὰρ τῷ εὐσεβεῖ λογισμῷ [4] ἀπ᾽ αὐτοῦ τοῦ κατὰ τὴν φύσιν νόμου. Σὺ δὲ, Ἀέτιε, τοῦτο ἡμῖν καινοτομήσας λέγειν ὡς θαῦμα προςεισφέρειν σεαυτῷ νομίζεις. Συνέφυρας δὲ καὶ συνέμιξας τῷ εὐσεβεῖ τῆς φύσεως νόμῳ καὶ τῷ τῆς πίστεως θεσμῷ, τῷ ἐπὶ προςθήκῃ βελτιώσεως ἐκ θεοῦ κεχαρισμένῳ, τὸ τῷ ἀγεννήτῳ γεννητὸν ἐπινοῆσαι [5] ἐξισούμενον τῷ ἀξιώματι, ἵνα ὁ παρὰ σοὶ προσκυνούμενος ἀνόμοιος ἴσος εὑρεθείη τῷ κατὰ σὲ ἀνομοίως κηρυττομένῳ. Εἰ μὲν οὖν προςκυνήσειας τὸν πατέρα ψιλῇ ὀνομασίᾳ, εἰρωνείᾳ τὴν τιμὴν προςήνεγκας. Καὶ εἰ τὸν

7. προςφέρει *codd. mss. et ed. princ.*

8. ἐπινοεῖτο *cod. Rhedig. Petavius corrigit* ἐπινοουμένου. *Cornarius vertit* quo id quod postea creatum est offerre deo id quod melius est et sincerum, per illam privationem et immutabilitatem excogitavit, *unde eum patet effinxisse* προςφέρειν καὶ ἀκρ. κτλ.

9. καὶ κατὰ *scripsi pro* κατὰ, *quod vulgo extat, particula* καὶ *ex sequente* κατὰ, *quo absorpta erat, repetita. Petavius deesse putavit* παρὰ δὲ τῶν ἀνθρώπων *ante* κατὰ τὴν τῶν ἀνθρ. *Cornarius vertit* glorificetur item secundum hominum linguam mensura inferiorem *cett.*

10. *Scripsi* στερισκομένης *pro* στερισκομένη, *quod extat in editis et in cod. Ien., praeeunte Cornario qui vertit* quum privetur omnis creatura eo ut se in glorificatione ad infinitum extendat; *et postulat sententia.* περισκομένη (*cf. supra pag.* 963. *adnot.* 9.) *habet cod. Rhedig.*

eorum quae insunt affirmatio fuit adiuncta; quasi quod postea conditum est praestantius deo quicquam conciliet, et purum quicpiam ac sincerum ex earum rerum quibuscum confertur privatione et immutabili statu excogitatum fuerit. Sed nimirum id ex eo manavit quod existens ipse totus gloria est, ac totus eiusmodi ut ab creatis rebus omnibus comprehendi nequeat, quae pro modulo suo ad eius praedicationem intendunt. Qui quidem ut ab angelis propria ipsorum lingua, quam apostolus *hominum linguis* anteponit, celebratur ac 1.Cor. 13, 1. laudibus effertur, ita et humana lingua colitur, quae inferioris dignitatis est, ac denique etiam ab infimis quibusque rebus pro viribus cuiusque praedicatur. Neque vero in singulis creaturis proportione quadam illius gloria praedicatioque minuitur, aut mutationem patitur, sed immutabilis est in sese, idque creatis est rebus omnibus denegatum, ut ad illius infinitatem praedicando possint extendi, cum suprema illa substantia mentem omnem intelligentiamque superet. Quae ob ea, quae ob omnibus ei tribuuntur, et inesse dicuntur, nullam propterea conversionem, mutationem aut incrementum experitur. Est enim divinitas ipsa longe omnibus praestantior, et incomparabilis gloriaeque plenissima.

Aetii Caput XXV. Si ingenitum privationem, quae deo non inest, significat, cur ingenitum esse, genitum vero non esse dicimus?

Confut. XXV. Ingenitum, etsi deo re vera conveniat, nusquam tamen expressum est, nec a propheta ullo, vel apostolo, vel evangelista commemoratum. Neque vero mirum esse deberet, si de deo affirmatum illud esset. Siquidem pius de deo sensus olim istud ipsum e naturali quadam lege hauserat. Tu vero, Aëti, vocabulum istud studio novitatis inculcans, velut mirificum quiddam et inusitatum proposuisse te putas. Quin etiam religiosissimam naturae legem, nec non et fidei, quam ad meliores homines reddendos divina bonitas indulsit, permiscere ac confundere conatus es, dum ingenito genitum maiestate dignitateque par commentus es, ut ille ipse, quem dissimilem adoras, inaequalis ei videatur, quem dissimiliter praedicas. Iam vero, si appellatione sola patrem adoras, non nisi per simulationem et illusionem honorem hunc illi defers. Item si filium, quem patri dissimilem agnoscis, adorandum censeas,

περισκωμένη *codicis vet., nescio cuius, fortasse Parisini, scripturam adnotavit Petavius.*

1. *Supra* τῷ ϑεῷ.
2. *Vulgo legitur* ἀπὸ τοῦ.
3. οὐδὲν *cod. Rhedig.*
4. ἀπ᾽ αὐτοῦ *codd. mss.* ὑπ᾽ αὐτοῦ *editi libri.*
5. ἐξισούμενον *scripsi praeeunte Cornario (qui vertit* ut ex ingenito genitum intelligamus adaequatum dignitate.) *et Petavio. Libri vulgo* ἐξισούμενος.

υἱὸν προσκυνήσειας ἀνόμοιον πατρὶ ἐπιγινώσκων, σύγχυσιν εἰργάσω ἐν τῇ προσκυνήσει, ἀνόμοιον ἀνομοίου ἴσως τιμήσας. Εἰ δὲ διὰ τήν σου πρόληψιν τῆς ἀπιστίας ἀρνήσει προσκυνεῖν υἱῷ, ἐλεγχθήσῃ ὑπὸ πάντων οὐκ ἐπιγνοὺς τὸν ὀφειλομένως ὑπὸ πάντων προσκυνούμενον καὶ ἴσον. Προσκυνήσουσι γὰρ αὐτῷ πάντες ἄγγελοι θεοῦ· καὶ προσεκύνησεν αὐτῷ Μαρία ἐνδόξως ἀναστάντι ἐν σαρκὶ καὶ πάντες οἱ αὐτοῦ μαθηταί. Οὐ γὰρ [6] ἔχει γεννητοῦ ὀνομασίαν, οὔτε κτιστοῦ· ἐκ πατρὸς γεγεννημένον ἴσασι, καὶ προσκυνοῦσιν ὄντα ἐξ ὄντος, καὶ τὸ ἐξ αὐτοῦ ἅγιον πνεῦμα. Οἴδασι γὰρ αὐτὸν ἀλλότριον τῇ οὐσίᾳ ἀπὸ τῶν γεγονότων. Οὐ γάρ ἐστι γεννητὸς ἢ κτιστὸς, ἀλλὰ γεννητὸς ἐκ πατρός. Διὸ περὶ πάντα καμὼν, καὶ πολλοὺς χρόνους ἀναλώσας, Ἀέτιε, καὶ λόγους ξένους παρεισενέγκας, προσκυνήσεις αὐτῷ. Δεῖ γὰρ πάντας στῆναι ἐνώπιον τοῦ βήματος αὐτοῦ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι, Κύριος Ἰησοῦς Χριστὸς, ὁ οὐκ ἀλλότριος θεοῦ ὢν, ἀλλὰ εἰς δόξαν θεοῦ πατρὸς, κατὰ τὸ γεγραμμένον καὶ πεπιστευμένον.

pag. 973. Ἀετίου κεφάλ. κϛ'. Εἰ ψιλὸν ὄνομά ἐστιν ἐπὶ θεοῦ τὸ ἀγέννητον, ἡ δὲ ψιλὴ προφορὰ τὴν ὑπόστασιν τοῦ θεοῦ ἐπαίρει κατὰ πάντων [1] γεννητῶν, τιμιωτέρα ἄρα ἐστὶν ἡ ἀνθρώπων προφορὰ [2] τοῦ παντοκράτορος ὑποστάσεως, ἀσυγκρίτῳ ὑπεροχῇ καλλωπίσασα θεὸν [3] τὸν παντοκράτορα.

Ἀνατρ. Οὔτε ψιλὸν ὄνομα ἐπὶ θεοῦ ἐστι τὸ ἀγέννητον, οὔτε τοῖς κτιστοῖς κατὰ τὴν οὐσίαν ἐπικοινωνοῦν. Διὸ οὔτε τὰ κτίσματα ψιλῆς ὀνομασίας ἐστὶ σημαντικά. Μέσον δὲ ἀγεννήτου καὶ κτιστοῦ ἄλλου ὀνόματος ἐπιζητουμένου, ὅπερ ἐστὶν υἱὸς, καὶ οὐ κτιστὸς, τίνι ἂν τὸ ἐξαίρετον ἀποδοτέον; Καὶ εἰ μὲν τοῖς κεκτισμένοις τὸ ἐπικοινωνοῦν δῶμεν, οὐδ' ὁποτέρου τῶν λεγομένων ψιλῆς ὀνομασίας ὀνομαζομένου, ὡς ἐπὶ τοῦ ἀγεννήτου καὶ κτίζοντος καὶ κτιστῶν γεγονότων [4] ὡς οὐ ψιλῆς ἐνδεχομένης ὀνομασίας, οὕτως ἐπὶ τοῦ γεννητοῦ καὶ υἱοῦ, μὴ ψιλῆς ἐνδεχομένης ὀνομασίας, τὸ μάτην συκοφαντούμενον σύγχυσιν δηλώσει παρὰ τῷ Ἀετίῳ συλλογιζόμενον, διὰ τὸ μὴ συνεξισοῦσθαι τῷ υἱοῦ ὀνόματι, τῆς κτιστῆς ἐν ἀληθείᾳ οὐσίας, καὶ οὐ ψιλῆς ὀνομασίας. Ἐπειδήπερ οὐ ψιλὴν ἐπιδέχεται καὶ αὐτὸς ὁ υἱὸς τὴν περὶ [5] υἱοῦ ὀνομασίαν. Οὐκ ὄντος δὲ ἀνυπάρκτου, οὔτε κατὰ ψιλὴν ὀνομασίαν λεγομένου τοῦ υἱοῦ μονογενοῦς καὶ τοῦ ἁγίου πνεύματος, τῇ τοῦ πατρὸς συνῆπται δόξῃ, καὶ οὐ [6] συγκέχυται τῇ τῶν κτισμά-

6. ἔχειν γ. ὀνομ., οὔτε κτιστοῦ, ἐκ πατρὸς γεγ. ἴσασι *suspicabatur Petavius.*
1. *Supra* τῶν γεννητῶν.
2. *Supra* τῆς τοῦ.
3. τὸν *abest supra.*
4. *Delendum est hoc* ὡς, *repetitum fortasse ex syllaba* τῶν *vocabuli proximi. Quod flagitat et sententia, et membri*

summam adoratione illa tua perturbationem inducis, cum dissimilem eodem cum eo cuius est dissimilis honore afficis. Quod si, quae tui dogmatis perfidia est, filium adorare te neges, statim te omnes redarguent, ut qui nequaquam illum agnoscas quem adorare omnes et aequalem confiteri debent. *Adorabunt enim eum omnes angeli dei.* Hebr. 1, 6.
Eundem Maria, cum in carne splendidissime resurrexisset, ac Matth. 28.
postremo discipuli omnes adorarunt. Huic enim facti creative appellationem minime convenire, utpote a patre genito, non ignorant. Itaque existentem ab existente natum, nec non et spiritum sanctum adorant. Norunt enim illum ab conditarum rerum natura discrepare. Quippe non factus est, aut creatus, sed a patre genitus. Quamobrem cum plurimum aestuaveris, ac multum temporis consumpseris, Aëti, ac peregrinas et inauditas voces invexeris, illum tamen vel invitus adorabis. *Oportet enim omnes coram illius tribunali sisti:* 2.Cor. 5, 10.
ac tum omnis lingua confitebitur, quoniam dominus Iesus Christus non Phil. 2, 11.
alienus est a deo, sed in gloria dei patris, quemadmodum tam scriptura quam catholica fides habet.

Aetii Caput XXVI. Si ingenitum nuda in deo est appellatio, adeo ut supra creatarum rerum omnium conditionem sola pronuntiatio divinam substantiam extollat, consequens est hominum pronuntiationem omnipotentis dei substantia praestantiorem videri, quae quidem ipsam incomparabilis excellentia dignitatis exornet.

Confut. XXVI. Neque nudum in deo nomen est ingenitum, neque cum creatis rebus naturae communionem habet. Quare neque creaturae nudam appellationem significant. Iam vero cum inter ingenitum ac creatum medium aliquod vocabulum quaeratur, hoc est filius, minimeque creatus, cuinam eximium illud potissimum tribuendum est? Ac si quidem creaturis commune cum filio illud adscribamus, cum neutrum vocabulum sola ac nuda appellatione constet, et quemadmodum ingenitus, et creator, et creaturae non voces merae sunt, ita genitus, et filius aliquid praeter nomen habeat, nimirum quod per summam calumniam ratiocinando colligit Aëtius, mirificam perturbationem et confusionem pariet; quandoquidem cum filii nomine creaturae, quae re vera, non appellatione tenus, eiusmodi esse dicuntur, adaequari minime possunt. Nam et filius ipse, cum filius dicitur, non meram id ac solam appellationem prae se ferre putandum est. Quocirca cum unicus dei filius, ut et spiritus sanctus, neque reapse non existat, neque nuda appellatione dicatur, cum patris gloria coniunctus est, neque cum creatarum rerum ap-

quod in sequentibus respondit comparatio μὴ ψιλῆς ἐνδεχομένης ὀνομασίας.

5. τοῦ υἱοῦ *cod. Rhedig.*
6. συνεγκέχυται *cod. Rhedig.*

των ὀνομασίᾳ. Οὔτε γὰρ ἐπάρσεως δεῖται ἡ θεότης ὡς μὴ οὖσα, οὔτε ὕψους ἐστὶν ἐνδεομένη, κἄν τε παρά τινων τῶν ἐν ἀγνοίᾳ ὄντων μὴ ὑψοῖτο, οὔτε διὰ τῆς τινων προφορᾶς ἡ θεότητος οὐσία συνίσταται. Οὔτε γὰρ καυχήσεται ἡ τῶν ἀνθρώπων ἢ ἄλλων προφορὰ ὡς θεῷ ἐνδεεῖ δόξαν περιποιουμένη, ἢ καλλωπίζουσα θεὸν παντοκράτορα, θεὸν προσκυνητόν· θεὸν [7] ἐπίσταται καὶ [8] κτίστην καὶ δημιουργὸν ἴδιον. Οὔτε γὰρ ἑαυτὴν ὑπερένδοξον ἡγεῖται, καὶ κοσμήτριαν τοῦ ἰδίου αὐτῆς δημιουργοῦ· ἐπεὶ ἂν ἑαυτὴν προσκυνητὴν ἡγήσαιτο, οὐ μὴν προσκυνοῦσα τὸν προσκυνούμενον. Καὶ μάτην κατὰ πάντων λόγον κινεῖ ὁ σὸς λόγος, Ἀέτιε.

pag. 974. Κεφάλ. Ἀετίου κζ΄. Εἰ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται, [1] ἀναίτιος δὲ ἡ ἀγέννητος φύσις, [2] οὐκ αἰτίαν δηλοῖ τὸ ἀγέννητον, [3] ἀλλὰ ὑπόστασιν σημαίνει.

Ἀνατρ. Καὶ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται, καὶ οὐχ ὁμολογοῦμεν τοῦτο, ὡς ἀπὸ σοῦ μεμαθηκότες. Προορᾷ γὰρ ἡ πίστις τῆς ἀληθείας τοῦτο, καὶ προομολογεῖ, καὶ διδάσκει ὅτι θεός ἐστιν ὁ ἀναίτιος πάσης αἰτίας, καὶ ἀμιγὴς, καὶ ἀνυπεύθυνος πάσης ἰσότητος. Διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οὐ προσκυνοῦμεν πᾶν τὸ ὑποβεβηκὸς τὴν αὐτοῦ τοῦ θεοῦ οὐσίαν, διὰ τὸ μόνῳ πρέπειν τῷ ἀνυπευθύνῳ τὸ σέβας νέμειν, πατρὶ τῷ ἀγεννήτῳ, καὶ υἱῷ τῷ ἐξ αὐτοῦ, καὶ ἁγίῳ πνεύματι, τῷ ἀπ' αὐτοῦ καὶ διὰ τοῦ μονογενοῦς, ἐπειδὴ οὐδὲν ἐν τῇ τριάδι κτιστὸν, καὶ ὑπὸ αἰτίαν ἐμπίπτον ἐστίν. Οὐ γὰρ ἐξ οὐκ ὄντων τι ἔστιν ἐν τῇ τριάδι, ὡς καὶ τὰ ἄλλα τὰ ὑπὸ αἰτίαν πεπτωκότα, καὶ αἰτίαν κεκληρωμένα. Διὸ ἀναιτία οὖσα τῆς τοιαύτης αἰτίας ἡ τριὰς μόνην ἑαυτὴν ἀπλανῶς ἐδίδαξε προσκυνεῖσθαι, ἐπειδὴ μόνη αὕτη ἀναίτιός ἐστι. Τὰ δὲ πάντα ὑπὸ αἰτίαν περιπέπτωκε· τὰ μὲν γάρ ἐστι γεγονότα καὶ κεκτισμένα, πατὴρ δὲ ἄκτιστος, υἱὸν ἔχων ἐξ αὐτοῦ γεγεννημένον, ἀλλ' οὐ κτιστὸν, καὶ ἅγιον πνεῦμα ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ οὐ δεδημιουργημένον. Τούτων δὲ οὕτως ἐχόντων οὔτε πάθος κεκλήρωται αἰτίου ὁ προσκυνούμενος υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, κἂν πατέρα ἔχοι τὸν γεννήτορα, οὔτε τὰ λοιπὰ κτίσματα ἄνευ πάθους εἴη κληρώσεως [4] αἰτίας, ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος κεκτισμένα. Σαφῶς δὲ ἄνευ πάθους εἴη ὁ μονογενὴς κληρώσεως αἰτίας, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, ὡς καὶ ὁ πατὴρ, ὅτι υἱός ἐστι γέννημα, καὶ οὐ κτίσμα· καὶ οὐκ ἀπὸ τοῦ γεγεννῆσθαι [5] αἰτίαν πάθους κληρωθήσεται ὁ υἱὸς,

7. ἐπιστάτην coniecit Petavius.
8. κτίστην codd. mss. et ed. princ. κτιστήν edit. Petav.
1. Supra αἴτιος, mendose.
2. Negativa particula οὐκ omissa est supra.
3. Supra ἀλλ' ὑπόστασιν.
4. αἰτίας correxerunt Cornarius et Petavius. In libris est αἰτία.
5. αἰτίαν correxerunt Cornarius (is enim vertit et non ex eo quod genitus est,

pellatione confusus. Nam divinitas neque efferri sese postulat, quasi non sit, neque sublimitatem requirit, licet ab ignaris quibusdam praedicando non attollatur, neque ullius hominis pronuntiatione divinitatis substantia constat. Non enim hominum ceterorumve prolatio gloriari poterit deo se, velut indigenti, gloriam decusque tribuisse, aut eidem omnipotenti adorandoque deo ornamenti aliquid attulisse; quem quidem deum et creatorem conditoremque suum agnoscit. Non enim, opinor, tam exquisito se splendore praeditam existimat, ut etiam conditorem suum exornare possit. Alioqui semetipsam adorandam esse crederet, non eum quem adorat veneraretur. Quare frustra adversus omnes tua, o Aëti, contendit oratio.

Aetii Caput XXVII. Si cum eo omni quod genitum est implicata et coniuncta caussae notio est, ingenita vero natura caussa caret, cum ingenitum dicimus, non caussam aliquam, sed substantiam exprimimus.

Confut. XXVII. Quod cum omni genito implicatam esse caussae notionem asseris, verissimum quidem est, sed non istud, quasi a te didicerimus, profitemur. Hoc enim vera ipsa fides iamdudum praesenserat et professa fuerat ac docuerat, deum caussae esse omnis expertem, nec ulla re permixtum, nec ad ullius rei aequalitatem posse demitti. Nam propterea nihil adorandum putamus quod divina ipsa natura sit inferius. Quippe cum ei soli qui nulli subiectus est sit ille cultus adhibendus, patri videlicet ingenito et filio, qui ab ipso genitus est, et spiritui sancto, qui ab eodem per unigenitum productus est. Quandoquidem nihil in trinitate creatum, nihil caussae ulli est obnoxium. Non enim aliquid in illa est e nihilo productum, velut cetera quae caussam aliquam sortita caussaeque subiecta sunt. Quocirca cum eiusmodi caussam nullam trinitas habeat, semetipsam solam sine ullo errore adorandam docuit; quoniam sola caussae omnis est expers, reliqua vero omnia a certa caussa proficiscuntur. Haec enim facta procreataque sunt, pater increatus, filium habens a se genitum, non creatum, et sanctum spiritum a se procedentem, non factum. Quae cum ita sese habeant, neque affectio ulla in adorandum filium vel spiritum sanctum redundet a caussa, etiamsi genitorem filius habeat patrem, neque creatae ceterae res affectionis expertes sunt, quae ex caussae sortitione oritur, cum sint a patre, filio et spiritu sancto procreatae. At unigenitus nihil ex istiusmodi caussae attributione patitur, neque spiritus sanctus, quemadmodum neque pater ipse; propterea quod filius genita soboles est, non creatura. Quare nullam ex eo quod geni-

caussam passionis sortietur filius) *et Petavius. Libri vulgo* αἰτία.

οὐδὲ τὸ πνεῦμα, ἐπειδὴ ἐκ πατρὸς ἐκπορεύεται. Οὔτε γὰρ ὁ πατὴρ, ἐπειδὴ ἐγέννησε καὶ ἐξ [6] ἑαυτοῦ ἐξήγαγε, τὰ δ' ἄλλα [7] πάντα μετὰ υἱὸν
pag. 975. καὶ πνεῦμα ἔκτισεν, ὑπὸ πάθος αἰτίας εὑρίσκεται. Καί τοί γε τῶν ἄλλων πάντων ἐν τῷ κτίζειν ἢ γεννᾶν πάθει συνεχομένων. Ἀναίτιος γοῦν ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα· αἰτία δέ ἐστιν ἡ τριὰς τῶν ἁπάντων, συγκτίζουσα καὶ συνδημιουργοῦσα, μηδὲν ἐν αὐτῇ κτιστὸν ἢ δεδημιουργημένον γινώσκουσα.

Ἀετίου κεφάλ. κη'. Εἰ πᾶν τὸ γεγονὸς ὑφ' ἑτέρου γέγονεν, ἡ δὲ ἀγέννητος ὑπόστασις οὔτε ὑφ' ἑαυτῆς, οὔτε ὑφ' ἑτέρας γέγονεν, ἀνάγκη οὐσίαν δηλοῦν τὸ ἀγέννητον.

Ἀνατρ. Καὶ τοῦτο πάλιν Ἀέτιος ἥκει φέρων ἡμῖν, ὡς καινόν τι καὶ πρόσφατον ὑφηγούμενος, ἵνα φανῇ διαλεκτικῆς ἐφευρετὴς εἶναι συλλογιστίας, ἐκ περισσοῦ [1] μόνον αὐτὸ τοῦτο δηλῶν ὅπερ οὐδὲ ἀμφιβάλλεται, οὔτε κατὰ τῆς ἀληθείας τὸ ἀεὶ [2] ἑαυτῷ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ὁμολογούμενον ἐνυπάρχει. Πᾶν γὰρ τὸ γεγονὸς ὑφ' ἑτέρου γίνεται. Ἡ δὲ ἀγέννητος ὑπόστασις οὔτε ὑφ' ἑαυτῆς, οὔτε ὑφ' ἑτέρας γέγονεν· εἰ καὶ ἀνάγκη οὐσίαν δηλοῦν τὸ ἀγέννητον. Καὶ τί τούτου ἀναγκαιότερον; Ὅπερ γὰρ ἀεὶ παρ' αὐτοῖς τοῖς τε Ἀνομοίοις καὶ Ἀρειανοῖς τὸ τῆς οὐσίας ὄνομα παλιμβόλως [3] ἐξελάβετο Ἀέτιος, σαφῶς ἀναγκαζόμενος ὑπὸ τῆς ἀληθείας ὡμολόγησεν. Οὐσίας τοίνυν οὔσης τῆς ἀγεννησίας, ἐξ αὐτῆς δὲ, καὶ οὐκ ἐξ οὐκ ὄντων ἀχράντως καὶ ἀπαθῶς γεννησάσης τὸν μονογενῆ, ἀχρόνως καὶ ἀνάρχως, καὶ ἐξ αὐτῆς ἐξαγαγούσης τὸ ἅγιον πνεῦμα, καὶ οὐκ ἐξ οὐκ ὄντων, σαφῶς ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ ὀρθοδόξως ὁμοούσιος ἡ τριὰς κηρύττεται, μηδενὸς τῶν κεκτισμένων δυναμένου τῷ ὀνόματι τούτῳ καλεῖσθαι, διὰ τὸ [4] μηδὲ κατὰ φύσιν εἶναί τι ὅμοιον τῷ μονογενεῖ, καὶ τῷ ἁγίῳ πνεύματι, μήτε κατὰ τὸ σέβας. Τὰ μὲν γάρ ἐστιν ἐξ οὐκ ὄντων κεκτισμένα, καὶ οὐ προςκυνητὰ, ἡ δὲ τριὰς ἀεὶ ἔστιν, ὁ πατὴρ, πατὴρ τέλειος, καὶ ὁ υἱὸς, υἱὸς τέλειος ἐκ πατρὸς γεννηθεὶς, καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα τέλειον ἐκ πατρὸς προελθὸν καὶ τοῦ υἱοῦ λαμβάνον. Καὶ πάντα ἡμῖν φωτεινὰ τὰ τῆς θείας γραφῆς καὶ τὰ τῆς ἁγίας πίστεως, καὶ οὐδὲν σκολιὸν ἢ ἐναντίον ἢ στραγγαλιῶδες.

pag. 976. Ἀετίου κεφάλ. κθ'. Εἰ τῇ τοῦ γεννήματος οὐσίᾳ [1] συνεμφαίνεται

6. αὐτοῦ *cod. Rhedig.*

7. πάντα, *quod abest ab editis, restitui ex codd. mss. Expressum est in Cornarii versione Latina.*

1. *Vulgo scriptum legitur* συλλογιστίας ἐκ περισσοῦ (περισοῦ *codd. mss. uterque*), οὐ μόνον. *Voculam* οὐ *delendam esse viderunt iam Cornarius atque Petavius.*

2. *Libri vulgo habent* ἐν αὐτῷ, *quod correxi. Dativus* ἑαυτῷ *iunge cum* ὁμολογούμενον. *Cornarius ita vertit* quo dialecticae ex superfluo ratiocinantis inven-

tus est affectionem caussae sortitur filius, nec spiritus sanctus, cum a patre procedat. Etenim pater ex eo quod genuit, aut emisit e se ipso, cetera vero post filium ac spiritum sanctum creavit, affectioni ulli caussae subiectus est; quamquam alia omnia in creando generandove patiantur aliquid. Quapropter pater, filius et spiritus sanctus caussam habent nullam. Omnium vero caussa est ipsa trinitas, quae omnia ista simul creat ac molitur, nihilque in sese creatum aut fabricatum agnoscit.

Aetii Caput XXVIII. Si quicquid productum est ab altero productum est, ingenita vero hypostasis nec a se ipsa, nec ab alia producta est, ingeniti vocabulo substantia ipsa significetur oportet.

Confut. XXVIII. Rursum nobis istud Aëtius, tanquam novum aliquid et inauditum obiicit, ut dialecticae istius subtilitatis auctor esse videatur. Quare supervacanee illud unum inculcat, quod in controversiam minime revocatur, neque veritati repugnat, et perpetuo ecclesiae catholicae professione tenetur. Quicquid ergo factum est, ab altero factum sit oportet, at ingenita hypostasis neque a se ipsa, neque ab alia; quamvis ingeniti nomine substantiam significari necesse sit. Quid enim magis illo necessarium esse potest? Nam hoc substantiae vocabulum, quod Anomoei et Ariani in ore semper habent, callide ac veteratorie usurpavit Aëtius, et ab ipsa coactus veritate confessus est. Itaque cum ingeniti ratio ipsa substantia sit, eademque e se ipsa, non e nihilo, sine ulla inquinatione ac passione unigenitum genuerit, nullo neque tempore nec initio, spiritum vero sanctum emiserit e seipsa, non e nihilo produxerit, manifestum est in sancta ac catholica ecclesia consubstantialem trinitatem rite praedicari. Quo quidem nomine creata nulla res comprehendi potest, eo quod neque natura, neque cultu ac veneratione potest aliquid unigenito aut spiritui sancto esse simile. Cetera enim e nihilo creata, nec adoratione prosequenda sunt, trinitas vero sempiterna; pater perfectus, pater est, filius perfectus, filius a patre genitus, spiritus sanctus perfectus, spiritus *a patre procedens, et a filio accipiens.* Ita scriptura omnis sacra et catholica fides clarissima nobis est, neque quicquam inest obliquum, aut contrarium, aut denique tortuosum. Ioann. 15, 26.

Aetii Caput XXIX. Si ingeniti substantia, tanquam caussa,

tor esse videatur: hoc ipsum declarans de quo neque ambigitur, et quod in catholica ecclesia in confesso existit.

3. *Fortasse* ἐξέλαβε, ὃ Ἀέτιος *cett. Cornarius convertit* Quod enim semper apud ipsos Anomoeos et Arianos dolose accipitur ipsum essentiae nomen, Aetius clare coactus a veritate confessus est.

4. μὴ κατὰ *cod. Rhedig.*

1. *Supra* συμφαίνεται.

ὡς αἰτία ἡ ἀγέννητος ὑπόστασις, κατὰ πάσης αἰτίας τὸ ἀπαράλλακτον ἔχουσα, [2] αὐτοουσία ἐστὶν ἀσύγκριτος, οὐκ ἔξωθεν [3] συνεμφαίνουσα τὸ ἀπρόσιτον, αὐτὸ δὲ ὑπάρχουσα ἀσύγκριτος καὶ ἀπρόσιτος, ἐπειδὴ καὶ ἀγέννητος.

Ἀνατρ. Πολλάκις κατὰ τῶν αὐτῶν Ἀέτιος φέρεται, ὥσπερ καὶ αὐτὸς πολλάκις ἔφην, εἰς κάματον μόνον ἡμᾶς φέρων, καὶ οὐδὲν περισσότερον. Διὸ καὶ ἐν τῷ παρόντι ἀνάγκην ἔσχομεν τῷ καμάτῳ προσθεῖναι, καὶ τὰ αὐτὰ τοῖς αὐτοῖς δευτερολογεῖν, ἐπειδήπερ καὶ αὐτῷ οὕτως ἔδοξεν. Εἰ γὰρ καὶ τῇ γεννήματος οὐσίᾳ [4] συνεμφαίνεται ἡ ἀγέννητος γεννήσασα, οὐδὲν διοίσει τοῦ ἀξιώματος [5] τῷ γεννᾶν ὁ γεννήτωρ τὸ γεγεννημένον. Ἐξ αὐτοῦ γὰρ ἐγέννησεν οὐσιωδῶς, πνεῦμα ἐκ πνεύματος, καὶ οὐ σῶμα ἐκ σώματος. Διὸ ἀσυγκρίτως συνεμφαίνεται συμπρέπων ὁ γεννήτωρ τῷ γεγεννημένῳ, καὶ ὁ γεγεννημένος τῷ γεγεννηκότι. Οὔτε γὰρ προσθήκης δεῖται τὸ θεῖον, ἵνα ποτὲ πατὴρ κληθείη, ποτὲ δὲ οὔ· οὔτε ὁ υἱὸς εὑρεθήσεται ἐκ τοῦ ἄνωθεν συνδέσμου, ποτὲ μὴ ὤν, ἄρτι δὲ ὤν. Διὸ αὐτοουσία ἐστὶν ὁ θεὸς πατήρ, καὶ ὁ υἱός, καὶ ἅγιον πνεῦμα, καὶ οὐχ ἑτεροουσία. Οὔτε γὰρ ἔστι συνάδελφος, οὔτε ἔστιν ἐπιγεννητός, ἀλλὰ ἀνεκδιηγήτως συμπρέποντος τοῦ Πατὴρ ὀνόματος ὁμοουσίῳ ὄντι τῷ υἱῷ, καὶ [6] συμπρέπον ὄντως τῷ πατρὶ καὶ υἱῷ τὸ ἐξ αὐτοῦ, δι' αὐτοῦ, καὶ τῶν αὐτοῦ, τὸ ἅγιον αὐτοῦ πνεῦμα. Διὸ τὸ ἀπρόσιτόν ἐστιν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι πρὸς ἅπαντα ὅσα ἔστιν ὑποβεβηκότα ὄντα, καὶ ἐξ αὐτῆς τῆς τριάδος κτισθέντα. Ἡ δὲ τριὰς πρὸς ἑαυτὴν οὐκ ἀπρόσιτος· ἔστι γὰρ ἄκτιστος, καὶ ἀγέννητος, καὶ ἀσύγκριτος. Διὸ οὐ δύναται οὐδὲν ἐξισοῦσθαι πατρί· οὐ συμπροσκυνεῖται αὐτῷ τι τῶν ἐξ οὐκ ὄντων γεγονότων, καὶ οὐχὶ γεγεννημένων. Οὐδενὶ γὰρ τῶν γεγονότων εἶπε
pag. 977. ποτέ, Κάθου ἐκ δεξιῶν μου. Οὐδὲ [7] μὴν ὁ μονογενὴς περί τινος εἴρηκεν ὅτι, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, καί, Ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί, καί, Οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱός, καὶ τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, καὶ ᾧ ἐὰν ἀποκαλύψῃ. Ἀποκαλύπτει δὲ διὰ πνεύματος ἁγίου, τοῦ γινώσκοντος, καὶ διδάσκοντος, καὶ ἀπαγγέλλοντος ἐν κόσμῳ τὰ υἱοῦ, ἐρευνῶντός τε καὶ τὰ βάθη τοῦ θεοῦ. Διὰ τοῦτο γάρ φησι, Ὁ μὴ τιμῶν τὸν υἱὸν καθὼς τιμᾷ τὸν πατέρα, ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. Καὶ οὐκ εἶπεν, Ὁ μὴ τιμῶν ἀγγέλους

2. *Supra* αὐτουσία.

3. *Ita corrigendum erat ex superioribus. Vulgo* συνυφαίνουσα.

4. συμφαίνεται *cod. Rhedig.*

5. τῷ *emendavit Petavius. Vulgo legitur* τοῦ. *Cornarius convertit* nihil tamen distinguet a se genitor ipsum genitum per dignitatem gignendi.

6. *Scripsi* συμπρέπον ὄντως *cui emendationi favere videbam scripturam codd. Parisin. et Rhedig.* συμπρεπόντως ὄντος. *Reliqui libri habent* συμπρέποντος. *Cornarius vertit* sed inenarrabiliter condecenter patris nomini coessentialis est

ingenita hypostasis declaratur, quae prae omni caussarum genere immutabilitate sit praedita, eadem per sese substantia incomparabilis est, non velut extrinsecus adscitam qualitatem illam prae se ferens, nihil ut ad ipsam possit accedere, sed id ex sese habens, uti nihil cum ipsa conferri, aut ad eam accedere possit. Unde et per semet est ingenita.

Confut. XXIX. Idem saxum perpetuo voluit Aëtius, ut a me saepius est dictum, neque quicquam aliud nisi laborem nobis affert ac taedium. Quamobrem etiam hoc loco novum quendam laborem adiicere cogimur, eademque repetere, quandoquidem ita illi videtur. Igitur licet ingeniti substantia ingenita, unde producta est, natura significetur, nihil tamen idcirco dignitatis intererit, quod genitor genitum produxisse dicatur. Quippe e se ipso secundum substantiam spiritum e spiritu genuit, non corpus e corpore. Unde sine ulla comparatione genitor in geniti notione, et genitus in generante congruenter intelligitur. Neque enim accessione ulla divinum numen opus habet, ut pater alias vocetur, alias minime vocetur, neque filius ex sempiterna coniunctione quandoque esse, quandoque non esse reperietur. Quare eadem per se substantia deus est, pater et filius et spiritus sanctus, non diversa. Non enim velut frater quidam est patris filius, aut posteriore loco genitus, sed inexplicabili quadam ratione fit ut et patris appellatio cum filio consubstantiali congruat, et cum patre et filio qui ex ipso et per ipsum et ex ipsius propriis oritur spiritus sanctus conveniat. Inde fit ut pater, filius et spiritus sanctus inaccessus dicatur, hoc est nihil eorum quae inferioris gradus sunt, et ab ipsa trinitate creata, ad eam possit pertingere. Trinitas porro ipsa sibi ipsi nequaquam est inaccessa. Est enim increata, non facta, et incomparabilis. Ergo nihil adaequari cum patre potest, neque cum ipso quicquam earum rerum communiter adoratur quae ex nihilo factae, minime vero genitae sunt. Nulli quippe creatarum rerum dixit unquam, *Sede a dextris meis.* Sed nec unicus dei filius de quoquam istud usurpavit aliquando: *Qui videt me, videt et patrem;* et: *Ego in patre, et pater in me est;* item: *Nemo novit patrem nisi filius, et filium nisi pater, et cui revelaverit.* Per spiritum vero sanctum revelat, qui quae ad filium pertinent cognoscit, edocet, et in mundum praedicat, imo vero dei alta ac *profunda scrutatur.* Propterea quoque dixit, *Qui non honorat filium, sicut honorat patrem, ira dei manet in ipso.* Non dixit, Qui non honorat angelos, sicut honorat patrem; nec ita concepit: Qui non

Psalm. 109, 1. Ioann. 14, 9. Matth. 11, 27. 1. Cor. 2, 10.

filius, et condecenter patri et filio ex ipso sanctus ipsius spiritus.

7. μὴν codd. mss. μὲν editi.

ὡς τιμᾷ τὸν πατέρα. Οὐδὲ πάλιν εἶπεν, Ὁ μὴ καὶ τὸν υἱὸν τιμῶν, ἀλλὰ, Υἱὸν ὡς τὸν πατέρα. Ὡςαύτως ὅτι, Οὐκ ἀφεθήσεται τῷ εἰς τὸ πνεῦμα βλασφημοῦντι, οὔτε ὧδε, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι, ἵνα [8] σημάνῃ τῆς τριάδος τὸ ἀπρόςιτον καὶ ἀσύγκριτον ἐν πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι.

Ἀετίου κεφάλ. λ'. Εἰ ὑπεράγει πάσης φύσεως ὁ παντοκράτωρ, διὰ τὸ ἀγέννητον ὑπεράγει, ὅπερ ἐστὶν αἴτιον τοῖς γεννητοῖς διαμονῆς. Εἰ δὲ μὴ ἔστιν οὐσίας δηλωτικὸν τὸ ἀγέννητον, πόθεν ἂν ἡ τῶν γεννητῶν φύσις ἕξει τὸ διασώζεσθαι;

Ἀνατρ. Πρέπει λέγειν καὶ ὁμολογεῖν, καὶ οὕτως κατέχειν, ὅτι πάσης φύσεως ὑπερέχει ὁ παντοκράτωρ, ἐξ οὗπερ ἡμῖν ὁ μονογενὴς ἀνεκδιηγήτως προῆλθεν ὁ θεὸς λόγος, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα. Καὶ διὰ τοῦτο ἀσφαλῶς οὐ κτίσιν θεολογοῦμεν, ἵνα μὴ μωρανθῶμεν, τὴν δὲ ὑπερβαίνουσαν πᾶσαν φύσιν τριάδα δοξολογοῦμεν, υἱὸν σὺν πατρὶ, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, διότι ἀγέννητον καὶ ἄκτιστον. Ἐπειδὴ γὰρ οὔτε ἄλλης φύσεως ὁ μονογενὴς καὶ τὸ ἅγιον πνεῦμα, ἀλλὰ θεὸς ἐκ θεοῦ, καὶ φῶς ἐκ φωτὸς, σὺν τῷ παντοκράτορι πατρὶ, καὶ αὐτὸς ὁ μονογενὴς παντοκράτωρ ἀκούσας, ὡς καὶ σαφῶς ἔχει ἡ θεία γραφή. Οὐ γὰρ ἀλλοῖός ἐστι παρὰ τὸ τοῦ πατρὸς ἀξίωμα ὁ μονογενὴς, συμπρέπον δὲ τῷ τοῦ πατρὸς ἀξιώματι· ὡς διαῤῥήδην μαρτυρεῖ μοι ὁ ἅγιος ἀπόστολος ἐν πνεύματι ἁγίῳ φήσας περὶ τῶν υἱῶν
pag. 978. Ἰσραὴλ, Ὧν, φησὶν ἡ λατρεία, καὶ αἱ διαθῆκαι, καὶ ὧν οἱ πατέρες, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Διὰ τοῦτο γὰρ καὶ προςκυνητὸς ὁ μονογενὴς, καὶ θεὸς ὁ μονογενὴς, καὶ θεῖον πνεῦμα τὸ ἅγιον πνεῦμα, καὶ μετὰ τὴν ἁγίαν τριάδα οὐκ ἔστιν ἕτερος θεός. Ὁ δὲ πατὴρ παντοκράτωρ, καὶ ὁ μονογενὴς αὐτοῦ παῖς Ἰησοῦς Χριστὸς συμπρέπων τῷ τοῦ πατρὸς ἀξιώματι, καὶ πατὴρ καλούμενος τοῦ μέλλοντος αἰῶνος, συμπρέπων [1] δὲ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι ἀκτίστως, ἀεὶ ἡ τριὰς φανερουμένη καὶ γινωσκομένη, ἐξ ἧς τριάδος τοῖς πᾶσι γεγονόσι τὸ αἴτιον ἔνεστιν, [2]εἴπερ ἐστὶν οὐσίας ἀκραιφνοῦς καὶ ἀσυγκρίτου δηλωτικὸν, πατὴρ ἐν υἱῷ, υἱὸς ἐν πατρὶ, σὺν ἁγίῳ πνεύματι, ἀεὶ τῆς διαμονῆς τὸ ἀΐδιον ἐν ἑαυτῇ ἐχούσης, ἐξ ἧς τριάδος τοῖς γεγονόσι τὸ διασώζεσθαι πρόςεστιν.

Ἀετίου κεφάλ. λα'. Εἰ οὐδὲν τῶν ἀοράτων [1] αὐτὸ ἑαυτοῦ σπερματικῶς προϋπάρχει, διαμένει δὲ ἐν φύσει ἀποκεκληρωμένῃ, [2] πῶς ὁ ἀγέννητος θεὸς ἐλεύθερος ἀποκληρώσεως ὑπάρχων νῦν μὲν τὴν ἑαυ-

8. σημαίνῃ *edit. Petav.*
1. δὲ *reposui ex codd. mss. Editi* τε.
2. ᾗπερ *volebat Petavius.*
1. *Supra vulgo* αὐτὸς αὐτοῦ.

etiam filium honorat, sed filium dixit, perinde ac patrem. Similiter ei, *qui in spiritum blasphemiam dixerit, non remissum iri docet,* Matth. 12, 31.
neque hic, neque in futuro saeculo: ut videlicet trinitatem in patre, filio et spiritu sancto esse doceat huiusmodi, ut ad illam nihil accedere compararive possit.

Aetii Caput XXX. Si omnipotens deus naturam omnem excellit, eo ipso, quod ingenitus est, excellit. Quae proprietas caussa est genitis omnibus stabilitatem constantiamque tribuens. Sin autem ingenitum substantiam non exprimit, a quo tandem genitarum rerum natura seipsam ut conservet accipit?

Confut. XXX. Illud omnino dicendum ac fatendum est, itaque tenendum, omnipotentem deum naturam omnem excellere, a quo unigenitus deus ac verbum, eiusque spiritus sanctus ineffabili quadam ratione processit. Quam ob caussam caute ac circumspecte creaturae divinum honorem non adscribimus, ne stultissimi reddamur, sed trinitatem, quae naturam omnem superat, praedicamus, filium cum patre, et ipsius sanctum spiritum; eo quod a nullo factus aut creatus sit. Etenim nequaquam diversae naturae unigenitus est, aut sanctus spiritus, sed deus ex deo, lumen de lumine. Quinetiam cum omnipotenti patre unigenitus ipse nominatur omnipotens, ut diserte scriptura sacra declarat. Unigenitus enim nihil a patris maiestate discrepat, sed omnino congruit. Quod expressis verbis testatur apostolus; qui spiritu sancto afflatus de Israëlitis ita loquitur: *Quorum*, inquit, *cultus, et testamenta, et patres, ex qui-* Rom. 9, 4.
bus Christus secundum carnem, qui est super omnia deus benedictus in saecula, Amen. Ob id et adorandus unicus dei filius est, et idem deus et divinus spiritus est, sanctus spiritus, et post sacrosanctam trinitatem nullus alius deus est. Igitur omnipotens pater, et unicus ipsius filius paternae dignitati congruens, qui futuri saeculi pater appellatur, quique cum sancto spiritu nulla interveniente creatione convenit, trinitas est patefacta omnibus, et cognita, a qua creatae res omnes tanquam a caussa profectae sunt, ita quidem, ut appellatio ipsa caussae sinceram et incomparabilem substantiam significet; cuiusmodi est pater in filio, filius in patre, cum spiritu sancto, ut permansio ipsa in sese aeternitatem includat; cuius trinitatis beneficio condita omnia servantur.

Aetii Caput XXXI. Si nihil eorum quae visum effugiunt semetipso vi quadam sativa prius est, atque definita quadam naturae sorte continetur, quî fieri potest ut ingenitus deus ab omni sortitione liber suam ipsius substantiam modo in genita sobole inferioris

2. *Supra* πῶς ἂν ὁ ἀγ.

τοῦ οὐσίαν δευτέραν ἐν γεννήματι [3] ὁρᾷ, νῦν δὲ προτέραν ἐν ἀγεννήτῳ, κατὰ τὴν τοῦ πρώτου καὶ [4] δευτέρου τάξιν;

Ἀνατρ. Ἔδει τὸν Ἀέτιον ἡμῖν προσημαίνειν, καὶ σαφεῖς τὰς αὐτοῦ πεύσεις προβάλλειν, μάλιστα ταύτην [5] ἥνπερ λέξιν ἐπιλήψιμον, καὶ μηδ' ὅλως ἔχουσαν συγγένειαν τῶν ὁμοιωμάτων, οὐδὲ θάτερον τῶν ὑπ' αὐτοῦ ὠνομασμένων θατέρῳ συνεξισοῦσθαι δυνάμενον. Πολλῶν γὰρ ἀοράτων ἥκει φέρων ἡμῖν τὰς ὀνομασίας. Ἔστι γὰρ καὶ ἀόρατα ζῶα τὰ πνευματικά, φημὶ δὲ Σεραφὶμ καὶ Χερουβὶμ, ἀλλὰ καὶ ἄγγελοι, πνεύματά τε, καὶ ἄλλα τινά· ἐν οἷς ἀληθῶς πληροῦται τὸ μήτε ὑπάρχον ἐν [6] ἑαυτοῖς σπερματικῶς τι. Οὔτε γὰρ σώματα φαίη ἄν τις τὰ ἀόρατα· καὶ γὰρ οὔτε γεννῶσιν, οὔτε γεννῶνται, ἐκτίσθησαν δὲ κατὰ βούλημα τῆς οὔσης ἀεὶ θεότητος σαφῶς, καὶ λέλογχεν ἕκα-
pag. 979. στον τῶν κεκτισμένων ὅπερ ὁ ὢν αὐτῷ διένειμεν ἀρετῆς ἐν τῇ ὑπερβολῇ τῆς αὐτοῦ ἀφθόνου φιλανθρωπίας, καὶ ἀπεκληρώθη ἕκαστον ὅπερ κεκλήρωται, καὶ ἐν τούτῳ μένει· καὶ ἐλεύθερός ἐστιν ὁ θεὸς πάσης αἰτίας, ἐν ἑαυτῷ ἔχων τὸ πᾶν, οὐ μελλητικῶς, οὐδὲ μεταμελημένως τὸν υἱὸν μετὰ χρόνους ἔχων, ἢ τὸ ἅγιον πνεῦμα αὐτοῦ, ἀλλὰ συμπρεπόντως [7] τῷ ἀεὶ ἔχειν υἱὸν γεγεννημένον υἱὸν ἔχων, καὶ τοῦτον μονογενῆ, ἀεὶ [8] ἔχων πατέρα ἐν ἑαυτῷ ἔχει, καὶ τὸ ἅγιον πνεῦμα ἐκ πατρὸς ὂν καὶ τοῦ υἱοῦ λαμβάνον ἀεὶ [9] ἔχων.

Καὶ γὰρ οὔτε ἐπὶ ἀδοξίᾳ, οὔτε ἐπὶ προσθήκῃ δόξης ἡ περιουσία τῆς θεότητος ἀεὶ οὔσης. Μηδενὸς δὲ ἀεὶ ὄντος τῶν κεκτισμένων, πότε ἑώρα ἑαυτὴν ἡ τριὰς ἐν ἥσσονι περιουσίᾳ. Καὶ νῦν μὲν τοῦτο ἑώρα, νῦν δὲ ἐν προσθέσει οὐσίας, ὡς ἐνδεὴς μετὰ τὸ κεκτικέναι τὰ κεκτισμένα, ἐν περισσοτέρᾳ προσθήκῃ δόξης ἢ περιουσίας νῦν ἑαυτὴν ὁρῶσα; Καὶ ἐκ πανταχόθεν οὐδὲν ἐνσκήψει τῶν βουλομένων κατὰ τῆς ἀληθείας τὰς συλλογιστικὰς ἀνθρωπίνας ὑπονοίας παραφέρειν καὶ εἰς μέσον φέρειν, ὑπερβαινούσης τῆς τοῦ θεοῦ ἀξίας, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, πάντα νοῦν ἀγγέλων, καὶ ἐπέκεινα, πόσῳ γε μᾶλλον ἀνθρωπίνης φύσεως; ἐπειδὴ γὰρ λογισμοὶ ἀνθρώπων δειλοὶ, φθαρταὶ δὲ αἱ τούτων διάνοιαι, εἰς συλλογισμοὺς καὶ συζητήσεις ἑαυτὰς περιπείρουσαι· ὡς ἄλλοι ἀφ' ἑαυτῶν συλλογισμῶν ἀνακρινόμενοι

3. *Supra vulgo* ὁρᾶν.
4. *Supra vulgo* δευτέραν.
5. *Petavio visum est* ἥπερ λέξιν. *Ego suspicor* ἥνπερ ἔλεξεν.
6. *Scribendum* αὐτοῖς.
7. *Libri vulgo* τὸ. *Petavius annotavit* „F. τῷ ἀεὶ. Sed mutilus hic locus."
8. *Repono* ἔχοντα πατέρα.
9. *Libri vulgo* ἔχον, *quod correxi. Cornarius vertit* Et liber est deus ab omni caussa, in seipso totum habens; non in futurum, neque per poenitentiam filium post tempora habens, aut sanctum suum spiritum, sed condecen-

cuiusdam ac secundae conditionis modo in ingenito primariae esse videat, ita ut prioris insit ac posterioris ordo?

Confut. XXXI. I. Vellem equidem, quod et factum oportuit, ut Aëtius mentem suam nobis aperuisset, et interrogationes suas aliquanto clarius proposuisset, potius quam ea dictione esset usus quae in reprehensionem incurrit, nec ullam in his rebus, quibus utitur, similitudinem habet, cum neutrum eorum quae ab eo commemorata sunt cum altero comparari et exaequari possit. Siquidem plurimorum quae visum effugiunt appellationes adducit in medium. Nam et visum fugiunt animalia illa spiritalia, hoc est Seraphim, Cherubim, angeli, spiritus denique; in quibus verum illud esse cernitur quod Aëtius narrat, nihil ut in seipsis vi quadam sativa contineant. Neque enim corpora ea quae non aspectabilia sunt dixerit aliquis, cum neque gignant, neque gignantur, sed de sempiternae divinitatis voluntate plane condita sint, ac tantumdem unaquaeque creatarum rerum virtutis habet, quantum pro infinita sua benignitate et humanitate largitus est deus. Itaque quaelibet quod sibi attributum est obtinuit, in eoque permanet; deus vero ab omni caussa absolutus est, continens in semet omnia. Idem sine ulla cunctatione mutationeve consilii, neque filium longo intervallo, neque spiritum sanctum suum habere coepit. Sed pro eo ac conveniens est filium habet ab aeterno, quem unicum genuit; filius vero patrem habens in seipso perpetuo una et spiritum sanctum habet, *Qui* Ioann. 15, 26.
a patre procedens a filio semper accipit.

II. Etenim neque in obscuritate, nec in uberiori splendore ac gloria sempiternae divinitatis excellentia versatur. Cum autem creatarum rerum nulla adhuc esset, utrumnam tandem divinitas minore se ipsam opulentia praeditam vidit aliquando? aut tum quidem eiusmodi esse vidit, nunc autem, facta ad substantiam accessione, quasi cuiuspiam rei indigens esse posset, posteaquam creata omnia produxit, ampliore quadam gloria opibusque sese praeditam animadvertit? Nullus itaque tergiversandi locus iis relictus est qui adversus veritatem syllogismorum argutias hominum excogitatas ingeniis opponere nituntur, et in medium afferre. Siquidem divina maiestas, patris, inquam, et filii, ac spiritus sancti angelorum mentes omnes longo intervallo superat nedum hominum, quorum *timidae co-* Sap. 9, 14.
gitationes, animi sensus intereant in nihilum redacti, ac sese varias in ratiocinationes et quaestiones induunt. Quemadmodum in pleris-

ter ei ut habeat semper filium genitum, habens filium et hunc unigenitum, habentem semper patrem in seipso. Habet autem et sanctum spiritum ex patre existentem, et de filio accipientem, semper ipsum habens.

κατὰ σοφιστικήν τινα ὑπόνοιαν, οἱ μὲν περὶ τοῦ κακοῦ ὅτι πόθεν ἤρξατο, ἄλλοι δὲ ὅτι πόθεν ὁ διάβολος, ἢ διὰ τί γέγονεν, ἕτεροι δὲ τὸν μέλλοντα ἁμαρτάνειν ἄνθρωπον ὅτι διὰ τί ὁ θεὸς οὕτως αὐτὸν ἔκτισεν, ὁ δὲ τοιοῦτον αὐτὸν ἐργασάμενος διὰ τί ὕστερον αὐτὸν αἰτιᾶται. Ἵν' ὅταν πάντες περικρούσαντες τοὺς ἑαυτῶν λογισμοὺς καταμάθωσιν ἑαυτοὺς φθαρτοὺς, ἀποδώσωσι τῷ [10] ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, τουτέστι τῇ μιᾷ τριάδι, τὸ σέβας καὶ τὴν γνῶσιν· παρ' αὐτοῦ δὲ αἰτούμενοι τῆς ἀληθινῆς πίστεως τὴν γνῶσιν, καὶ πορισάμενοι, ἵνα μὴ ὑπερβαίνειν πειρῶνται τὸ ἴδιον μέτρον, ἀλλὰ μάθωσιν ἡσυχάζειν ἀπὸ τετυφλωμένης ἐννοίας, καὶ μὴ σοφίζεσθαι διὰ ἀναπτομένης γλώσσης καὶ λογισμῶν ἀσυνέτων, σωφρονίζεσθαι δὲ μᾶλλον διὰ τοῦ συνετοῦ
pag. 980. ῥητοῦ τῆς ἁγίας καὶ θείας γραφῆς τῆς λεγούσης μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν.

Ἀετίου κεφάλ. λβ'. Εἰ διαμένει ἐν φύσει [1] ἀγεννήτου ὁ θεὸς, τὸ ἐν [2] γενέσει καὶ ἀγεννησίᾳ ἑαυτὸν εἰδέναι ἀφῃρήσθω. Συγχωρουμένου δὲ ἐν ἀγεννήτῳ καὶ γεννητῷ τὴν ἑαυτοῦ οὐσίαν παρατείνειν, αὐτὸς ἑαυτοῦ ἀγνοεῖ τὴν οὐσίαν, περιαγόμενος ὑπὸ [3] γενέσεως καὶ ἀγεννησίας. Εἰ δὲ καὶ τὸ γεννητὸν μετείληφε μετουσίας ἀγεννήτου, ἐν δὲ γεννητοῦ φύσει ἀτελευτήτως διαμένει, [4] ἐν μὲν δὴ ἀτελεῖ φύσει γινώσκει αὐτὸν, ἀγνοῶν δῆλον ὅτι τὴν ἀγέννητον μετουσίαν. Οὐ γὰρ οἷόν τε αὐτὸν περὶ [5] αὐτοῦ καὶ ἀγεννήτου οὐσίας γνῶσιν ἔχειν καὶ γεννητῆς. Εἰ δὲ εὐκαταφρόνητόν ἐστι τὸ ἀγέννητον διὰ μεταβολῆς ἐπιτηδειότητα, ἀξίωμα φύσεώς ἐστιν οὐσία ἀμετάβλητος, τῆς ἀγεννήτου οὐσίας πάσης αἰτίας κρείττονος [6] ὁμολογουμένης.

Ἀνατρ. Ἐν ἀγεννήτῳ φύσει διαμένει ἀναμφιβόλως ὁ θεὸς, ὁ τὰ πάντα κτίσας ἐξ οὐκ ὄντων καὶ δημιουργήσας, ὁ πατὴρ γεννήσας ἐξ [7] ἑαυτοῦ ὁμοούσιον ἑαυτῷ υἱὸν, καὶ συμπρέποντα τῇ αὐτοῦ ἀϊδιότητι, καὶ τὸ ἐξ αὐτοῦ ἅγιον πνεῦμα ἐξελθὸν, πρεπόντως ὑπάρχον τῇ αὐτοῦ ὁμοουσιότητι, καὶ οὔτε ἐπειδήπερ ἡ τριὰς ἔκτισεν ἐξ οὐκ ὄντων τὰ ὄντα, ὁρατά τε καὶ ἀόρατα, παρὰ τοῦτο ἀναιρεῖται τὸ ἀναλογοῦν τῷ τοῦ θεοῦ ἀξιώματι διὰ τοῦ προσφάτου τῶν κεκτισμένων ὀνόματος, ἡ τοῦ ὄντος ἀϊδιότης. Ἀφαιρεῖται δὲ ἀπὸ τῶν κεκτισμένων ἡ ἄνωθεν ὑπερβαίνουσα οὐσία, οὐκ οὖσα τούτοις ὁμοούσιος, ἐξ οὐκ ὄντων δὲ καλέσασα τοῦ εἶναι. Διὸ ὁ γεγεννημένος υἱὸς, οὐκ ἐξ οὐκ

10. *Aut delenda est vocabula* ἐν, *aut ad* τῷ *articulum* λογισμῷ *repetendum de superioribus.*
1. ἀγεννήτῳ *supra legebatur.*
2. γεννέσει *cod. Rhedig.*
3. γεννέσεως *cod. Rhedig.*
4. *Vulgo* εἰ μὲν διατελῶν. *Cf. supra. Et Cornarius vertit* in imperfecta sane natura se ipsum cognoscit.
5. *Supra* ἑαυτοῦ.

que usuvenire cernimus qui sophistica quadam ratione inventis a se syllogismis diversarum rerum caussas inquirere et investigare student. Veluti mali quod principium fuerit; alii undenam, et cuius rei gratia diabolus extiterit, quidam de homine peccaturo quaerunt, cur hunc deus ea conditione procreaverit, aut qui talem fabricarat, cur incusarit postea. Ut cum varias in partes animos suos ac cogitationes intenderint, ac corruptioni se obnoxios intellexerint, patri ac filio et spiritui sancto, hoc est uni ac singulari trinitati, venerationem ac scientiam deferant, ab eoque verae fidei cognitionem postulent, atque impetrent; ut ne mensuram propriam excedant, sed ab occaecatae mentis impetu conquiescant; neve accensa incitataque lingua et imprudentibus cogitationibus argutari malint quam sapientissima illa scripturae sententia castigari, *Non sapere plus quam* Rom. 12, 3. *oportet sapere, sed sapere ad sobrietatem.*

Aetii Caput XXXII. Si in ingenita natura perseverat deus, detrahendum hoc ei est, ut generari se atque ingenitum esse cognoscat. Quod si id illi detur, ut per geniti ingenitique conditionem illius natura traducatur, substantiam ipse suam ignorat, cum ab utraque, geniti scilicet atque ingeniti, qualitate distrahatur. Si vero genitum conditionis ingeniti particeps est, et ingeniti natura perpetuo manet, necesse est ut se imperfecta in natura constitutum agnoscat, et illam ingeniti communionem ignoret. Neque enim idem de se ipso et ingenitae substantiae et genitae notitiam informare potest. Iam vero si ingeniti proprietas levis est ac minimi facienda, quod in mutationem proclivis sit, immutabilis substantia naturae quaedam dignitas est, cum ingenita substantia omnium confessione caussis omnibus antecellat.

Confut. XXXII. I. Nemini dubium est quin ingenita in natura deus perseveret, pater, qui de nihilo creavit ac fabricavit omnia, filium vero consubstantialem e seipso, atque aeternitati suae congruentem genuit; nec non et spiritum sanctum e seipso procedentem, et eiusdem substantiae communioni peraeque convenientem produxit. Quod autem eadem illa trinitas quaecunque sunt e nihilo procreavit, tam aspectabilia quam quae aspectum fugiunt, non idcirco id ipsum quod divinae maiestati consentaneum est, hoc est existentis aeternitas, recenti illa creatarum rerum appellationi subtrahitur. Nam ab istarum conditione summa illa substantia ac praecellens eximitur, quibuscum minime consubstantialis est, sed eas e nihilo aliquid ut essent excitavit. Quare filius a patre genitus,

6. *Supra* ὡμολογημένης.

7. αὐτοῦ *cod. Rhedig., et cod. Ien. a m. pr.*

ὄντων, ἀλλὰ ἐκ τοῦ ὄντος, συμπρεπόντως ἅμα θεωρεῖται, οὔτε παρατεινομένης τῆς οὐσίας, οὔτε συστελλομένης, ἀλλὰ πνεῦμα ὢν ὁ πατὴρ πνεῦμα ἀληθινῶς τὸν υἱὸν ἐγέννησεν, καὶ ἐξ ἑαυτοῦ ἐξήνεγκε τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐχ ἑαυτὸν ἀγνοεῖ, οὔτε τὴν ἑαυτοῦ οὐσίαν συστελλομένην, ἢ πλατυνομένην οἶδεν, ἢ τομὴν ὑφισταμένην (ταῦτα γὰρ
pag. 981. πάντα περὶ θεὸν εἰδέναι ἀλογώτατον, ὥστε καὶ ἀγνοεῖν αὐτὸ τὸ θεῖον ὅπερ ἐστὶ [8] τὸ ἅγιον πνεῦμα), καὶ οὔτε ὁ ἀγέννητος οὐ συμμετέχει τῷ γεννήματι τὸ ὁμοούσιον, οὔτε ὁ γεννητὸς οὐ συμπεριέχει τῷ πατρὶ τὸ ἀΐδιον (οἶδε γὰρ ὁ πατὴρ τὸν υἱὸν, καὶ ὁ υἱὸς οἶδε τὸν πατέρα), ἀτελευτήτως ἀεὶ τῆς τριάδος ἀκτίστου μενούσης, καὶ ἀτελευτήτως ὑπαρχούσης, τοῦ μονογενοῦς γεγεννημένου ἐκ τοῦ ἀεὶ ὄντος, ὄντως ὄντος, καὶ ἐν ἰδίᾳ τελείᾳ φύσει. Διὸ γινώσκει ἑαυτὸν, καὶ οὐκ ἀγνοεῖ, οὔτε ὁ υἱὸς τὴν ἀγέννητον πατρὸς οὐσίαν, οὔτε ὁ ἀγέννητος τὴν τοῦ υἱοῦ ἐξ αὐτοῦ οὐσίαν, ἀξιοπίστου ὄντος τοῦ μονογενοῦς θεοῦ λόγου φήσαντος, Οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ.

Διὸ ἀφῃρήσθω τὸ τούτου τοῦ γεννάδα Ἀετίου ἀποφαντικὸν κέλευσμα τὸ φῆσαν, Οὐ γὰρ οἷόν τε αὐτὸν περὶ [9] ἑαυτοῦ, καὶ ἀγεννήτου οὐσίας γνῶσιν ἔχειν καὶ ἀγεννησίας. Προὔλαβε γὰρ ὁ μονογενὴς παραγράψαι τὴν δικαστικὴν αὐτοῦ ταύτην φωνὴν, φήσας ἑαυτὸν εἰδέναι τὸν πατέρα, καὶ ἄλλον οὐδένα, συμπεριλαβὼν ἅμα καὶ τοῦ πνεύματος αὐτοῦ τοῦ ἁγίου τὸ ἐνύπαρκτον. Ὡς καὶ ἐν ἄλλῳ φάσκει ὅτι, [10] Τὸ πνεῦμα τοῦ πατρὸς διδάξει ὑμᾶς. Εἰ δὲ τοῦ πατρός ἐστι τὸ πνεῦμα, οὐκ ἀγνοεῖ καὶ αὐτὸ τὸν πατέρα. Ἐν δὲ τῷ εἰρηκέναι, Οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, ἵνα ἑαυτὸν καὶ τὸν πατέρα καὶ [11] τὸ πνεῦμα τὸ ἅγιον ὑπερβεβηκὸς σημάνῃ τῶν ἄλλων τῶν μὴ ἀϊδίως ὑπαρξάντων, γενομένων δέ. Εἰ δὲ προὔλαβεν ἀεὶ εἰδέναι τὸν πατέρα, μάτην ἡμῖν Ἀέτιος κενολεκτῶν ὑπεισδύνει, σαφῶς πᾶσιν ὢν δῆλος ὅτι ὡς ἄνθρωπος λογίζεται, σαρκικῶς ἀνακρινόμενος, καὶ ψυχικὸς ὑπάρχων διὰ τὸν ἑαυτὸν καὶ τὸν πατέρα γινώσκοντα καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα. Ἐξῄρηται οὖν πάσης αἰτίας ὁ θεὸς οὐ μόνον πατὴρ, ἀλλὰ καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, τῆς θεότητος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁμολογουμένης κρείττονος πάσης αἰτίας.

Ἀετίου κεφάλ. λγʹ. Εἰ τὸ ἀγέννητον πάσης αἰτίας ἐξῄρηται, εἴη δὲ πολλὰ ἀγέννητα, ἀπαράλλακτον ἕξουσι τὴν φύσιν. Οὐ γὰρ ἂν μὴ ἀποκληρώσει φύσεώς τινος κοινοῦ καὶ ἰδίου μετειληφυῖα [1] ἡ μὲν ἐποίει, ἡ δὲ ἐγίνετο.

8. *Verba* ταῦτα γὰρ — ἅγιον πνεῦμα *in parenthesi posui. Petav. ante* τὸ ἅγιον πν. *deesse suspicatur* πατὴρ, καὶ υἱὸς, καὶ. *Nihil desidero. Cornarius reddidit* sicut etiam ignorare ipsum deum, hoc est spiritum sanctum.

non e nihilo, sed ex eo qui est convenienter productus intelligitur; adeo ut neque collatata, neque contracta sit substantia. Verum qui spiritus est pater spiritum perinde filium genuit atque e seipso sanctum spiritum emisit. Neque vero aut semetipsum ignorat, aut contractam collatatamve suam novit substantiam, sive aliqua sectione concisam. Haec enim omnia de deo cogitare nimis est absurdum, ut quid sit spiritus sanctus deus ipse nesciat. Ac neque ingenitus cum ingenito filio consubstantialis non est, neque genitus ipse communem cum patre aeternitatem non continet. Etenim pater filium, filius patrem cognoscit. Trinitas porro ipsa sine ullo fine manet increata, occiditque nunquam. Filius vero a patre revera ac semper existente in propria perfectaque natura genitus est. Ob id semetipsum novit; neque aut filius ingenitam patris substantiam, aut ingenitus filii, quem produxit, ignorare potest. Dignus est enim filius ipse cui sic loquenti fides adhibeatur: *Nemo novit patrem* Matth. 11, 27.
nisi filius, et filium nisi pater.

II. Quamobrem circumscribatur a temerario illo Aëtio, tanquam a iudice, pronuntiata sententia, non eundem de seipso posse genitae naturae simul et ingenitae informare scientiam. Etenim illius decreto iam pridem unici dei filii auctoritas praescripsit, cum se patrem nosse, nec alium praeterea, definiit. Quibus verbis etiam spiritum sanctum simul existentem complexus est; quemadmodum alio in loco dixit, *Spiritus patris docebit vos.* Quod si patris Ioann. 16, 13.
ille spiritus est, ne ipsum quidem patrem ignorat. Cum autem dixit, *Nemo novit patrem nisi filius,* semetipsum pariter et patrem ac spiritum sanctum ceterorum quae ab aeterno non sunt, sed procreata sunt, conditionem excessisse significat. Quamobrem cum ab aeterno patrem filius cognoverit, frustra nobis Aëtius nugacibus suis verbis obrepere conatur; cum manifestissimum sit ipsum hominis more cogitare, ac carnaliter inquirere, et animalem esse, propter eum qui tam se quam patrem cognoscit, una cum spiritu sancto. Quapropter deus ab omni caussa vindicandus est, non modo pater, sed et filius ac spiritus sanctus. Siquidem patris, filii ac spiritus sancti divinitas, quod nemo non confitetur, caussa est omni praestantior.

Aetii Caput XXXIII. Si ingenitum caussam nullam penitus habet, sintque ingenita complura, immutabili caussa constabunt. Neque enim velut attributa communis cuiusdam ac peculiaris naturae conditione particepsque facta altera molita est, altera producta.

9. αὐτοῦ *cod. Rhedig.*
10. τὸ *om. cod. Rhedig.*
11. τὸ ἅγιον πνεῦμα *cod. Rhedig.*
1. *Verba* τῇ μὲν — ἐγίνετο *om. in cod. Rhedig.*

pag. 982. *Ἀνατρ.* Πάσης αἰτίας ἐξῄρηται ὁμολογουμένως τὸ ἀγέννητον, διότι ἕν ἐστι τὸ ἀγέννητον καὶ προςκυνητὸν, διαιρουμένου τοῦ προςκυνητοῦ ἀπὸ τῶν προςκυνούντων. Προςκυνητὴ δέ ἐστιν ἡ τριὰς, μονὰς οὖσα, καὶ ἐν ἑνὶ ὀνόματι ἀριθμουμένη τριὰς, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, οὐ ἀλλότριον τὸ ἑαυτῆς ἐν ἑαυτῇ κεκτημένη, ἀλλὰ συμπρεπόντως πατὴρ γεννήσας υἱὸν, καὶ οὐ κτίσας. [2] Τὸ μὲν γάρ ἐστιν ἐξ αὐτοῦ ἀεὶ τοῦ γεννήτορος, διὸ τὸ γέννημα ἐκ τοῦ ὄντος ἐστι, καὶ τὸ ἐξ αὐτοῦ ἐξελθὸν ἅγιον πνεῦμα, οὔσης τῆς τριάδος ἐν μιᾷ ἑνότητι ἀκτίστῳ, τῶν δὲ πάντων ἐξ αὐτῆς τῆς τριάδος ἐξ οὐκ ὄντων κεκτισμένων· ὅθεν ἡ μία τριὰς εἷς ἐστι θεὸς, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, οὐκ ἀλλότριον τὸ ἑαυτῆς ἐν ἑαυτῇ κεκτημένη, ἄκτιστος, ἀγέννητος, ἀδημιούργητος, τριὰς [3] οὐ πεποιημένη, ἀλλὰ ποιοῦσα, οὐ κτίσματος ὄνομα ἔχουσα ἐν ἑαυτῇ, ἀλλὰ κτίζουσα, μία οὖσα, καὶ οὐ πολλαί. Τὰ δὲ πάντα ἐξ αὐτῆς πολλὰ μὲν ὄντα, ἀλλ' οὐ σὺν αὐτῇ ἀριθμούμενα. Διὸ οὔτε ἀποκεκλήρωται ἑτέρᾳ φύσει κοινότητος τῆς οὐσίας τῆς ἀσυγκρίτου. Διὰ τοῦτο γὰρ οὐ κτιστή τις οὖσα ἐν τῇ τοῦ θεοῦ οὐσίᾳ φύσις, ἀλλὰ δημιουργικὴ τῶν πάντων τῶν οὐ δυναμένων τῇ ἀσυγκρίτῳ καὶ μιᾷ οὐσίᾳ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁμοουσιότητι ἐπικοινωνῆσαι, ὡς [4] σαφῶς ἐστι τῷ τὴν γνῶσιν τῆς ἀληθείας εἰληφότι ἀποκαλύπτουσα, ὅτι αὐτὴ μόνη προςκυνεῖται, καὶ οὐ τὰ πάντα· ὡς καὶ αὐτὴ μόνη εἰς ὄνομα ἑαυτῆς βαπτίζει, καὶ οὐ τὰ ὅλα.

Ἀετίου κεφάλ. λδ΄. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, [1] οὐδοποτέρα διοίσει τῆς ἄλλης κατὰ τὸ ἀδέσποτον. Πῶς οὖν ἄν τις φαίη τὴν μὲν μεταβάλλεσθαι, τὴν δὲ μεταβάλλειν, οὐκ ἐπιτρεπόντων τῷ θεῷ [2] ὑφιστάναι ἐκ μὴ ὑποκειμένης οὐσίας;

Ἀνατρ. Πᾶς τις τῶν ἀντικαταστάντων τῇ ἀληθείᾳ καταπληκτικῶς ἐπισυνάξας ἑαυτῷ λογίδια ἔδοξέ τισιν ἀνατρεπτικῶς ἐπισκήπτειν,
pag. 983. καὶ ἀπὸ τῆς ζωτικῆς ὁδοῦ μεταφέρειν καὶ λυμαίνεσθαι, ὡς οὗτος ὁ Ἀέτιος, νῦν μὲν φύσει ἐν τῷ ῥητῷ τούτῳ μηδὲν λέγων καταπλήττειν δοκεῖ τοὺς ἀκεραίους, ἐκ περιττοῦ τὰ ὑπ' αὐτοῦ λεγόμενα λέγων, ὀνόματι, ὡς εἴωθεν ἐκ περιττοῦ προφέρειν, καὶ ἐν τῷ παρόντι καιρῷ κεχρημένος. Οὐ γὰρ πᾶσα οὐσία ἀγέννητος παρ' αὐτοῖς τοῖς συνετοῖς ὁμολογεῖται, ἐπεὶ πᾶσα ἂν [3] ἐθεολογεῖτο. Οὐ πασῶν δὲ θεολογουμέ-

2. *Reponendum fortasse* Ὁ μὲν. *Interpretum uterque vertit* Hic.
3. οὐ *libri scripti.* οὔτε *editi.*
4. σαφῶς *reposui sententia postulante, et codd. mss. haud refragantibus, quorum in utroque (et in edit. princ.)* σαφῆς *legitur, non* σαφὴς, *ut edidit Petavius.*
1. *Vulgo* οὐδ' ὁποτέρα *exaratum est.*

Confut. XXXIII. Quod ingenitum dicitur, in confesso est sui nullam habere caussam, quandoquidem unum idemque est ingenitum et adorandum, sic ut adorandum ab adorantibus secernatur. Adoranda porro trinitas est, quae eadem et unitas est, et uno nomine comprehensa trinitas appellatur, pater, filius et spiritus sanctus. Quae quidem quod suum est non tanquam alienum in seipsa continet, sed congruenter patrem filius non creavit, sed genuit. Hic enim ab ipso semper genitore procedit. Unde filius ab existente ortus est; ut et spiritus sanctus, qui ab ipso processit; cum in una et increata singularitate trinitas ipsa consistat, cetera vero omnia ab eadem illa trinitate e nihilo procreata sint. Ex quo fit ut singularis illa trinitas unus sit deus, pater et filius et spiritus sanctus. Quae non velut alienum quod suum est in semetipsa obtinet, increata, ingenita, non fabricata, trinitas, inquam, non facta, sed faciens, non creaturae nomen in sese complectens, sed procreans, una, non plures. A qua profecta sunt omnia, quae et multiplicia sunt, neque cum ea numerantur. Quare neque communem quandam naturam cum incomparabili essentia participare dicuntur. Neque creata quaepiam natura in divina illa comprehenditur. Sed haec omnium opifex est, quae cum incomparabili ac singulari patris, filii, spiritusque sancti natura in eiusdem substantiae communionem venire nequeunt. Quemadmodum ei quidem, cui sit veritatis oblata cognitio, perspicue ipsa declarat. Nimirum solam ipsam adorandam esse, non ceterarum rerum quicpiam; cum et ipsa sola suo in nomine baptizet, ceterorum autem id nullum faciat.

Aetii Caput XXXIV. Si substantia omnis ingenita est, nihil a se invicem hac ex parte different, quod neutra dominationi subiecta sit alterius. Quare quinam affirmari potest, mutari unam, alteram mutare, cum deo minime permittant, ut ex nulla subiecta substantia producatur?

Confut. XXXIV. Quisquis veritatem oppugnavit aliquando, voculis quibusdam ad iniiciendam admirationem collectis, ad evertenda sacra dogmata impressionem facere visus est, atque a vitae tramite deducere, ac perniciem adferre. Quod Aëtius modo facit, qui cum hoc in capite nihil omnino dicat, rudioribus tamen fucum facere, ac terrere videtur, eadem ad fastidium usque repetens, ac vocabulum illud, quod identidem commemorare solet, hoc loco perperam usurpans. Igitur non substantia omnis sapientum iudicio censetur ingenita; alioqui nulla non divina statueretur. Cum ergo

2. ὑφιστᾶν *supra.*
3. *Sic edidit Petav. Cod. Rhedig.* θεολογοῖτο, *cod. Ien. et ed. princ.* θεολογεῖτο.

νων τῶν οὐσιῶν, ἀλλὰ μιᾶς παρὰ [4] πάσας, ἥτις ἐστὶ θεότης μία ἐν τριάδι, πῶς ἔτι ὑπολειφθήσεται τῷ γεννάδᾳ τούτῳ τὸ καταπληκτικὸν αὐτοῦ χωρεῖν ἐπὶ τοὺς υἱοὺς τῆς ἀληθείας; Διοίσει δὲ καὶ ὁποτέρα τῆς ὁποτέρας, ὅτι ἡ μὲν τριὰς κτίζει, τὰ δὲ πάντα ἀπ' αὐτῆς κέκτισται. Καὶ ἡ μέν ἐστιν ἀδέσποτος, τὰ δὲ ὑπ' αὐτῆς γενόμενα δεσπόζεται· καὶ ἡ μὲν μεταβάλλεται, ἡ δὲ ἀπαράβατον ἔχει τὴν φύσιν, μεταβάλλουσα ἀεὶ τὰ ὑπ' αὐτῆς μεταβαλλόμενα, καὶ ἐξ οὐκ ὄντων τὰς οὐσίας καὶ τὰς ὑποστάσεις ὑφιστᾶν δυναμένη. Τοῦτο γάρ ἐστι συμπρέπον θεῷ ἐκ μὴ ὑποκειμένων, καὶ ἐξ οὐκ ὄντων ὑπ' αὐτοῦ γεγεννημένων καὶ ὑποστάντων, κατὰ τὴν διακόσμησιν μετασκευάζειν ὡς βούλεται.

Ἀετίου κεφάλ. λέ. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, πᾶσά ἐστιν ἀπαράλλακτος. Τῆς [1] δὲ οὐσίας τὸ ἀπαράλλακτον ἐχούσης, τὸ ποιεῖν τε καὶ τὸ πάσχειν αὐτοματισμῷ ἀναθετέον. Πολλῶν δὲ ὄντων ἀγεννήτων καὶ ἀπαραλλάκτων, [2] ἀναριθμήτως διοίσουσιν ἀλλήλων. Οὐ γὰρ ἂν εἴη ἀριθμητὰ τὰ διεστῶτα ἢ καθόλου, ἢ κατά τι, πάσης διαστάσεως ἀποκλήρωσίν τινα ἐμφαινούσης αἰτίου ἀποτεταγμένης ἀγεννήτου φύσεως.

Ἀνατρ. Οὐ πᾶσα οὐσία ἀγέννητος· ἠλίθιον γὰρ καὶ τὸ διανοεῖσθαι, καὶ Ἑλληνικῆς ἀγνωσίας οὗτος ὁ λογισμὸς, καὶ τὸ ἀπόφθεγμα, κἄν τε ἀποφαντικῶς, κἄν τε ἐρωτητικῶς τῷ Ἀετίῳ εἴρηται. Δῆλον [3] δὲ ὅτι ἐρωτητικῶς. Ἑλλήνων τοίνυν παῖδας τοῦτο ἐρωτάτω. Κἀκεῖνοι δὲ αὐτῷ συντιθέσθωσαν τοῦτο ἔχειν ἐκ συλλογισμῶν τὸ ἐρώτημα, ὕλην τινὰ σύγχρονον τῷ θεῷ ἐπιφημίζοντες. Ἁλισκέσθω δὲ ἅμα ἐκείνοις, εἰ συντιθοῖτο, ἐχούσης τῆς ἀληθείας ἓν εἶναι τὸ ποιοῦν, ἐν μιᾷ οὐσίᾳ τριάδος τελείας, καὶ οὐ κατὰ [4] συναλιφὴν ἀριθμουμένης. Τὰ δ' ἄλλα πάντα γεννητὰ, καὶ κτιστὰ, καὶ οὐκ ἀγέννητα. Τῆς δὲ θεότητος ἀκτίστου οὔσης, πατρὸς μὲν γεννῶντος, υἱοῦ δὲ γεννητοῦ, πνεύματος δὲ ἁγίου ἐξ αὐτοῦ ἀπεσταλμένου τοῦ πατρὸς καὶ τῶν τοῦ υἱοῦ λαμβάνοντος, πάντων δὲ ὄντων κεκτισμένων, τοῦ δὲ ἀπαραλλάκτου τῇ δυνάμει μένοντος, [5] συμπρεπόντως ἐν τῇ τριάδι πάσης θεότητος ἐπὶ τὸν πατέρα [6] ἀναφερομένης, διὰ τὸ εὔλογον καὶ ἄπτωτον τῆς μονάδος καὶ τὸ ἀναιρετικὸν τῆς πολυθεΐας τὸ μὲν ἀπαράλλακτον μένει τῇ δυνάμει, τὸ δὲ εὔλογον συμπρεπόντως ἀναλογεῖται υἱοῦ πρὸς πατέρα, καὶ ἁγίου πνεύματος. Τοίνυν τούτων οὕτως ἐχόντων ἐξ ὑπαρχῆς πεσεῖται τῆς ἐπιβουλῆς τοῦ ἐρωτήματος ἡ ἐπίνοια. Οὐ γὰρ

pag. 984.

4. πάσης *mendum est ed. Petav. Colon. repet.*

1. δὲ *om. in ed. Petav. Colon. repet.*

2. ἀριθμητῶς *codd. mss. uterque et edit. princ. — De seqq. cf. supra.*

3. δ' ὅτι *cod. Rhedig., et Ien. a m. sec.*

4. συναλοιφὴν *edit. Petav.*

5. συμπρεπόντως *scripsi ex emendat. Cornarii, qui convertit* condecenter. *Libri vulgo* συμπρέποντος.

non omnibus divinitas tribuatur, sed uni prae ceteris, quae est una in trinitate divinitas, quid tandem egregio illi relinquetur, quo veritatis filiis terrorem admirationemque possit incutere? Sed et altera ab altera discrepabit, eo quod trinitas creat, cetera vero ab ipsa creantur omnia. Illa nullius dominatui subiecta est, haec illius potestati sunt subdita. Ad haec ista mutationibus obnoxia sunt, illa suapte natura immutabilis est, et inferiora omnia commutat, quorum naturas et substantias e nihilo producere potest. Hoc enim deo congruit, ut ex nulla substrata materia et ex nihilo productarum a se rerum ac subsistentium ordinem dispositionemque pro sua voluntate mutet.

Aetii Caput XXXV. Si substantia omnis ingenita est, perinde et nulla variabilis est. Quod si variari substantia non potest, agere, et pati ad fortuitum quendam casum referenda sunt. Quod si multa sunt ingenita et invariabilia, nullo certo a se invicem numero discrepabunt. Neque enim comprehendi numero poterunt, quae vel absolute, vel aliqua ex parte differunt, cum differentia omnis determinatae caussae in ingenita natura velut attributam sortem significet.

Confut. XXXV. Non omnis substantia ingenita dici potest, quod vel animo concipere stolidum est, atque ab gentilium ignorantia ea vel cogitatio vel sententia proficiscitur, sive affirmando, sive interrogando solum Aëtius ista protulerit. Quamquam interrogando istud quidem usurpasse videtur. Quare de gentilibus ista sciscitetur, atque ab illis hoc, quod in interrogatione sua ex ratiocinationibus collecta posuit, concedatur ultro, materiam esse quandam, quae tempore cum deo sit aequalis; sed et una cum illis eadem si sentiat convincatur Aëtius. Nam veritas quidem ipsa unam esse censet efficientem caussam; quod in una et eadem substantia perfecta trinitas sine ulla confusione numeretur. Reliqua vero omnia facta ac procreata sunt, non ingenita, divinitas vero a nullo creatur, sed pater gignit, filius genitus est; spiritus sanctus a patre missus est, et a filio accipit; cetera vero creata sunt; atque ipse deus immutabilis virtute permanens congruenter in trinitate consistit. Ceterum divinitas omnis ad patrem refertur, quod ita consentaneum sit, idque et ad unitatem retinendam, et multiplicium deorum vanitatem refellendam pertineat. Sic enim immutabilis est naturae divinae virtus, ut congruenter filii ad patrem spiritusque sancti consentanea ratio comparatioque servetur. Quae cum ita sese habeant, captiosae illius interrogationis commentum penitus intercidit.

6. ἀνωφερομένης *vitium est ed. Petav. Colon. repet.*

πολλὰ τὰ ἀπαράλλακτα, ἀλλὰ ἡ μία τριὰς ἐν μονάδι, καὶ μία θεότης ἐν τριάδι. Τὰ δ' ἄλλα πάντα ἀφέστηκεν, οὔτε αὐτοματισμῷ ἔχοντα τὸ πάσχειν, ἢ ποιεῖν, οὔτε τῆς ἁγίας τριάδος ἐν τῷ τι ποιεῖν δυναμένης πάσχειν, τῆς ὅλης ἀπαθοῦς οὔσης καὶ προςκυνητῆς, φημὶ δὴ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. Ἐποίησε γὰρ πάντα ὁ θεὸς δι' υἱοῦ, ἀλλ' οὐχὶ τὸν υἱόν. Οὐ γάρ ἐστι σὺν πᾶσι. [7] Συνυπουργεῖ γὰρ τῷ πατρὶ, καὶ συμπροςκυνεῖται. Οὔτε τὸ ἅγιον πνεῦμα. Οὐ γὰρ ἀριθμεῖται ἀπὸ πάντων, στερεοῖ δὲ τὴν δύναμιν τῶν ἁπάντων, καὶ συμπροςκυνεῖται. Τῶν δὲ πάντων ὑπὸ τὴν τοῦ ἑνὸς προνοησίαν ἐπιτεταγμένων ἕκαστα φέρεταί τε καὶ πράττει, πάσχει δὲ καὶ ὅσα ἕτερά. Διὸ ἡ μία τριὰς πρὸς ἑαυτὴν ἀπαράλλακτος, τὰ δὲ ἄλλα ἐξ αὐτῆς παρηλλαγμένα. Οὔτε γάρ ἐστι σύγχρονα, οὔτε συναΐδια. Μόνη δὲ ἀΐδιος, καὶ ἄκτιστος, καὶ ἀγέννητος, υἱοῦ μὲν γεγεννημένου ἀχρόνως καὶ ἀνάρχως, ἀεὶ δὲ ὄντος, καὶ μηδέποτε διαλείποντος τοῦ εἶναι. Ὅθεν ἠσφαλισμένως [8] κεφαλὴν, καὶ οὐκ ἀρχὴν τὸν πατέρα τοῦ υἱοῦ ἐδίδαξεν ὁ θεῖος λόγος, διὰ τὸ ὁμοούσιον, καὶ ἀϊδίως ὄντος τοῦ
pag. 985. πνεύματος τοῦ ἁγίου, καὶ ἐκ πατρὸς ἀπεσταλμένου, ἀεὶ δὲ σὺν πατρὶ ὑπάρχοντος, καὶ μὴ ἀπὸ χρόνου ἀρξαμένου.

Ἀετίου κεφάλ. λϛ'. Εἰ τὸ ἀγέννητος καὶ τὸ θεὸς ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῖ, [1] ὁ ἀγέννητος ἀγέννητον ἐγέννησεν. Εἰ δὲ ἕτερόν τι δηλοῖ τὸ ἀγέννητον, ἕτερον δὲ τὸ θεὸς, οὐκ ἄτοπον [2] τῷ θεῷ θεὸν γεγεννηκέναι, ἑκατέρου τὴν ὕπαρξιν λαβόντος ἐξ ἀγεννήτου οὐσίας. Εἰ δὲ [3] τὸ πρὸ τοῦ θεοῦ μηδὲν εἴη, ὥςπερ οὐκ [4] ἔστιν, ὁ θεὸς καὶ τὸ ἀγέννητον ταὐτὸν δηλοῖ, οὐ προςιεμένου τοῦ γεννήματος τὸ ἀγέννητον. Διὸ οὔτε [5] συνεκφωνεῖσθαι τῷ θεῷ καὶ πατρὶ αὐτοῦ ἀνέχεται.

Ἀνατρ. Πόθεν βούλεται ἡμᾶς Ἀέτιος προςπορίσασθαι ἐν ἑαυτοῖς τὸν νοῦν τῶν ὑπ' αὐτοῦ προτεινομένων πνεύσεων τῶν αὐτοῦ λογισμῶν; Καὶ εἰ μὲν φάσκει ἐκ λογισμῶν καὶ συλλογισμῶν, πεσεῖται καὶ ἡμῶν ὁ πορισμὸς τῆς ὑπονοίας ἅμα αὐτῷ. Θεὸν γὰρ οὐδεὶς συλλογίσοιτο πώποτε, οὔτε ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με οὕτως ἐποίησας; κατὰ τὸ γεγραμμένον. Ἐξ εὐσεβοῦς δὲ λογισμοῦ καὶ δικαίας ἀσφαλείας ἐπὶ τὴν τοῦ ἁγίου πνεύματος διὰ τῶν ἁγίων γραφῶν διδασκαλίαν ἀνακαμπτέον. Λέξεως δὲ ἀπαραβάτου διδασκούσης ἡμᾶς περὶ τῶν τῇ

7. *Editi vulgo mendose* συνηπούργει.

8. κεφαλὴν (κεφα^λ^ *cod. Ien.*) *codd. mss. uterque et edit. Petav.* κεφάλαιον.

1. *Supra* ἀγέννητον ἀγέννητος.

2. δὲ *particula, quae h. l. in sola Petavii editione, ut supra in omnibus libris, ante* τῷ θεῷ *inserta legitur, abest ab*

Etenim non multa sunt invariabilia, sed una duntaxat in singularitate trinitas, et una in trinitate divinitas, a qua reliqua omnia procul distant. Neque vero ut patiantur, aut agant, fortuito quodam casu consecuta sunt, neque sacrosancta trinitas dum agit pati quicpiam potest, cum tota patiendi expers, et adoranda sit, hoc est, pater et filius et spiritus sanctus. Quippe deus per filium universa condidit, filium vero non fecit, ut qui cum omnibus minime numeretur. Siquidem in operis communionem cum patre venit, et cum eodem adoratur. Neque postremo spiritum sanctum creavit, qui ne ipse quidem inter omnia numeratur. Huius enim proprium est universorum corroborare virtutem; unde et communiter adoratur. Porro cum omnia sub unius providentiam administrationemque subiecta sint, feruntur aguntque singula, et quae a deo sunt aliena patiuntur. Quocirca una a se ipsa trinitas invariabilis est, reliqua, quae ab ipsa producuntur, omnia variantur; quae nec tempore, nec aeternitate cum illa simul existunt. Sola itaque sempiterna, increata et ingenita est. Ac filius quidem sine ullo tempore initiove genitus idem ab aeterno est, nec unquam esse desinit. Quamobrem caute admodum *caput*, non *initium filii* patrem esse sermo divinus 1.Cor. 11, 3. edocuit, idque propter eandem utriusque substantiam. Spiritus vero sanctus sempiternus est, et a patre missus, cum quo semper existit, nec ab aliquo tempore esse coepit.

Aetii Caput XXXVI. Si ingenitus, et deus pro uno eodemque sumantur, ingenitus ingenitum genuit. Sin diversum quiddam ingeniti ac dei vocabula declarant, nequaquam absurdum est deum a deo genitum esse, cum uterque ab ingenita substantia originem traxerit. Quod si ante deum nihil omnino fuit, ut revera nihil extitit, deus et ingenitum idem plane significant, cum genita soboles ingenitum non admittat. Unde cum deo ac patre suo simul appellari sese non patitur.

Confut. XXXVI. 1. Unde tandem nos Aëtius iubet earum quas proponit interrogationum ac ratiocinationum sensum ac sententiam assequi? Si ex argumentis et syllogismis censet istud esse quaerendum, quicquid cogitando quaesitum indagatumque fuerit, in nihilum una cum ipso redigitur. Deum enim nullus unquam argumentando comprehendet, neque opificium opifici suo dicet, *Quid me ita* Rom. 9, 20. *fecisti?* ut scriptum est. Quamobrem pia mente et innocenti securitate ad sancti spiritus, quae per sacris literas patefacta nobis est, doctrinam revocandus est animus. Ubi cum solida immutabilique

utroque codd. mss. et edit. princ.
3. τὸ πρὸ *abest h. l. a libris tam scriptis quam editis. Supplevi locum de superioribus.*
4. *Supra* ἔστι, τὸ Θεός.
5. *Supra* τὸ συνεκφωνεῖσθαι.

κτίσει λατρευσάντων ὡς ἐμωράνθησαν, πῶς οὐκ ἂν εὑρεθείη ἐπὶ κτίσματι θεὸν λαμβάνειν, καὶ τοῦτον προςκυνεῖν τε καὶ γεραίρειν; τῆς πίστεως φύσει παρεκβαλλούσης τὸ προςκυνητὸν ἀπὸ τοῦ κτιστοῦ, καὶ τὸ κτιστὸν ἀπὸ τοῦ προςκυνητοῦ. Καὶ γὰρ εἰ ὅλως τοῦτο οὐδὲν διοίσει, πρὸς τοὺς τῇ κτίσει τὸ σέβας νέμοντος οὐδὲν πρόκριτον ἔσται ἐν Χριστιανισμῷ, ἔσται δὲ ἡ τοιαύτη πίστις εἰδολολατρεία μᾶλλον ἢ θεοσέβεια. Προςκυνοῦσι γὰρ κἀκεῖνοι ἥλιον, καὶ σελήνην, καὶ δυνάμεις, οὐρανόν τε καὶ γῆν, καὶ τὰ ἄλλα κτίσματα. Καὶ οὐ τὸ διάφορον τῶν κτισμάτων ποιεῖται τὸ θαῦμα· οὐδὲ διοίσει τὸ ἐξαίρετον [6] ἑαυτῷ τὸ τῆς ὁμοτιμίας διὰ τὸ ὁμώνυμον, κἄν τε ὑπερτεταλάντισται τὸ μὲν ἀπὸ τοῦ ἑτέρου. Εἷς γάρ ἐστιν ὁ τὰ ἀμφότερα ποιήσας, καὶ
pag. 986. *ἀποκληρώσας ἑκάστῳ, οὐκ ὀνόματος παραλλαγὴν, ἀλλ' οὐσίας. Ἐν ἅπασι γὰρ τοῖς κεκτισμένοις τὸ δοῦλόν ἐστι τοῦ κτίσματος τὸ ὄνομα, ἀλλ' οὐ τὸ ἐλεύθερον. Καὶ εἰ ἐν ἑνὶ μέρει τὸ δοῦλον προςκυνεῖται, οὐδὲν διοίσει πρὸς τὸ ἄλλο μέρος ἡ προςκύνησις, κἄν τε ὑποβέβηκεν. Ἴσον γάρ ἐστι τῷ ἀνωτάτῳ συγγενειάζον τῷ κτίσματι, ἐξ οὐκ ὄντων παρὰ τοῦ ὄντος κεκληρωμένον. Ἐντεῦθεν τὸ ἀγέννητον συμπρέπει θεῷ, καὶ τὸ θεὸς τῷ ἀγεννήτῳ. Διὸ τὸ γέννημα οὐκ ἔργον φαμὲν, οὐδὲ ποίημα, ἀλλὰ γέννημα οὐσιωδῶς ἀπὸ πατρὸς ἀχράντως γεγεννημένον, ὁμοούσιον τῷ πατρὶ καὶ συμπροςκυνητὸν, καὶ τὸ ἅγιον πνεῦμα ἐξ αὐτοῦ, καὶ οὐκ ἀλλότριον, διὸ καὶ συμπροςκυνητόν. Ἑτέρῳ δὲ τῶν κεκτισμένων τὸ θεὸς ὄνομα οὐ συνεκφωνεῖται, διὰ τὸ μετηλλάχθαι τῆς ἀγεννησίας, ὅτι ἐξ οὐκ ὄντων κεκλήρωται τὸ εἶναι. Ἡ δὲ τριὰς ἔχει τὸ ἀεὶ εἶναι, καὶ οὐχ ἕτερόν τι θεὸς καὶ ἕτερον τὸ ἀγέννητον.*

Συνομολογεῖς δὲ, Ἀέτιε, τὸν υἱὸν ἐκ πατρὸς γεγεννῆσθαι εἰρωνείᾳ, καὶ οὐκ ἀληθείᾳ. Πᾶν γὰρ τὸ γεννητὸν οὐ κτιστὸν, καὶ τὸ κτιστὸν οὐ γεννητόν. Εἰ δὲ τὸ γεννητὸν κτιστὸν, κατ' ἄλλον τρόπον ἐστὶν κτιστόν· ὡς οἷόν ἐστιν εἰπεῖν, Ἄνθρωποι γεννῶσιν ἀνθρώπους, ἀλλ' οὐ κτίζουσιν· οὗτοι δὲ ἄνωθεν ἐκ θεοῦ εἰσι κεκτισμένοι. Διὸ αὐτοῖς τὰ μὲν γεννώμενα γεγέννηται, παρὰ θεοῦ δὲ τὰ πάντα κέκτισται. Θεοῦ δὲ ὄντος ἀκτίστου, γεννήσαντος δὲ ἑαυτῷ υἱὸν, καὶ οὐ κτίσαντος, οὐχ ἕτερον γεννᾷ παρὰ τὴν αὐτοῦ οὐσίαν. Πῶς οὖν ἔσται τὸ ἐξ αὐτοῦ γέννημα κτιστὸν, τοῦ πατρὸς ἀκτίστου ὑπάρχοντος; Εἰ δὲ κτιστὸν παρ' αὐτῷ τὸ γέννημα, οὐκέτι γέννημα καλεῖται. Καὶ πολλή ἐστι πρὸς τὴν τοιαύτην τῆς ἀτοπίας ὑπόνοιον ἀντιλογία. Ἀπρεπὲς δὲ

6. *Rescribendum omnino est* ἑαυτὸ τῆς. *Ita supra pag.* 936. *dixit* οὐ διοίσας ἑαυτὸν παρὰ τὸν υἱόν.

sententia, *qui creaturam colunt, eos fatuos redditos esse doceamur,* Rom. 1, 21. nonne in istud ipsum incurrere videtur Aëtius ac creaturae divinitatem tribuere, eamque adoratione ac veneratione prosequi? cum sincera fides adorandum a creato, creatum ab adorando seiungat. Nam si nihil inter haec intersit omnino Christiana religio nihil supra creaturae veneratores eximium aut excellens habitura est, atque eiusmodi fides idololatria potius quam dei cultus esse censebitur. Nam et illi solem, lunam, virtutes, coelum et terram, ac ceteras creaturas adorant. Neque vero creatarum rerum admirabilis excellentia diversitatem affert ullam, neque quod eximiae quaedam sint, ullam in honoris aequalitate varietatem inducent, cum eodem nomine contineantur, tametsi unam alteri multis partibus antecellat. Unus enim est qui utraque molitus est, et unicuique non nominis, sed substantiae discrimen attribuit. Siquidem creatis omnibus rebus non liberum, sed servile creaturae nomen convenit. Ac si in uno genere quod servilis conditionis est adoretur, nihil obstabit quo minus et alteri generi, tametsi inferius sit, adoratio tribuatur. Aequale quippe est quod cum superioris ordinis creatura cognationem habet, utpote de nihilo ab eo qui est naturam sortitum. Hinc et ingenitum deo et deus ingenito congruit. Quare genitam sobolem non opus aliquod dicimus, aut effectum quicpiam, sed sobolem, naturaliter a patre sine labe progenitam, eiusdem cum patre substantiae, ac simul adorandam, spiritum vero sanctum ab illo procedentem, nec alienum, ob idque simul adorandum. Ceterum dei nomen creatarum rerum nulli conceditur, eo quod ab ingeniti proprietate discrepet, quoniam e nihilo ut esset obtinuit. At trinitas sempiterna est, nec aliud quiddam deus est, aliud ingenitum.

II. Tu vero filium, Aëti, irridendo scilicet, non bona fide a patre genitum affirmas. Quicquid enim genitum est, creatum non est, et quicquid creatum est, non est genitum. Quod si id quod genitum creatum etiam est, creatum alio modo dicitur. Nam exempli gratia homines gignunt homines, non creant, sed olim a deo creati sunt. Quare quae gignuntur, ab illis gignuntur, a deo vero universa creata sunt. Sed cum deus increatus sit, ac sibi filium generet, non procreet, non eum gignit ab substantia sua diversum. Quocirca fierine potest ut quod ab ipso gignitur creatum sit, cum increatus sit pater? Nam si creatus est qui apud ipsum est genitus, non est quod amplius genitus dicatur. Multa sunt quae adversus tam absurdam opinionem disputari possunt. Sed in-

καὶ θεῷ τὸ εἶναί ποτε ἄνευ [7] υἱοῦ, ὕστερον δὲ καλεῖσθαι πατέρα μετὰ υἱόν. Καὶ ἀπρεπὲς τῷ υἱῷ τὸ εἶναι πρὸ αὐτοῦ χρόνον· ἔσται γὰρ ὁ χρόνος μείζων τῆς αὐτοῦ μεγαλειότητος. [8] Συμπρεπόντως δὲ πατρὶ τὸ ἀεὶ ἔχειν ἐν ταυτότητι τῶν ἀξιωμάτων τὸ ἀνέκλειπτον καὶ ἀΐδιον. Καὶ ὅτι πρὸ θεοῦ οὐδὲν ἦν, δῆλον τοῦτο. Τὸ θεὸς τοίνυν, ὡς ἔφη Ἀέτιος, καὶ τὸ ἀγέννητον ταὐτόν ἐστι δηλοῦν. Καὶ πῶς ἑαυτοῦ κα-
pag. 987. ταπλέκων κατηγορεῖ μᾶλλον [9] δὲ ἤπερ συνίσταται; Εἰ γὰρ σὺν θεῷ τὸ θεὸς, ὡς καὶ ἔστι, καὶ τὸ ἀγέννητον προσίεται τὸν γεννητὸν υἱόν· ἔχει γὰρ συμπεριειλημμένως τὸ θεός. Συνεκφωνεῖται δὲ τῷ πατρὶ, ἀπὸ τοῦ θεὸς, καὶ ἄκτιστος, καὶ σὺν πατρὶ τιμώμενος θεὸς λόγος, κἄν τε τῷ Ἀετίῳ τοῦτο μὴ παρίσταται, τῶν πάντων κτισμάτων υἱῷ προσκυνούντων, καὶ πάσης γλώσσης ἐξομολογουμένης ὅτι Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρὸς, ᾧ ἡ δόξα πατρὶ ἐν υἱῷ, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΕΤΙΟΥ * ΕΝ ΤΩΙ ΤΕΛΕΙ ΤΟ ΕΡΡΩΣΘΑΙ.

Ἐρρωμένους καὶ ἐρρωμένας ὑμᾶς ὁ ὢν αὐτογέννητος θεὸς, ὁ καὶ μόνος [1] διὰ τοῦτο ἀληθινὸς θεὸς προσαγορευθεὶς ὑπὸ τοῦ ἀποσταλέντος Ἰησοῦ Χριστοῦ, ὑποστάντος τε ἀληθῶς πρὸ αἰώνων καὶ ὄντος [2] γεννητῆς ὑποστάσεως, διατηρήσει ἀπὸ τῆς ἀσεβείας, ἐν Χριστῷ Ἰησοῦ τῷ [3] σωτῆρι ἡμῶν, δι' οὗ πᾶσα δόξα τῷ [4] θεῷ καὶ πατρὶ, καὶ νῦν [5] καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀνατρ. Καὶ ἐπὶ τῷ τέλει ὁ Ἀέτιος γράφων τῷ ἑαυτοῦ θιάσῳ, οἷς ἔφη [6] ἀθληταῖς τε καὶ ἀθλητρίαις, οὐκ ἀπελίπετο τῆς τοιαύτης τῶν λόγων μοχθηρίας, ἀλλὰ καὶ ἐν τῷ ἐρρῶσθαι ἀπέδειξεν αὐτοῦ τῆς διδασκαλίας τὸ ἀλλότριον. Φάσκει γὰρ, Ἐρρωμένους ὑμᾶς ὁ ὢν αὐτογέννητος θεός· οὐ συνιδὼν ὅτι ἐν ἑνὶ λόγῳ ἔλυσε τὸ πᾶν τῆς αὐτοῦ ὑποσπορᾶς τοῦ ζητήματος. Φήσας γὰρ ἐν τοῖς ἀνωτάτω κεφαλαίοις περὶ ἀγεννήτου θεοῦ, [7] Οὐ προοῖδε καὶ ὅτι οὔτε ἑαυτὸν ἐποίει, ἐνταῦθα αὐτογέννητον ἡμῖν παρεισάγει. Πᾶσα δὲ [8] διάνοια ἐν λήθῃ ἑαυτῆς γίνεται, ὅπως φωραθείη. Εἶτά φησι, Ὁ καὶ μόνος διὰ τοῦτο

7. υἱοῦ *bis legitur in edit. Petav. Colon. repet.*

8. *Rescribendum fortasse* Συμπρέπον τῷ δὲ πατρὶ, *aut* Συμπρέπον ὄντως δὲ πατρὶ.

9. *Hoc* δὲ *delendum esse iam Petavio visum est, qui uncinis inclusit. Etiam Cornarius convertit* seipsum complicando accusat potius quam confirmat? *Pro* ἤπερ *in cod. Rhedig. legitur* εἴπερ.

* ἐν τῷ τέλει *codd. mss. Ien., Rhedig., Parisinus (teste Petavio).* ἐνταῦθα τελεῖ *edd. Cornarius vertit* Aetii conclusio ad finem.

1. διὰ τοῦτο *verba aberant supra.*

2. ἀληθῶς γεννητῆς *supra.*

primis indignum deo est, ut sine filio extiterit aliquando, tum postea post filii exortum pater appellari coeperit. Similiter et indignum filio est, uti tempus ipsius originem antecesserit, consequens enim est tempus maiestate illius esse maius. Et vero patri congruens est ut in eiusdem communione dignitatis participem eum semper habuerit qui desinere nunquam potest estque sempiternus. Quod vero deo nihil prius extiterit manifestissimum est. Atenim, ait Aëtius, deus et ingenitum idem omnino significant. Verum quam aperte semetipsum implicans accusat potius quam dogma suum confirmet. Nam si cum deo deus est, ut est revera, etiam ingenitum genitum filium admittit, qui dei vocabulum una complectitur, cum patre vero simul appellatur et coniungitur, exortus a deo, et increatus, et honoratus cum patre deus, idemque verbum, etsi aliter Aëtio videatur, cum creatae res omnes filium adorent, *et omnis lingua confiteatur, quoniam Iesus Christus in gloria est dei patris,* cui gloria patri in filio, cum spiritu sancto, in saecula saeculorum, Amen.

AETII SALUTATIO IN FINE POSITA.

Post haec salutationem subtexit his verbis: Deus ille, qui a nullo alio genitus est, quique solus verus deus ab Iesu Christo, quem ille miserat, appellatus est, Christo inquam, qui revera ante saecula omnia extitit, estque sine dubio genita substantia, sanos vos, et sanas, et incolumes ab impietate custodiat, *in Christo domino nostro,* per quem omnis gloria patri, et nunc, et semper, et in saecula saeculorum, Amen.

Confutatio. Sub opusculi finem ad sodales suos scribens Aëtius, quod athletas et athletrias nominat, ne tum quidem ab impiis vocibus abstinuit, sed in valedicendo quoque abhorrere se ab sincera doctrina monstravit. Sic enim loquitur: *Sanos vos et valentes qui est a se genitus deus custodiat:* nec illud animadvertit, totam illam sparsam a se quaestionem una voce dissolvi, cum in superioribus capitibus de ingenito deo loquens nequaquam a seipso fieri statuerit, hoc vero loco a seipso genitum affirmet. Quaelibet enim hominis mens sui ipsius obliviscitur, ut in errore deprehendi possit. Addit praeterea, *Qui et solus propterea verus deus appellatur.*

3. κυρίῳ *supra.*
4. ϑεῷ καὶ *abest supra.*
5. *Repone, quod excidit,* καὶ ἀεὶ. *V. supra pag.* 930. *et infra pag.* 988.
6. *Supra pag.* 924.
7. *Supra cap.* 13. *Cornarius vertit* cum enim dixerit in superioribus capitibus de ingenito deo, Praevidit etiam quod neque seipsum fecit *cett. Inducendam igitur esse putavit negationem* οὐ *ante* ϑεοῦ.
8. ἄνοια *cod. Rhedig., quod verum esse videtur.*

ἀληθινὸς θεὸς προσαγορευθείς. Κατὰ δὲ τὸν αὐτοῦ λόγον καὶ διάνοιαν ἢ ἀναιρεῖ τὸ εἶναι τὸν υἱὸν θεὸν, καὶ μάτην συκοφαντεῖ τὸ ὄνομα, Χριστιανὸς τὸ ὄνομα καλεῖσθαι· ἢ [9] ὅτι θεὸν μὲν ἔχει τὸν υἱὸν, ἀλλ' οὐκ ἀληθινὸν, καὶ ἔσται αὐτῷ εἷς θεὸς ἀληθινὸς, καὶ εἷς οὐκ ἀληθινός. Κατὰ δὲ ὑπόβασιν ἕνα ὑφ' ἑνὸς εὑρίσκων ἔτι καὶ τὸ ἅγιον
pag. 988. πνεῦμα ἐν μικροτέρᾳ καὶ ἀποδεούσῃ τάξει τάττων, ἢ ὅτι μικρότερον πάλιν θεὸν ἕξει, ἢ τῇ τριάδι μὴ συναριθμῶν τοῦτο ἔσται παντάπασιν ἀλλότριον Χριστιανῶν τὸ ἐλεεινὸν ἀνθρωπάριον, καὶ λοιπὸν Ἕλλην ἀποκηρυχθείη τελειότατος, καὶ Σαδδουκαῖος τῷ ἀριθμῷ, ἀλλότριος μὲν τοῦ πνεύματος τοῦ ἁγίου, ὡς καὶ ἔστιν, Ἕλλησι δὲ συγκρινόμενος τῇ μερίδι, ἕνα μὲν θεὸν φάσκων μέγαν, καὶ ἕνα μικρὸν, ἕνα ἀληθινὸν, καὶ ἕνα οὐκ ἀληθινὸν, ὡς Ἕλληνες ὁμολογοῦσιν, ἕνα μέγαν θεὸν, τοὺς δὲ ἄλλους μικροὺς ὀνομάζοντες· τῆς θείας γραφῆς αὐτὸν σαφῶς ἐλεγχούσης, καὶ περὶ πατρὸς μὲν λεγούσης ὡς ὁ θεὸς ἀληθινὸς, καὶ περὶ υἱοῦ τὸ θεὸς ὡσαύτως, [10] καὶ περὶ πατρὸς, Τὸ φῶς ὁ θεὸς, περὶ δὲ υἱοῦ, Ἦν τὸ φῶς τὸ ἀληθινὸν, καὶ περὶ ἁγίου πνεύματος ὅτι, Τὸ πνεῦμα τῆς ἀληθείας. Ἀληθινῶς τοίνυν ἡμῖν ἡ τριὰς καταγγέλλεται ἐν σοφίᾳ καὶ βάθει πλούτου.

Εἶτα πάλιν ἀκολούθως φησὶ, Καὶ ὑπὸ τοῦ ἀποσταλέντος Ἰησοῦ Χριστοῦ, καὶ οὐκ ᾐδέσθη ἀπαξιώσας τὸν μονογενῆ θεοῦ ὀνόματος, ἀλλὰ [11] μόνον ψιλῇ τῇ λέξει κέχρηται, ὡς ἐν τοῖς ἀνωτάτω ὡμολόγησε κεφαλαίοις, ἕως ψιλῆς ὀνομασίας νέμων τῷ υἱῷ τὸ γέρας τοῦ ὀνόματος. Λέγει δὲ πρὸ αἰώνων ὑποστάντα ἀληθῶς, καὶ ὄντα ἀληθῶς γεννητῆς ὑποστάσεως. Διατηρήσει δὲ, φησὶ, ἀπὸ τῆς ἀσεβείας. Εἴωθε δὲ πᾶσα φαύλη γενὴ τοὺς [12] αὐτῆς τρόπους ἄλλοις προλαμβάνειν τε καὶ ἐπιφημίζειν. Οὐχ ὁρῶν γὰρ εἰς ὅσα ἠσέβησεν, ἑαυτὸν εὐσεβῆ νομίζει, ὡς οἱ τὴν παραπληξίαν κεκτημένοι νομίζουσι μὲν ἑαυτοὺς ἐν φρονήσει εἶναι, τοὺς δὲ ἄλλους φρενητιῶντας. Ἐνταῦθα δὲ, Ἐν Χριστῷ Ἰησοῦ, οὐδὲ, Τῷ κυρίῳ ἡμῶν, ἐτόλμησεν ἀποδοῦναι, ἀλλ' εἰρωνικῶς, Τῷ σωτῆρι ἡμῶν, ἔφησεν, καί φησι, Δι' οὗ πᾶσα δόξα τῷ πατρὶ καὶ νῦν καὶ [13] ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ αὐτὸ δὲ τὸ εἰπεῖν, Πᾶσα δόξα, ὅπως [14] περιαιροῖ τὸν υἱὸν ἀπὸ τῆς τιμῆς τε καὶ δόξης οὗ οὐδεὶς ἀνέξοιτό ποτε τῶν εὐσεβῶν καὶ ἐκ πνεύματος ἁγίου τὴν δωρεὰν τῆς ἀληθινῆς πίστεως εἰληφότων.

Ταῦτα δὲ πάντα διαλαβόντες τὰ ὑπὸ τούτου τοῦ Ἀετίου εἰρημένα ἐν διαλεκτικῇ τινι τέχνῃ καὶ συλλογιστικῇ ὑπονοίᾳ ἀνθρωπίνης μαγγανείας ἐν κεφαλαίοις λζ΄. Οἷς νουνεχῶς ὑμᾶς ἐντυχεῖν παρακαλοῦμεν, καὶ

9. *Intellege* ἢ συκοφαντεῖ ὅτι κτλ.

10. *Verba* καὶ περὶ πατρὸς — περὶ δὲ υἱοῦ *Petavii interpretatio neglexit.*

11. μόνον *codd. mss.* μόνως *editi libri.*

12. αὐτοῦ *vitium est edit. Petav. Colon. repet.*

Quamobrem ut illius animus opinioque fert, aut filium deum esse negat, et nomini ipsi calumniam facit, dum Christianus appellari cupit, aut deum esse quidem filium putat, sed minime verum, ut ex eius sententia deus alius sit verus, alius non verus. Quapropter cum alterum alteri subiiciat, et spiritum sanctum in minori atque inferiori sede collocet, necesse est ut aut minorem alium deum cognoscat, aut, si trinitati nequaquam annumerandum existimet, prorsus a Christianorum numero segregandus sit infelix homuncio, atque ad gentilium factionem, vel Sadducaeorum prorsus ablegandus. Est enim a spiritu sancto horum instar alienus. Ab gentilium vero partibus eatenus stat, dum unum esse censet summum deum, alterum minorem, verum unum, alterum non verum; id quod Graeci confitentur, qui unum maiorem deum, minorum gentium ceteros appellant. Sed nimirum perspicue illum sacrarum literarum convincit auctoritas, quae cum de patre loquuntur, *Deus,* 1. Ioann. 5, 20.
inquiunt, verus est; filium quoque itidem esse deum asserunt. Po- Ibid. 1, 5.
stremo cum de spiritu sancto loquuntur, *spiritum veritatis* appellant. Ioann. 1, 9. Ioann. 16, 13.
Itaque trinitas vere nobis in *sapientia et divitiarum altitudine nuntiatur.* Rom. 11, 33.

II. Pergit Aëtius: *Et a Iesu Christo,* inquit, *qui missus est.* Nec puduit ipsum unigenito dei nomen detrahere, quem nudo ac simplici vocabulo declaravit; id quod in superioribus capitibus professus est, cum illius decus ac dignitatem nominis filio appellatione sola concessit. Eundem tamen ante saecula subsistentem fuisse ac genitae revera substantiae extitisse narrat. Addit deinde, *Conservabit vos ab impietate.* Solet enim flagitiosa quaeque mulier convicium antevertens mores suos aliis exprobrare. Sic Aëtius impietatis suae magnitudinem non sentiens pium esse se ac religiosum arbitratur; ut qui animi delirio laborant sui se compotes ac prudentes, ceteros mente captos existimant.* Idem porro cum, *In Christo Iesu,* dixisset, *dominum nostrum* adiicere non est ausus, sed cavillando, *Salvatore nostro* dixit. *Per quem gloria omnis patri, et nunc, et semper, in saecula saeculorum, Amen.* Ubi quod, *Omnis gloria,* scripsit, id eo consilio fecit, ut ab eo honore ac gloria filium excluderet. Quod quidem nemo pius ac veram fidem sancti spiritus beneficio consecutus admittet.

III. Haec adversus Aëtii dogmata disputanda putavimus, quae ille dialectica facultate et argumentandi subtilitate humanisque praestigiis fretus capitibus septem ac triginta disseruit. Ea vero cum

13. *ἀεὶ καὶ εἷς codd. mss., uti supra pag.* 930. *ἀεὶ εἷς editi.*

14. *Libri vulgo* περιάροι.

εὐθὺς μὲν εἴσεσθε, ὦ Χριστιανῶν παῖδες, καὶ δοῦλοι Χριστοῦ, καὶ υἱοὶ
pag. 989. τῆς ἀληθείας, τὴν πᾶσαν αὐτοῦ γηΐνην κενοφωνίαν καὶ ἀλλοτρίαν πνεύματος ἁγίου διδασκαλίαν. Ὃς οὐκ ἐτόλμησε κἂν ἐν μιᾷ λέξει μνησθῆναι θείου λόγου, ἢ ῥητοῦ τινος παλαιᾶς, ἢ καινῆς διαθήκης, οὐκ ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, οὐκ ἀπὸ εὐαγγελίων, οὐκ ἀπὸ ἀποστόλων, οὔ τινος τῶν πατριαρχῶν [15] μαρτυρίαν παρενέγκαι, οὔτ' αὐτοῦ τοῦ σωτῆρος, οὐ πατρὸς πώποτε, οὐχ ἁγίου πνεύματος ῥῆμα δι' ἀποστόλων εἰρημένον ἢ διὰ προφητῶν· ἵνα παντελῶς αὐτοφώρατος γένηται τοῖς φίλοις τῆς ἀληθείας, ὅτι παντάπασιν ἀλλότριος τυγχάνει θεοῦ καὶ τῆς αὐτοῦ πίστεως. Νομίζω δὲ καὶ ἱκανῶς ἡμᾶς πρὸς τὰς αὐτοῦ προτάσεις κατὰ τὸ δυνατὸν ἰδιωτικῷ λόγῳ, συστάσει δὲ τῶν ἀπὸ τῶν θείων γραφῶν καὶ αὐτοῦ τοῦ εὐσεβοῦς λογισμοῦ πρὸς αὐτὸν ἀπηντηκέναι. Καὶ ἐπειδὴ ἱκανῶς ἐν ταῖς πρὸς αὐτὸν ἀνατροπαῖς περὶ πίστεως σαφῶς [16] διελέχθημεν, ἀρκετῶς ἡγούμεθα, ἵνα μὴ προςθέντες δυςχέρειάν τινα περὶ τὴν ἀνάγνωσιν περισσοτέραν ἐργασώμεθα. Ὀλίγα δὲ πάλιν ἐξ ὧν αὐτὸς ἀρθεὶς τὴν διάνοιαν μετὰ τὴν ἀλλόκοτον αὐτοῦ πίστιν καὶ εἰς Χριστὸν καὶ εἰς τὸ ἅγιον αὐτοῦ πνεῦμα ἀπέχθειαν, ὅσα ἐτόλμησε τὸ αὐτοῦ στόμα καὶ τῶν ὑπ' αὐτοῦ μεμαθητευμένων καὶ ἐν θράσει εἰς ὕψος ἆραι τὴν διάνοιαν καὶ ὑπέρογκα βλασφημῆσαι, αὖθις ἐπιλαβόμενος συντόμως λέξω.

Οὗτος γὰρ ἐφαντάσθη, καὶ οἱ ἀπ' αὐτοῦ, ὑπὲρ πάντα ἄνθρωπον, οὐκ ἐπὶ τῷ εἰδέναι τὸν θεὸν κατὰ πίστιν, ἀλλὰ φύσει κατὰ εἴδησιν. Ὡς καὶ ἄνω που ὑπέμνησα φασκόντων αὐτῶν, οὐχ ἁπλῶς εἰδέναι τὸν θεὸν ἐν γνώσει πίστεως, ἀλλ' ὡς ἐὰν [17] γινώσκῃ τις πᾶν ὁρατὸν καὶ χερσὶν αὐτοῦ ψηλαφώμενον, ὡς εἴ τις λάβοι μετὰ χεῖρας λίθον, ἢ ξύλον, ἢ ἄλλης τινὸς ὕλης ἐργαλεῖον· οὕτως ἔφη καὶ οὗτος ὁ γεννάδας ὅτι, Οὕτως οἶδα τὸν θεὸν, ὥςπερ ἐμαυτὸν, καὶ οὐ τοσοῦτον οἶδα ἐμαυτὸν ὡς τὸν θεόν. Λοιπὸν δὲ τὰ μωρὰ λέγειν καὶ ἀκούειν πολλοῖς μὲν ἔστιν εἰς ἀπάτην, τοῖς δὲ συνετοῖς εἰς χλεύην. Τίς γὰρ τῶν φρενοβλάβειαν ἑαυτοῖς κεκτημένων καὶ μεμηνότων οὐ δύναται καὶ ἄλλους ἐκμαίνειν, καὶ μάλιστα τοὺς συνεπομένους καὶ ὑπακούοντας;
pag. 990. Εἰ γάρ τις ἠρώτησεν αὐτὸν καὶ τοὺς ἀπ' αὐτοῦ, Μή μοι διήγησαι θεὸν εἰδέναι τὸν ἀσύγκριτον καὶ ἀκατάληπτον, τὸν κατὰ τὸ εἶδος μὲν μὴ καταλαμβανόμενον, πίστει δὲ γινωσκόμενον τοῖς αὐτοῦ δούλοις, ἀλλὰ διήγησαί μοι τοὺς πυθμένας τῆς γῆς, τὰ ταμιεῖα τῆς ἀβύσσου, τὰς φλέβας τῆς θαλάσσης, ᾅδου τὸν τόπον, ἀέρος τὰ μέτρα, οὐρανῶν

15. μαρτυρία cod. Rhedig.

16. διελέγχθημεν codd. mss. et edit. princ.

17. γινώσκει cod. Rhedig. Et cod. Ien. in syllaba finali ῆ rasuram habet conspicuam.

prudentia ut legatis postulo. Ita enim, o Christiani ac Christi servi, veritatisque filii, terrenam ac vanissimam illius doctrinam, atque a spiritu sancto prorsus abhorrentem esse cognoscetis. Qui divini verbi ne una quidem litera mentionem attigit, nec ullum veteris aut novi testamenti locum protulit. Nihil ex lege, nihil e prophetis, nihil ex evangeliis, nihil ex apostolis, nihil e patriarcharum testimoniis in medium adduxit. Non ipsius salvatoris sententiam ullam, non patris spiritusque sancti dictum aliquod ab apostolis vel prophetis commemoratum proposuit. Quo illud veritatis amantes intelligant, plane illum a deo esse et a fide ipsius alienum. Contra haec illius decreta abunde a nobis hactenus pro viribus disputatum arbitror, ac rudi quidem et simplici orationis stylo, sed allatis sacrarum literarum auctoritatibus, ac depromptis ex religioso animi sensu rationibus illius impetus esse discussos. Itaque cum in illius confutationibus de fide satis aperte disseruerimus, sufficere istud arbitramur; ne si amplius aliquid addamus molestiorem operis huius lectionem supervacanea longitudine faciamus. Sed pauca quaedam nihilominus retractanda ac breviter exponenda sunt ex iis quae post importuna illa absurdaque dogmata insolentius elatus in Christum eiusque spiritum sanctum prae utriusque odio nefarie contulit; quaeque ab impudenti illius ac discipulorum ipsius ore profecta et inaudito quodam animi fastu arrogantiaque in deum contumeliosissime sunt coniecta.

IV. Hic enim ipse cum suis in eam vanitatis amentiam incidit, ut supra mortales omnes deum se non fide sola, sed propria quadam scientia comprehendere iactaret. Quemadmodum paulo ante memini hoc ab illis usurpari solitum, deum se non fidei modo intelligentia, sed perinde animo concipere ac quilibet aspectabilia ista ac tractabilia cognoscit, utputa si quis lapidem aut lignum vel alterius materiae instrumentum capiat. Ita quidem audax ille ac temerarius loquitur: Tam deum intelligo quam meipsum; imo tam meipsum non novi quam deum. Verum nugas istas ultra dicendo persequi, vel audire, uti pluribus fraudem ac perniciem, ita sapientibus risum ac ludibrium consciscet. Ecquis enim mentis vecordia ac furore percitus alios in eandem insaniam trahere, praesertim obsequentes sibi ac dicto audientes, non possit? Quod si quis illum, vel eius discipulos rogaret: Ne tu mihi incomparabilis et incomprehensibilis dei scientiam iactites, cuius formam quidem ac naturam assequi nemo potest, fide vero ab ipsius servis utcumque cognosci potest. Sed hoc velim nobis edisseras, fundamenta terrae quae sint, quaeque abyssi penitiora receptacula, maris venas, infe-

τὸ εἶδος καὶ τὰ πάχη, τί τὸ ἄκρον τῶν ἄνω, τί τὸ τέρμα τῶν κάτω, τί ἐν δεξιᾷ, τί ἐν εὐωνύμοις, τῆς κτίσεως τῆς ἑαυτοῦ πλάσεως τὸ διήγημα, τῶν ἐπὶ [18] γῆς ἀμυθήτων τὸν ἀριθμὸν καὶ τὰ μέτρα, [19] λοιπὸν ταῦτα ἤκουσαν, ὡς ἠκούσαμεν παρὰ τῶν ὑπ' αὐτοῦ ἠπατημένων, εἰς σοφιστικὰς προφάσεις παρεκκλίναντες εἰρωνείᾳ, λοιπὸν λέγουσιν ἀπ' ἐκείνου μεμαθηκότες ὅτι πάντα ταῦτα τὰ σωματικὰ [20] καὶ ἔστι καὶ οὐ δυνάμεθα εἰδέναι. Τὸν θεὸν δὲ τὸν αὐτὰ πεποιηκότα οἴδαμεν σαφῶς [21] ποταπός ἐστι καὶ πῶς ἐστι καὶ οἷός ἐστι καὶ τίς ἐστι. Τίς δὲ ἀκούσας ταῦτα οὐκ ἂν καταγελάσειεν εὐθύς; Εὔηθες γάρ ἐστι τὸ ὅλον ὅτι τὸν τεχνίτην καὶ ἀσύγκριτον καὶ ἀνεκδιήγητον λέγει εἰδέναι καὶ ἠκριβωκέναι (καὶ εἴθε ἔλεγε τῇ πίστει εἰδέναι καὶ ἠκριβωκέναι· ἀλλὰ μὴ κατὰ εἴδησίν τινα ψηλαφήσεως ἐτόλμα καὶ τολμῶσι λέγειν), τὰ δὲ ὑπ' αὐτοῦ γενόμενα τοῦ ἀσυγκρίτου διὰ τὸ κατὰ τὸ εἶδος δυνάμενα παρὰ τῶν ὁρώντων ὑπερθαυμάζεσθαι φάσκειν αὐτόν τε καὶ τοὺς αὐτοῦ μὴ εἰδέναι, μάλιστα πάντη τῶν θείων γραφῶν σαφῶς περὶ θεοῦ κηρυττουσῶν τὸ ἀόρατον αὐτὸν εἶναι, καὶ ἀκατάληπτον, καὶ ἀπερινόητον, μόνον δὲ πίστει ἐν ἀληθείᾳ γινωσκόμενον ὅτι ἔστι καὶ τοῖς ἀγαπῶσιν αὐτὸν μισθαποδότης γίνεται.

Ὅταν δέ τις αὐτοῖς εἴπῃ τῶν ὀρθῶς περὶ θεοῦ δόξης πίστεώς τε καὶ ἀγάπης καὶ ἀκαταληψίας δοξαζόντων ὅτι, Ἡμεῖς οἴδαμεν θεὸν ἀκατάληπτον, θεὸν ἀόρατον, ἀνεκδιήγητον, οἴδαμεν δὲ αὐτὸν ὄντως, ὄντα δὲ ἀόρατον καὶ ἀκατάληπτον, ἐπισκωμματικῶς καὶ κωτίλως λοιπὸν ὡς μῦθον τινὰ διηγούμενος ἐτόλμησεν οὗτος ὁ τὴν καινὴν διαλεκτικὴν ἡμῖν φέρων, Τίνι οὖν ἐοίκατε, καὶ ἡ ὑμῶν πίστις; Παρθένῳ φθαρείσῃ, οὔσῃ δὲ τυφλῇ καὶ κωφῇ καὶ ἀλάλῳ, ἥτις ὅτι μὲν
pag. 991. πέφθαρται πᾶσι πέφηνε τοῖς αὐτὴν γινώσκουσιν. Ἐρωτωμένη δὲ τίς ὁ φθορεὺς οὐκ ἀκούει, ἵνα μάθῃ, καὶ οὔτε ἑώρακε τὸν [22] φθείραντα, διὰ τὸ τετυφλῶσθαι, οὔτε ἀπαγγεῖλαι δύναται, διὰ τὸ ἄλαλον· ὡς εἶναι ἀντιστρόφως πρὸς αὐτὸν καὶ τὸν αὐτοῦ μῦθον κατὰ τὸ γεγραμμένον, [23] Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο, καὶ τὰ τούτοις ὅμοια. Αὐτὸς γὰρ ἔοικε τυφλῷ ἐκ γενετῆς οὕτω γεγεννημένῳ, λαλοῦντι δὲ, καὶ πολλὰ λαλοῦντι καὶ ἀκούοντι, καὶ εἰδότι μὲν λευκοῦ τὸ ὄνομα, καὶ μέλανος, κυανοῦ τε καὶ πρασίνου καὶ πυρροῦ, καὶ τῶν ἄλλων διαφόρων ὀνομάτων,

18. γῆς *scripti libri.* τῆς γῆς *editi.*

19. *Scribendum fortasse* εἴ που ταῦτα ἤκουσαν. *Editi praebent* λοιπὸν ταῦτα ἤκουσαν. *Cod. Ien.* λοιπὸν ταῦτα ἠκουσαν, *cod. Rhedig.* λοιπὸν τὰ πάντα ἤκουσας, *uti legitur etiam in cod. Paris., teste Petavio, qui coniecit* λοιπὸν ὡς ταῦτα ἤκουσαν. — *Pro* τὸν ἀριθμὸν *in praecedentibus cod. Ien. habet* τῶν ἀριθμὸν, *cod. Rhedig.* τῶν ἀριθμῶν.

rorum domicilium, aëris mensuras, coelestium orbium formam ac crassitudinem, quodnam summum supra, quod infra sit infimum, quid ad dexteram sit, quid ad sinistram. Ad haec creatarum rerum naturam, tuique adeo molitionem explices, tum eorum omnium numerum modosque quae terris infinita continentur. Haec cum illis obiiciuntur, ut ab illius sectatoribus audire memini, ad sophistica quaedam commenta cavillationesque sese convertunt, et ex illius praescripto ita respondent: Haec omnia corporea sunt, nec a nobis percipi possunt. Deum vero, qui haec ipsa condidit, manifeste cuiusmodi sit, quove modo, ac qualis, quisve sit intelligimus. Quis haec sine risu possit audire? Est enim longe illud sane stultissimum: Summum illum, et incomparabilem opificem, qui nullo sermone declarari potest, scire se atque accurate percepisse profiteri (atque utinam fide saltem illum ipsum scire se, non velut contrectare manibus incredibili audacia praedicarent!), interim vero creatas ab incomparabili illo res omnes, quae in sua quaque specie consideratae spectatores ipsos sui in admirationem trahere possunt, negare illum cum suis a se cognosci. Praesertim cum ubique sacrae literae de deo testentur, neque oculis ipsum percipi, neque comprehendi, nec animo cogitari posse, sed id unum de illo ex rei veritate percipi, *Quod sit, quodque diligentes se remuneretur.* Hebr. 11, 6.

V. Iam vero quoties eorum aliquis, qui de dei gloria, fide, caritate, et incomprehensibili natura recte sentiunt, hoc illis obiicit: Novimus incomprehensibilem deum, qui nec oculis videri, nec explicari sermone potest, eum nos, inquam, revera cognoscimus, sed nec aspectabilem et incomprehensibilem esse scimus, ad haec novae iste dialecticae architectus illudendo ac deridendo velut fabulam quandam contexuit. Cuinam ergo vos vestramque fidem similem, inquit, esse dixerim? Nimirum vitiatae, ac caecae, surdae, mutaeque virgini, cui quidem oblatum esse stuprum qui eam norunt omnes intelligunt. At si quis ille vitiator fuerit interroges, nequaquam audiat; neque aut illum propter caecitatem videre potuit, aut
indicare, quod muta sit, potest. Merito igitur in ipsum ipsiusque Psalm. 7, 17.
sermonem illud e scriptura retorquere licet: *Convertatur labor eius in caput ipsius; et incidet in foveam quam fecit,* ac cetera id genus. Hic enim caeci similis est, qui cum ea calamitate natus loquatur, audiatque quam plurima. Ac licet albi, ac nigri, caerulei, prasini, rufi, ac ceterorum a se discrepantium colorum, nec non et lucis

20. καὶ *om. in edit. Petav. Colon. repet.*
21. ποταπῶς *cod. Rhedig.*
22. φθείραντα *codd. mss.* φθείροντα *editi.*
23. ἐπιστρέψαι *libri omnes.*

φωτός τε καὶ σκότους, ὧν μὲν τὰ ὀνόματα ἐνηχεῖται, οὐ μὴν δὲ γινώσκει τί τὸ εἶδος, οὐδ᾽ [24] ὅλως δύναται αὐτὸ ἑρμηνεῦσαι, διὰ τὸ ἀπαρχῆς αὐτὸν τυφλὸν γεννηθῆναι, καὶ τὴν ἐναλλαγὴν ἑκάστης ποιότητος χρωμάτων [25] ἀγνοεῖ, καὶ τὸ εἶδος. Ἕκαστον γὰρ αὐτῶν τῶν ὀνομάτων τὸ κατάλληλον τῆς διακρίσεως [26] δι᾽ ὁρατικῶν αἰσθήσεων ἔχει τὴν πεῖραν, οὐ μὴν δὲ διὰ φράσεως τῷ μὴ γινώσκοντι ἀπαρχῆς τὸ εἶδος οὔτε διὰ ψηλαφήσεως καὶ ἁφῆς δυνάμενον δοκιμασθῆναι. Ὅταν γοῦν οἱ ἀπὸ γενετῆς τυφλοὶ περὶ τούτων διαλεγόμενοι, καὶ εἰδότες [27] ἀντιπαρακατατιθέναι τὸ μέλαν πρὸς τὸ λευκόν, καὶ τὸ χλωρὸν πρὸς τὸ κυάνεον, καὶ πορφύρεόν [28] τε κοκκηρόν τε, καὶ τὰ ἄλλα χρώματα, ἐρωτηθῶσι δὲ ἀφ᾽ ἡμῶν τὴν ποιότητα τοῦ εἴδους καὶ τὸ χρῶμα ἑκάστης ποιότητος, οὔτε δύνανται εἰπεῖν, οὔτε ἀφ᾽ ἡμῶν διδαχθῆναι, μόνον δὲ διὰ λόγου [29] πείθουσιν ἑαυτῶν τὴν διάνοιαν, ἀπατῶσι δὲ τοὺς ἀκούοντας, ὡς εἰδότες τέλειον περὶ τῆς διακρίσεως, κἄν τε τῷ λόγῳ λέγωσι, τὴν ἀγνωσίαν διὰ τῆς ἀκαταληψίας κεκτημένοι. Οὕτω καὶ οὗτος ἥκει ἡμῖν λέγων περὶ θεοῦ, καὶ ἐπιφημίζει μὲν σκωπτηλῶς τῆς ἀλάλου καὶ κωφῆς καὶ τυφλῆς παρθένου τὴν φθοράν, αὐτὸς κατὰ τὴν αὐτοῦ βλασφημίαν πεφθαρμένος μᾶλλον, καὶ τὴν ἀγνωσίαν ὡς ἀπὸ γενετῆς τύφλωσιν κεκτημένος, λέγων μὲν περὶ θεοῦ, λόγοις δὲ ἀπεικάζων, λοιπὸν δὲ καὶ εἰς ἀναισχυντίαν τοὺς ὑπ᾽ αὐτοῦ μεμαθητευμένους παρασκευάσας.

Οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον. Βλασφημοῦσι μὲν οὖν προφητῶν
pag. 992. *ὀνόματα καὶ ἀποστόλων, ὅταν ἐλεγχόμενοι ὑπό τινων [30] ὑποπιάζωνται, εὐθὺς [31] ἀποτρέχοντες καὶ ἀποπηδῶντες καὶ λέγοντες, Τοῦτο ὁ ἀπόστολος ὡς ἄνθρωπος ἔφη, ἄλλοτε δὲ, Τί μοι φέρεις τὰ τῆς παλαιᾶς διαθήκης; Οὐκ ἔστι δὲ θαυμαστὸν κατὰ τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα ὅτι, Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ; Εἰ γοῦν αὐτὸν τὸν κύριον καὶ τὴν ἀληθινὴν αὐτοῦ δόξαν ἀρνοῦνται, πόσῳ γε μᾶλλον προφήτας [32] αὐτοῦ καὶ ἀποστόλους; Ἔτι δὲ εἰς περισσοτέραν μανίαν ἀρθέντες οἱ ἀπ᾽ αὐτοῦ μεμαθητευμένοι, καὶ ὁ τούτων διάδοχος Εὐνόμιός τις ψευδονύμως καλούμενος, ἔτι καὶ δεῦρο περιὼν τῷ βίῳ, μέγα [33] κακὸν τόλμημα· ἀναβαπτίζει γὰρ τοὺς ἤδη βαπτισθέντας, οὐ μόνον τοὺς ἀπὸ ὀρθοδόξων πρὸς αὐτὸν ἐρχομένους, καὶ αἱρέσεων, ἀλλὰ καὶ τοὺς ἀπ᾽ αὐτῶν*

24. ὅλος *vitium est edit. Petav. Colon. repet.*

25. ἀγνοεῖν *libri omnes.*

26. δι᾽ ὁρατικῶν *emendarunt Cornarius (qui vertit* per sensum visus) *et Petavius, postulante sententia.* διορατικῶν *librorum vulgata est scriptura.*

27. *Vulgo vitiose legitur* ἀντιπαρακατιθέναι.

28. *Hoc* τε *cancellis notavit Petavius.*

29. *Libri vulgo* πείθωσιν. *Pro* ἑαυτῶν *in cod. Rhedig. extat* αὐτῶν.

30. ὑποπιάζωνται *cod. Ien. et edit. princ.* ὑποπικίζωνται *cod. Rhedig.* ὑπωπιάζωνται *edit. Petavii.* ὑποπιέζονται *(sic) coniecit Petavius. Quid Cornarius*

ac tenebrarum vocabula pronuntiet, quae auditione didicerat, horum tamen figuram ac speciem minime cognoscit, nec cuiusmodi sit explicare potest, quod ab utero matris caecus prodierit, ac proinde singulorum qualitatem, discrimina, figurasve discernere nequeat. Quodlibet enim istorum nominum sensuum perceptioni experientiaeque consentaneam speciem exprimit, sed ea sermone declarari ei qui non illam oculis usurparit, neque tactu probari diiudicarive potest. Quare cum caeci illi de iisce coloribus disserentes, qui cum nigro candidum, viride cum caeruleo, tum purpureum, coccineum, ac ceteros inter se perite comparant, de cuiusque generis ac coloris qualitate a nobis interrogantur, nec istud eloqui, nec a nobis edoceri possunt, sed voce tenus sibiipsis persuadent, et auctoribus imponunt, ut illorum discrimen perfectissime callere videantur, tametsi nihil praeter nuda verba teneant earum rerum, quarum, quod eas minime comprehendere possint, summa in ignoratione versantur. Ad hunc modum ille de deo sermonem instituit, et corruptam nescio quam nobis, mutam, ac surdam, caecamque virginem per ludibrium obiicit, pro sua in divinum numen petulantia corruptus ipse, et ignorantia velut ab origine contracta caecitate laborans. Qui ita de deo disputat, ut de eius natura sermocinando coniicere ac divinare studeat. Postremo discipulos suos ad extremam impudentiam perduxit.

VI. Nihil enim est quo non illorum pertingat audacia. Prophetarum apostolorumque nomina contumeliis incessunt. Cumque urgeri rationum vi ac male haberi coeperint, effugiunt subinde, ac prosiliunt, et, Ista, inquiunt, apostolus, tanquam homo, dixit. Alias, Quid tu mihi vetus, aiunt, testamentum obiicis? Quod quidem minime mirum est, si dictum illud salvatoris consideretur: *Si* Matth. 20, 25.
patrem familias Beelzebub vocaverunt, quanto magis domesticos illius? Si dominum ipsum, ac verum eius decus, et gloriam abnegare non dubitant, quanto magis prophetas illius, et apostolos negabunt? Praeterea vero maiore quadam insania ac furore correpti Aëtii discipuli, cum horum successore, qui Eunomius falso nominatur, et ad haec tempora superest, aliud quiddam sceleratum ac nefarium committunt. Siquidem eos qui baptizati iam fuerint iterum baptizat Eunomius, non modo qui a catholicis, aut ab aliis haeresibus, sed eos

cogitaverit non satis assequor; vertit quum ab aliquibus redarguuntur ac castigantur. *Mihi rescribendum videtur* ὑποπικράζονται.

31. τρέχοντες *cod. Rhedig.* ὑποτρέχοντες *vitium est ed. Petav. Colon. repet.*

32. αὐτοῦ *ed. Petav.* αὑτοῦ *cod. Rhedig.* ἑαυτοῦ *cod. Ien. et edit. princ.*

33. *Rescribo* καὶ κακὸν, *praeeunte Cornario, qui vertit* qui adhuc hodie superest in vita magnum et temerarium flagitium. *Petavius volebat* κακῶν.

τῶν Ἀρειανῶν. Ἀναβαπτίζει δὲ αὐτοὺς εἰς ὄνομα θεοῦ ἀκτίστου, καὶ εἰς ὄνομα υἱοῦ κεκτισμένου, καὶ εἰς ὄνομα πνεύματος ἁγιαστικοῦ καὶ ὑπὸ τοῦ κεκτισμένου υἱοῦ κτισθέντος. Ἵνα δὲ τὸ πᾶν κυβείας καὶ θυμέλης καὶ σκηνῆς τὸ ἐργαστήριον αὐτῶν ὀφθείη, ὅτι [34] οὐκ ἔστι πίστις ἡ ἀπ' αὐτῶν καταγγελλομένη, ἀλλὰ, σχεδὸν εἰπεῖν, μίμων ἐργαστήριον, [35] διεβεβαιώσαντό τινες ὅτι κατὰ κεφαλῆς τοὺς ἀναβαπτιζομένους βαπτίζει, [36] τοὺς πόδας ἄνω καὶ τὴν κεφαλὴν κάτω, καὶ οὕτως [37] ἐνωμότως βιάζεται αὐτοὺς ὀμόσαι, μὴ ἀποπηδῆσαι τῆς ἀπ' αὐτοῦ μεμηχανημένης τοιαύτης αἱρέσεως. [38] Φασὶ δὲ τὸν αὐτὸν Ἀέτιον, μετὰ τὴν τελευτὴν Κωνσταντίου ὑπὸ Ἰουλιανοῦ τοῦ βασιλεύσαντος ἀνακληθέντα τῆς ἐξορίας, ἔτι ὄντα διάκονον τῆς αὐτοῦ αἱρέσεως, ὑπὸ τῆς αὐτοῦ αἱρέσεως ἐπισκόπου εἰς ἐπισκοπὴν προῆχθαι.

Ταῦτα δὲ εἰς ἡμᾶς ἐλθόντα Ἀετίου καὶ τῶν αὐτοῦ μαθητῶν, οἷς τισί τινες Ἀνομοίους ἐπέθεντο ὄνομα, διὰ τὸ ἔτι περισσότερον τῆς τοῦ Ἀρείου πεφρονηκέναι αὐτὸν αἱρέσεως δεινοτέρως. Ἅτινα κατὰ τὸ δυνατὸν λεπτομερῶς ἐν θεῷ διεξελθόντες, ὥσπερ πολύπουν σκολόπενδραν καὶ ἴουλον τὸ καλούμενον ἑρπετὸν τῷ τῆς ἀληθείας ποδὶ καταπατήσαντες, καὶ τῇ τοῦ μονογενοῦς ἀληθινῇ ὁμολογίᾳ συντρίψαντες, συνήθως θεῷ εὐχαριστοῦντες τὴν αὐτοῦ δύναμιν ἐπαγόμενοι εἰς βοή-
pag. 993. θειαν τῆς ἡμετέρας ἀσθενείας, ἐπὶ τὰς ἑξῆς ὑπολειφθείσας κατὰ τὴν δύναμιν ἡμῶν καὶ κατάληψιν ἡμῶν ἴωμεν, ὦ ἐπιπόθητοι, αὐτὸν ἐπικαλούμενοι, ὡς ἔφην, τὸν δεσπότην, συμπαρεῖναι ἡμῖν πρὸς τὴν ἐκείνων ὑπόδειξιν καὶ τὴν πρὸς αὐτοὺς ἀνατροπὴν, ἵνα ἐν τῇ αὐτοῦ δυνάμει δυνηθείημεν πληρῶσαι τὸ ἐπάγγελμα τῆς ἡμῶν σμικρότητος καὶ βραχύτητος.

* ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

34. οὐκ ἔστι *codd. mss. uterque.* οὐκέτι *editi libri.*

35. *Vocabula* ἐργαστήριον *inter et* διεβεβαιώσαντο *in edit. princ. asteriscus conspicitur.*

36. καὶ τοὺς *vitium est edit. Petav. Colon. repet.*

etiam qui ab ipsismet Arianis deficiunt. Repetiti porro illius baptismi ea formula est: In nomine dei increati, et in nomine filii creati, et in nomine spiritus sanctificantis, et a creato filio procreati. Atque ut tota illorum fraus, ac scenicae velut artes et fallaciae penitus appareant, et id omnino constet, non fidem esse quod isti praedicant, sed histrionum officinam, sunt qui narrent, quotquot ab iis denuo baptizantur, in caput demergi, pedibus in sublime porrectis, itaque iusiurandum adigi, nunquam se ab illius errore atque haeresi discessuros. Ferunt insuper Aëtium ipsum post Constantii obitum a Iuliano imperatore revocatum ab exilio, cum sectae suae diaconus esset, ab eiusdem suae episcopo ad episcopi dignitatem esse provectum.

Haec sunt quae de Aëtio Aëtiique discipulis investigare potuimus. Quos nonnulli Anomoeos, hoc est dissimiles nominant, quod Arianam haeresin uberiore quadam ac magis execranda dogmatum impietate superarunt. De quibus posteaquam singillatim pro viribus, divina opitulante gratia, disputavimus, ac velut multipedem scolopendram, quod insecti genus iulum vocant, veritatis pede proculcavimus, et unici dei filii vera confessione contrivimus, gratiis deo more nostro persolutis, eiusque ad imbecillitatis nostrae praesidium implorata virtute, ad reliquas haereses pro captu virium nostrarum intelligentiaeque transeamus. Ac domini inprimis opem, ut diximus, imploremus, ut is ad illas explicandas ac refutandas praesto nobis esse velit, quo illius viribus ac potestate freti quod tenuitas mediocritasque nostra suscepit ad exitum perducere possimus.

FINIS PRIMI TOMI TERTII LIBRI.

37. ἐνομότως *codd. mss. ed. et princ.*
38. φησὶ *codd. mss. et edit. princ.*
* *Codd. mss. subscriptio est* Τέλος τὰ κατὰ Ἀετίου τοῦ ἀνομοίου καλουμένου καὶ τῶν ὑπ᾽ αὐτοῦ Εὐνομιανῶν καλουμένων.

* ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΑΙ ΕΝ ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΟΜΩΙ ΤΟΥ ΑΥΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ, ΕΒΔΟΜΩΙ ΔΕ ΟΝΤΙ ΚΑΘ ΗΝ ΕΙΠΟΜΕΝ ΤΩΝ ΤΟΜΩΝ ΤΟΥ ΑΡΙΘΜΟΥ ΔΙΑΙΡΕΣΙΝ, ΟΣ ΕΣΤΙ ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ, ΚΑΙ ΤΕΛΟΣ ΤΗΣ ΠΡΑΓΜΑΤΕΙΑΣ ΠΑΣΗΣ, ΕΝ ΩΙ ΕΙΣΙΝ ΑΙΡΕΣΕΙΣ ΤΕΣΣΑΡΕΣ.

α'. [1] Διμοιρῖται, οἱ μὴ τελείαν τὴν [2] Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες. Ὧν τινες ὁμοούσιον τὸ σῶμα τῇ θεότητί [3] ποτε ἐτόλμησαν λέγειν· [4] τινὲς δέ ποτε ψυχὴν αὐτὸν εἰληφέναι ἠρνοῦντο, τινὲς δὲ διὰ τοῦ [5] λόγου τοῦ, Ὁ λόγος σὰρξ ἐγένετο, ἐπερειδόμενοι ἠρνοῦντο [6] τὸ ἀπὸ κτιστῆς σαρκὸς, τουτέστι [7] Μαρίας, τὸ κατὰ σάρκα αὐτὸν εἰληφέναι. Μόνον δὲ φιλονείκως ἔλεγον τὸν λόγον σάρκα γεγενῆσθαι, [8] εἰςύστερον δὲ, τί διανοούμενοι οὐκ οἶδα [9] εἰπεῖν, νοῦν αὐτόν φασι μὴ εἰληφέναι.

β'. Ἀντιδικομαριανῖται, οἱ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι λέγοντες.

γ'. [10] Κολλυριδιανοὶ, οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας ἐν ἡμέρᾳ τινὶ τοῦ ἔτους ἀποτεταγμένῃ [11] κολλουρίδα τινὰ προσφέροντες, οἷς ἐπεθέμεθα ὄνομα [12] Κολλυριδιανῶν.

pag. 994. *δ'. [13] Μασσαλιανοὶ, [14] ἑρμηνευόμενοι εὐχόμενοι. Συνάπτονται δὲ τούτοις καὶ τῶν ἀπὸ Ἑλλήνων ἐπιτετηδευμένων αἱρέσεων οὗτοι οἱ λεγόμενοι Εὐφημῖται, καὶ Μαρτυριανοὶ, καὶ Σατανιανοί.*

Αὕτη καὶ ἡ τοῦ ἑβδόμου τόμου ἀνακεφαλαίωσις, καὶ τέλος τῶν τριῶν βιβλίων· ὁμοῦ δὲ [15] αἱ πᾶσαι αἱρέσεις π'. Ἐν αὐτῷ δὲ τῷ τέ-

* *Recentior manus in cod. Ien. secundo inscripsit* Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐπιφανίου κατὰ τῶν αἱρέσεων τόμος δεύτερος τοῦ τρίτου βιβλίου.

1. Διμοιρῖται, οἱ καὶ Ἀπολιναρῖται (Ἀπολινάριοι *Io. Damasc.*), οἱ μὴ *Anacephal. et Io. Damasc.*

2. τοῦ Χριστοῦ *Anaceph. et Io. Damasc., qui plenior et hoc* παρουσίαν, ἤγουν ἐνανθρ.

3. ἐτόλμησαν εἰπεῖν ποτε *Io. Damasc. Diversa multo abit Anacephal., quam vide.*

4. τινὲς δὲ ποτὲ, ὅτι καὶ ψυχὴν ἀνειληφέναι, καὶ τοῦτο ἠρνοῦντο *Io. Damasc. Cf. etiam Anacephal.*

5. ῥητοῦ ὁ λόγος *Ioann. Damasc.*

6. τὸ *abest ab Ioanne Damasc.*

7. ἀπὸ Μαρίας σάρκα αὐτὸν ἀνειλη-

INDICULUS EORUM QUAE IN LIBRI III. TOMO II. CONTINENTUR, QUI EST EX INSTITUTA HACTENUS TOMORUM DISTRIBUTIONE VII., IDEMQUE TOTIUS OPERIS ULTIMUS, IN QUO HAERESES SUNT IV.

I. Dimoeritae, qui perfectam Christi incarnationem minime confitentur; quorum alii consubstantiale divinitati corpus asserere ausi sunt, alii vero assumptam esse ab eodem animam negarunt, quidam his evangelii verbis, *Verbum caro factum est,* freti ex creata carne, hoc est Maria, carnem ab illo susceptam esse voluerunt, sed solum verbum carnem esse factum pertinaciter defenderunt, postea vero, quam ob caussam nescio, mentem illum non assumpsisse dixerunt.

II. Antidicomarianitae beatam semperque virginem Mariam post editum salvatorem cum Iosepho consuevisse putant.

III. Collyridiani, qui in eiusdem Mariae nomen stato anni die collyridem offerunt; quos idcirco Collyridianos nominavimus.

IV. Massaliani, quos interpretari possumus *Precantes.* His adiunguntur e gentilium sectis, quos Euphemitas, et Martyrianos, et Satanianos appellant.

Summa haec est tomi septimi, ac trium librorum finis. Colliguntur haereses LXXX. Sub finem tertii libri septimive tomi

φέναι *Ioann. Damasc.*

8. ὕστερον δὲ διανοούμενοι τί οὐκ οἶδα *Ioann. Damasc.*

9. *Verba* εἰπεῖν, νοῦν αὐτόν φασι μὴ *omissa sunt in edit. Petav. Colon. repet.*

10. Κολλουριδιανοὶ *cod. Paris. teste Petavio.*

11. κολλυρίδα *Ioann. Damasc.* κολλυρίδας *Anaceph.*

12. Κολλουριδιανῶν *codd. mss. uterque et edit. princ.* Κολλυριδιανῶν *ed. Petav.* Κολλυριδιανοῖς *Ioann. Damasc.*

13. Πασσαλιανοὶ *codd. mss. uterque, et edit. princ.*

14. οἱ ἑρμηνευόμενοι εὐχῆται *Ioann. Damasc.* ἑρμηνευόμενοι οἱ εὐχόμενοι *Anaceph.*

15. πᾶσαι αἱ *Anaceph.*

λει τοῦ τρίτου βιβλίου, ἑβδόμου δὲ τόμου, ἐν ὑστέρῳ ἡ πίστις τῆς καθολικῆς ἐκκλησίας, καὶ ἀπολογία ὑπὲρ ἀληθείας, καὶ κήρυγμα τοῦ εὐαγγελίου Χριστοῦ, καὶ χαρακτὴρ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπ' αἰῶνος οὔσης, κατὰ δὲ διαδοχὴν χρόνων φανερώτατα ἐν τῇ τοῦ Χριστοῦ ἐνσάρκῳ παρουσίᾳ [16] ἀποκαλυφθείσης.

16. *Reposui ex Anacephal.* ἀποκαλυφθείσης *pro* ἀποκαλυφθεῖσα, *quod vulgo legitur.*

Formula fidei, quam ecclesia catholica profitetur, subiecta est, ac veritatis defensio, et evangelii Christi praedicatio, ac denique catholicae apostolicaeque ecclesiae forma, quae cum ab aeterno fuerit, successione temporum post incarnationem Christi evidentissime patefacta est.

---

pag. 995.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΠΙΦΑΝΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

ΚΑΤΑ ΔΙΜΟΙΡΙΤΩΝ,

τῶν ὑπό τινων κληθέντων, μὴ τελείαν τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογούντων, πεντηκοστὴ ἑβδόμη, *ἡ καὶ ἑπτακοστὴ ἑβδόμη.

Κεφ. α'. *Καθεξῆς δὲ τούτοις πάλιν ἐπίπονος ἡμῖν ἐν προλήψει τῷ βίῳ ἐῤῥύη τις ἀλλοτρία τῆς πίστεως λέξις, ἐκ ποίας αἰτίας οὐκ ἔχω λέγειν, ἀλλ' ἵνα μὴ ἐάσῃ ὁ ἀεὶ ταράσσων τὴν ἀνθρωπείαν φύσιν, καὶ πολεμῶν, ὡς εἰπεῖν, διάβολος, ἐμβάλλων αὐτοῦ τὰ πικρὰ δηλητήρια ἐν τοῖς θαυμασίοις ἐδέσμασι, καὶ ὡς ἐν μέλιτι παραβάλλων τὴν πικρίαν οὕτω διά τινων τῶν ἐπ' ἄκρον βίου θαυμαζομένων, καὶ ἐν ἐπαίνοις ὀρθοδοξίας ἀεὶ καταγγελλομένων. Καὶ γάρ τοῦτό ἐστι τὸ ἔργον αὐτοῦ, τοῦ φθονήσαντος ἀπαρχῆς τῷ πατρὶ ἡμῶν Ἀδὰμ, καὶ πᾶσιν ἀνθρώποις ἐχθραίνοντος. Ὡς καί [1] πού τινων σοφῶν εἴρηται, ὅτι φθόνος ἀεὶ* pag. 996. *ταῖς μεγάλαις εὐπραγίαις ἀντίπαλος. Οὕτω καὶ διὰ τῶν μειζόνων προσώπων ἔβαλέ τινας προφάσεις, ἵνα ἡμᾶς καὶ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἄλυπον μὴ ἐάσῃ, ἀλλὰ ἀεὶ θορυβουμένην τε καὶ πολεμουμένην. Ἔδοξε γάρ τισι καὶ τοῖς ἐξ ἡμῶν ὁρμωμένοις, καὶ ἐν μεγάλῃ διαθέσει ὑπάρχουσιν, ἐν ἐπαίνοις δὲ ἀεὶ παρ' ἡμῖν καὶ παρὰ πᾶσιν ὀρθοδόξοις ἐκθειαζομένοις, παρεκβάλλειν τὸν νοῦν ἀπὸ τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας, καὶ λέγειν ὅτι σάρκα ἔλαβεν ὁ Χριστὸς ἐλθὼν ὁ κύριος ἡμῶν, καὶ ψυχὴν, νοῦν δὲ οὐκ ἔλαβε, τουτέστι τέλειον ἄνθρωπον· τί ἐκ τούτου τῷ βίῳ συνεισενεγκάμενοι ἀγνοῶ λέγειν, ἢ παρὰ τίνων τῶν πρὸ αὐτῶν μεμαθηκότες, ἢ τί ὠφέλιμον ἐκ τούτου κερδήσαντες, ἢ χαρισάμενοι ἡμῖν τε καὶ τοῖς ἀκούουσι καὶ τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, οὐδὲν πλὴν ἢ ταραχὴν καὶ διαίρεσιν εἰς ἡμᾶς*

* *Reponendum fortasse* ἢ *ex cod. Rhedig.*

Cap. I. — 1. ὑπό τινων *corrigit Petavius. Malim* που ὑπό τινων, *retenta*

SANCTI

EPIPHANII

CONTRA HAERESES

LIBRI III. TOMUS II.

CONTRA DIMOERITAS, ut nonnulli vocant, qui perfectam Christi incarnationem abnegant, quae est haeresis LVII., sive LXXVII.

Post superiores illos nova quaedam, ac difficilis, et a recta fide abhorrens haeresis ex anticipata quorumdam opinione in humanum genus prodiit, neque caussam cur ita contigerit satis intelligo; nisi quod id unum humanae naturae perturbator et hostis diabolus studet, nunquam ut ab infestandis hominibus cesset; qui amarissimo suo veneno exquisitos cibos inficit, ac melli fel admiscet, idque potissimum illorum opera molitur qui admirabili vitae instituto celebrantur, et propter sincerae fidei studium ardoremque commendantur. Hoc enim unicum illius opus est qui et adversus parentem nostrum Adamum invidia primum, et adversus humanum omne genus odiis efferbuit. Quam ad sententiam praeclare sapiens quidam dixit, *Invidiam magnis perpetuo successibus adversari.* Sic igitur per magnos quosque viros errores introduxit, uti nos atque ecclesia dei perpetuis molestiis ac tumultibus bellisque conflictemur. Etenim nonnullis nostrorum placuit, et quidem primariis, atque a nobis et ab omnibus orthodoxis divinis propemodum honoribus affectis, mentem ab Christi incarnatione dimovere, eundemque carnem cum anima duntaxat suscepisse, mentem vero nequaquam, asserere, hoc est non perfectum hominem induisse. Neque video quid hac opinione humano generi contulerint, aut a quibusnam istiusmodi dogma didicerint, quidve aut ex ea re emolumenti ipsi ceperint, aut nobis ipsis atque auditoribus omnibus, adeoque sanctae dei ecclesiae fructus Cap. I.

particula indefinita. Tetigit haec verba etiam Gatakerus Opp. Crit. p. 812.

ἐργασάμενοι, καὶ λύπην, καὶ ζημίαν τῆς ἀπ' ἀλλήλων γλυκύτητος καὶ ἀγάπης. Τὴν γὰρ τῶν θείων γραφῶν ἀκολουθίαν καὶ εὐθύτητα καὶ ἀκακίας ὁμολογίαν, προφητικήν τε καὶ εὐαγγελικὴν καὶ ἀποστολικὴν πίστιν παρέντες σοφιστικὴν ἡμῖν λέξιν καὶ μυθώδη παρεισήγαγον, μεθ' ἧς καὶ πολλῶν [2] δεινῶν ἀκολουθίαν, πληροῦντες ἐν ἑαυτοῖς τὸ εἰρημένον ὅτι, Ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προσέχοντες μύθοις καὶ κενοφωνίαις.

Κεφ. β'. Ὁ πρεσβύτης καὶ σεμνοπρεπὴς, ὁ ἀεὶ ἡμῖν ἀγαπητὸς, καὶ τῷ μακαρίτῃ πάπᾳ Ἀθανασίῳ, καὶ πᾶσιν ὀρθοδόξοις, Ἀπολινάριος ὁ ἀπὸ Λαοδικείας, οὗτος ἦν ὁ ἐν ἀρχῇ τοῦτο τὸ ῥῆμα ἐπινοήσας τε καὶ προαγόμενος. Καὶ τὰ πρῶτα μὲν ἐνηχούμενοι ἀπό τινων τῶν ὑπ' αὐτοῦ μεμαθητευμένων ἠπιστοῦμεν, εἰ ἄρα ὁ ἀνὴρ τοιοῦτος τυγχάνων τοῦτο παρεισήγαγε τῷ βίῳ τὸ ῥῆμα, ἔτι ἐν προσδοκίᾳ ἐλπίδος μακροθυμοῦντες, ἕως τἀκριβὲς ἐπιγνῶμεν. Ἐλέγομεν γὰρ τοὺς παῖδας τοὺς [1] ἀπ' αὐτοῦ πρὸς ἡμᾶς ἀφικομένους μὴ νοοῦντας τὰ βαθέως ὑπὸ τοῦ τοιούτου λογίου ἀνδρὸς, καὶ συνετοῦ, καὶ διδασκάλου, ἀφ' ἑαυτῶν ταῦτα πλάττειν, μὴ ἀπ' αὐτοῦ μεμαθηκότας. Πολλὰ γὰρ ἦν ἃ ἐν αὐτοῖς [2] τοῖς πρὸς ἡμᾶς ἐρχομένοις ἠμφιβάλλετο. Τινὲς μὲν γὰρ αὐτῶν ἐτόλμησαν λέγειν ἄνωθεν τὸν Χριστὸν τὸ σῶμα κατενηνοχέναι. Ἐπιμένουσα δὲ ἐν τῇ τῶν ἀνθρώπων ἐννοίᾳ ἡ ξενολογία ἐπὶ τὴν δει-
pag. 997. νότητα προκοπὴν εἰργάζετο. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ τὸ ψυχὴν εἰληφέναι τὸν Χριστὸν ἠρνήσαντο. Τινὲς δὲ καὶ ὁμοούσιον τὸ σῶμα τοῦ Χριστοῦ τῇ θεότητι λέγειν ἐτόλμησαν, καὶ τὰ ἀνωτερικὰ μέρη εἰς πολλὴν ταραχὴν κατέστησαν, δι' οὓς ἀνάγκη γέγονε σύνοδον συγκροτηθῆναι καὶ ἀναθεματίσαι τοὺς τοιούτους. Ἀλλὰ καὶ ὑπομνήματα πέπρακται, ὧν ἀντίγραφα τῷ μακαρίτῃ πάπᾳ Ἀθανασίῳ ἀπεστάλη, δι' ἣν αἰτίαν τῶν ὑπομνημάτων καὶ αὐτὸς ὁ μακαρίτης ἠναγκάσθη γράψαι ἐπιστολὴν κατὰ τῶν τὰ τοιαῦτα λεγόντων, μετὰ ἀπειλητικῶν λόγων ἐπιπεμψάμενος τῷ αἰδεσιμωτάτῳ ἐπισκόπῳ Ἐπικτήτῳ, ὅτι κατηξίωσε περὶ τούτου κἂν ἀπόκρισιν τοῖς ταράξασι δοῦναι. Σαφῶς δὲ περὶ τῆς πίστεως [3] γράψας ὁ αὐτὸς μακαρίτης ἐν ταὐτῷ, καὶ τοὺς αὐτὰ φάσκοντας καὶ ταράττοντας ἀπεκήρυξεν. Ἧς ἐπιστολῆς τὸ ἀντίγραφον ἐνταῦθα παραθέσθαι διόλου ἀναγκαῖον ἡγησάμην. Καί ἐστι τόδε.

2. δεινῶς *mendose est in ed. Petav. Colon. repet.*

Cap. II. — 1. *Correxi* ἀπ' αὐτοῦ. *Libri vulgo* ὑπ' αὐτοῦ. *Cornarius vertit* qui ab ipso ad nos venerant.

2. *Restitui hoc* τοῖς, *quod in edit. Petav. non extat, ex utroque codd. mss. et edit. princ.*

attulerint, nisi ut tumultus ac simultates et dolores inter nos excitarint, mutuaeque concordiae caritatisque suavitatem extorserint. Quippe divinarum scripturarum consentientem ac rectum ordinem, et innocentiae professionem, ac propheticam, evangelicam et apostolicam fidem negligentes sophisticas nobis argutias ac fabulas obtruserunt, quibus infinitas nobis calamitates attulerunt, atque in seipsis apostoli dictum illud impleverunt: *Deficient quidam a sana doctrina, attendentes fabulis et inanibus nugis.* 2. Tim. 4, 3.

Cap. II. Egregius ille ac venerabilis senex, quem nos et beatae memoriae papa Athanasius, imo vero catholici omnes unice dileximus, Apollinarius Laodicenus huius dogmatis auctor ac propagator extitit. Ac principio quidem cum id nobis nonnulli ex eius discipulis narrarent, fidem non habebamus, neque verisimile putabamus a tanto viro errorem eiusmodi profectum. Itaque nonnulla adhuc meliorum spe patienter expectavimus, donec rem omnem accurate cognovimus. Hoc enim dicebamus, discipulos illius qui ad nos ventitabant, cum ea minime caperent quae ab erudito illo ac sapienti viro praeceptore suo abstrusa ac recondita proferrentur, eiusmodi quaedam finxisse sibi quae ab illo nunquam didicerant. Praesertim cum multa inter illos qui nos adibant opinionum varietas esset. Quippe nonnulli eo progressi sunt ut Christum corpus e coelo detulisse dicerent, quae absurda peregrinaque comminiscendi licentia hominum semel animis incidens ad graviora acerbioraque processit. Alii vero Christum animam assumpsisse negaverunt. Quidam eiusdem Christi corpus divinitati consubstantiale non dubitarunt asserere. Quibus opinionum portentis orientem magnopere perturbarunt; propter quos conflari synodum necesse fuit, eiusdemque decreto condemnari. Quinetiam commentarii quidem praescripti sunt, quorum exempla ad B. M. papam Athanasium missa sunt; quibus illis commentariis adductus est ut adversus dogmatum illorum assertores minaces literas ad venerabilem episcopum Epictetum scriberet, a quo rogatus fuerat ut tempestatis illius ac tumultus auctoribus responderet. Quamobrem in eadem epistola de fide perspicue accurateque beatus ille disseruit; et illos novorum dogmatum propagatores perturbatoresque proscripsit. Cuius epistolae integrum exemplum hic adscribere necessarium esse duxi. Est autem eiusmodi.

3. *γράφας mendose exaratum est in edit. Petav. Colon.*

* ΑΘΑΝΑΣΙΟΣ ΕΠΙΣΚΟΠΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΠΡΟΣ ΕΠΙΚΤΗΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ** ΚΟΡΙΝΘΙΩΝ.

Κεφ. γ'. Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάντων, ὅσοιδηποτοῦν εἰσιν αἱρετικοὶ, πεπαῦσθαι ἐκ τῆς γενομένης ἐν Νικαίᾳ συνόδου. Ἡ γὰρ ἐν αὐτῇ παρὰ τῶν πατέρων κατὰ τὰς ἁγίας γραφὰς ὁμολογηθεῖσα πίστις αὐτάρκης ἐστὶ πρὸς ἀνατροπὴν μὲν πάσης ἀσεβείας, σύστασιν δὲ τῆς ἐν Χριστῷ εὐσεβοῦς πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν διαφόρων γενομένων συνόδων, ἔν τε τῇ Γαλλίᾳ, καὶ Σπανίᾳ, καὶ τῇ μεγάλῃ Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν [1] ἔτι κρυπτομένους καὶ φρονοῦντας τὰ Ἀρείου, Αὐξέντιον δὴ λέγω τὸν ἐν Μεδιολάνῳ, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, [2] καὶ Γάϊον ἀπὸ τῆς [3] Παννονίας, παμψηφὶ, ὡς ἀπὸ ἑνὸς πνεύματος κινούμενοι, ἀνεθεμάτισαν· ἔγραψαν [4] δὲ πανταχοῦ, διὰ τὸ τοὺς τοιούτους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων, μηδεμίαν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ μόνον τὴν ἐν Νικαίᾳ γενομένην, τρόπαιον [5] μὲν οὖσαν πάσης αἱρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς, δι' ἣν μάλιστα καὶ ἡ σύνοδος τότε συνήχθη. Πῶς τοίνυν ἔτι μετὰ τοσαῦτα ἀμφισβητεῖν [6] τινες ἢ ζητεῖν ἐπιχειροῦσιν;
pag. 998. Εἰ μὲν οὖν ἐκ τῶν Ἀρειανῶν εἰσιν, οὐδὲν θαυμαστὸν εἰ τὰ καθ' [7] ἑαυτῶν γραφέντα διαβάλλουσιν· [8] ὥσπερ [9] καὶ Ἕλληνες [10] ἀκούουσι, Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, [11] ἔργον χειρῶν ἀνθρώπων, μωρίαν ἡγοῦνται τὴν περὶ τοῦ [12] ἁγίου πνεύματος διδασκαλίαν. Εἰ δὲ τῶν δοκούντων ὀρθῶς πιστεύειν καὶ ἀγαπᾶν τὰ δηλωθέντα παρὰ τῶν [13] πατέρων εἰσὶν, οἱ διὰ τοῦ ζητεῖν ἀνασκευάζειν ἐθέλοντες, οὐδὲν ἕτερον ποιοῦσιν ἢ κατὰ τὸ γεγραμμένον, Τὸν μὲν πλησίον ποτίζουσιν ἀνατροπὴν θολερὰν, λογομαχοῦσι δὲ [14] ἐν οὐδενὶ χρησίμῳ, ἢ ἐπὶ καταστροφῇ τῶν ἀκεραίων.

Κεφ. δ'. Ταῦτα δὲ οὕτως γράφω ἐντυχὼν τοῖς παρὰ τῆς σῆς θεοσεβείας [1] πραχθεῖσιν ὑπομνήμασιν, ἃ μηδὲ γραφῆναι ὤφελον, ἵνα μηδὲ μνήμη τις τούτων τοῖς μετὰ ταῦτα γένηται. Τίς γὰρ ἤκουσε τοιαῦτά

* *Extat haec epistula Athanasii in Opp. eius a Benedictinis editorum (Patav. 1777.) tom. I. pag. 720 sqq., cuius recensionis scripturas discrepantes, omissis levioribus, hic annotabo et siglo B. significabo. In Opp. Athanasii edit. Benedict. inscriptum legitur* Πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορίνθου, κατὰ τῶν αἱρετικῶν ἐπιστολή. ‖ Κυρίῳ μου, ἀγαπητῷ ἀδελφῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ἐπικτήτῳ Ἀθανάσιος ἐν κυρίῳ χαίρειν.

* * κοριν^θ/ *cod. Ien.* κορινθίοις *cod. Rhedig. — In marg. cod. Ien. manus antiqua (eadem quae ipsum conscripsit librum) rubro appinxit* ꟗα ῥώμς., *quae vocabula quomodo constituenda interpretandaque sint mihi non satis liquet.*

Cap. III. — 1. ἔτι κρυπτομένους *B.* ἐπικρυπτομένους *vulgata apud Epiphanium scriptura est.*

2. καὶ *particulam revocavi ex vocabulo sequente a quo absorpta erat. Habet B., sed abest vulgo ab Epiphanii libris.*

ATHANASIUS EPISCOPUS ALEXANDRIAE EPICTETO CORINTHIORUM EPISCOPO.

Equidem arbitrabar haereticorum, quotquot unquam fuerunt, Cap. III. omnium vanam absurdamque loquacitatem ab Nicaena synodo penitus esse compressam. Quae enim illic a patribus ex sacrarum auctoritate literarum proposita fidei formula est, cum ad omne genus impietatis evertendum, tum ad religiosam in Christo fidem affirmandam sufficere videtur. Quamobrem cum per Galliam, Hispaniam Romaeque adeo frequentia hoc tempore concilia celebrata sint, quotquot in illis congregati sunt, occultos Arii fautores, Auxentium dico Mediolanensem, et Ursatium, ac Valentem, Caium quoque Pannonium, velut unius afflatu spiritus, communi suffragio condemnarunt, et encyclicas literas scripserunt, quibus quod isti synodorum falsa nomina iactarent, ullam in ecclesia catholica synodum praeter Nicaenam nominari vetuerunt; quae cum de ceteris omnibus, tum de Ariana potissimum haeresi triumphavit, cuius unius gratia potissimum est collecta. Post ea vero tot tantaque, quid est quod nonnulli controversiam facere ac quaestiones agitare conantur? Qui si ex Ariana factione sunt, nihil mirum est illos quae contra se sunt scripta criminari. Quemadmodum et gentiles cum e psalmis istud audiunt, *Simulachra gentium argentum, et aurum, opus manuum hominum*, Psalm. 134, 15. illam spiritus sancti doctrinam meram esse stultitiam arbitrantur. Sin ex eorum numero sunt qui sana ac sincera fide praediti videntur, et in iis quae a patribus decreta sunt acquiescere, ac nihilominus suis illis quaestionibus evertere omnia conantur, nihil aliud efficiunt nisi quod scriptum est, *Proximo quidem turbidam eversionem propinant*, Abac. 2, 15. *et otiosas verborum contentiones movent*, 1. Tim. 6, 4. quae ad aliud nihil quam ad rudiorum perniciem atque exitium pertinent.

Haec idcirco scribo quod commentaria quaedam legi a pietate Cap. IV. tua nobis oblata. Quae utinam scripta nunquam fuissent! ne vel tenuissima ad posteros illorum memoria perveniret. Quis enim haec

3. πανονίας *codd. mss. et edit. princ., et alii apud B. libri.*
4. τε *B.*
5. οὖσαν πάσης μὲν *B.*
6. ἢ ζητεῖν τινες *B.*
7. αὐτῶν *B.*
8. ὥςπερ Ἕλληνες ἀκούοντες *B.*
9. καὶ *om. cod. Rhedig.*
10. *Scribendum, ni fallor,* εἰ ἀκούουσι.
11. ἔργα *B.*
12. θείου σταυροῦ διδασκαλίαν *B., omnibus libris consentientibus.*
13. πατέρων, εἰσὶν οἱ *B.*
14. ἐπ' οὐδενὶ *B.*

Cap. IV. — 1. πραχθεῖσιν *codd. mss. et ed. princ. Recte, si* πράσσειν *interpretaris* exigere, postulare. *Ineptiebat enim Cornarius convertens* cum adeptus sim commentarios a pietate tua factos. *Petavius scripsit* προςαχθεῖσιν, *ut habet etiam B.*

[2]ποτε; τίς δὲ ὁ διδάξας, ἢ μαθών; Ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται [3]λόγος κυρίου, καὶ νόμος θεοῦ ἐξ Ἱερουσαλήμ. Ταῦτα δὲ πόθεν ἐξῆλθε; ποῖος ᾅδης ἐξερεύξατο, ὁμοούσιον εἰπεῖν [4]ἐκ Μαρίας σῶμα τῇ τοῦ λόγου θεότητι; ἢ ὅτι ὁ λόγος εἰς σάρκα καὶ ὀστᾶ καὶ τρίχας καὶ ὅλον σῶμα μεταβέβληται, καὶ ἠλλάγη τῆς ἰδίας φύσεως; [5]Τίς [6]δὲ ὅλως ἤκουσε παρὰ Χριστιανῶν ὅτι θέσει, καὶ οὐ φύσει σῶμα πεφόρηκεν ὁ [7]υἱὸς, ἢ τίς τοσοῦτον ἠσέβησεν ὥςτε εἰπεῖν ἅμα καὶ φρονεῖν ὅτι [8]ἡ θεότης [9]αὐτοῦ ἡ ὁμοούσιος τῷ πατρὶ [10]αὐτὴ περιετμήθη, καὶ ἀτελὴς ἐκ τελείου γέγονε, [11]καὶ τὸ ἐν τῷ ξύλῳ καθηλούμενον οὐκ ἦν τὸ σῶμα, ἀλλὰ αὐτὴ ἡ δημιουργὸς οὐσία τῆς [12]φύσεως; Τίς δὲ ἀκούων ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς [13]αὐτοῦ οὐσίας μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ λόγος, εἴποι ἂν Χριστιανὸν τὸν λέγοντα ταῦτα; τίς δὲ τὴν ἀθέμιτον ταύτην ἐπενόησεν ἀσέβειαν, ὥςτε κἂν εἰς ἐνθύμησιν ἐλθεῖν καὶ εἰπεῖν ὅτι ὁ λέγων ἐκ Μαρίας εἶναι τὸ κυριακὸν σῶμα οὐκέτι τριάδα, ἀλλὰ τετράδα ἐν τῇ θεότητι φρονεῖ; ὡς διὰ τοῦτο τοὺς οὕτω διακειμένους τῆς οὐσίας τῆς τριάδος λέγειν [14]τὴν σάρκα ἣν ἐνεδύσατο ἐκ Μαρίας ὁ σωτήρ. Πόθεν δὲ πάλιν ἠρεύξαντο τινες ἴσην ἀσέβειαν τοῖς προειρημένοις, ὥςτε εἰπεῖν μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ λόγου θεότητος, ἀλλὰ συναΐδιον αὐτῷ διαπαντὸς γεpag. 999. γενῆσθαι, ἐπειδὴ ἐκ [15]τῆς σοφίας συνέστη; πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ, εἰ ὁ ἐκ Μαρίας προελθὼν κύριος, υἱὸς μὲν τῇ οὐσίᾳ καὶ τῇ φύσει τοῦ θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματος Δαβίδ ἐστι, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας; Τίνες [16]ἄρα οὕτω τολμηροὶ γεγόνασιν ὥςτε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα καὶ ἐσταυρωμένον μὴ εἶναι κύριον καὶ σωτῆρα καὶ θεὸν [17]καὶ υἱὸν τοῦ πατρός; ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον, ὡς ἐπὶ ἕνα τῶν προφητῶν, ἐληλυθέναι τὸν λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ [18]ἄλλον τὸν τοῦ θεοῦ υἱὸν, τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων υἱὸν ὄντα τοῦ πατρός; ἢ πῶς [19]Χριστιανοὶ εἶναι οἱ λέγοντες ἄλλον [20]τὸν θεὸν εἶναι, καὶ ἄλλον εἶναι τὸν τοῦ θεοῦ λόγον;

Κεφ. ε'. Ταῦτα ἦν ἐν τοῖς ὑπομνήμασιν [1]διαφόρως μὲν εἰρημένα, μίαν δὲ

2. πώποτε *B.*
3. *Rescribendum fortasse* νόμος κυρίου, καὶ λόγος θεοῦ, *id quod iam suspicatus erat Cotelerius Monum. Vet. Eccles. tom. III, p.* 609, *uti habet etiam B.*
4. τὸ ἐκ *B.*
5. Τίς δὲ ἤκουσεν ἐν ἐκκλησίᾳ, ἢ ὅλως παρὰ Χρ. *B.*
6. δὲ *omiss. in ed. Petav. Colon. repet.*
7. κύριος *B.*
8. ἡ *omiss. in ed. Petav. Colon. repet.*
9. αὐτὴ *B.*
10. αὐτὴ *om. B.*
11. καὶ ὅτι τὸ ἐν ξύλῳ *B.*

unquam audiit? quis docuit, didicitve! *Nam e Sion egreditur verbum domini, et lex dei ex Hierusalem.* At haec unde prodierunt? Quinam inferi illud eructarunt, consubstantiale divinitati verbi corpus illud esse quod a Maria genitum est? aut verbum ipsum in carnem, ossa, capillos, ac totum denique corpus esse conversum, et a suapte natura mutatum? Quis omnino de Christianis audiit filium dei specie ac fictione sola corpus, non natura gessisse? Quis tam impius fuit ut ipsammet eiusdem divinitatem circumcisam esse atque imperfectam e perfecta redditam fuisse sentiret ac diceret? Item illud ipsum, quod in ligno suffixum est, non corpus extitisse, sed substantiam ipsam naturae totius opificem? Quis cum istud audiat, non e Maria, sed ex propria substantia dei verbum obnoxium passioni sibi corpus effinxisse, Christianum qui haec dixerit arbitretur? Quis execrandae illius impietatis auctor est, ut eiusmodi quaedam animo concipere aut eloqui minime formidaret? eum, qui dominicum e Maria corpus esse natum asserat, non trinitatem, sed quaternitatem divinitati tribuere? Adeo ut qui ita sentiunt carnem illam, quam salvator e Maria virgine suscepit, ex ipsa substantia trinitatis esse fateantur. Iam vero undenam parem huic ac germanam impietatem evomere alii quidam in animum induxerunt, uti corpus ipsum non divinitate verbi recentius, sed coaeternum, ac perpetuo cum illo coniunctum extitisse definiant, quandoquidem ab ipsa sapientia constitutum est? Potuitne Christianis ab hominibus in dubium vocari, utrumnam dominus noster de Maria virgine natus substantia naturaque dei filius extiterit, secundum carnem vero e Davidis stirpe, ac sacrosanctae virginis carne susceptus? Quinam porro tanta temeritate et audacia fuerunt, ut Christum illum assererent qui in carne passus, et in crucem actus est, non esse dominum ac salvatorem, et deum, patrisque filium? Quonam pacto Christianos appellari se volunt qui in sanctum hominem perinde ut in aliquem de prophetarum numero delapsum esse verbum, non ipsummet hominem factum esse profitentur, cum ex Maria corpus induisset, sed alterum esse Christum, alterum dei filium, qui ante Mariam et ante saecula omnia filius ex patre prodierit? An vero Christiani esse possunt qui alium esse deum, aliud et ab illo diversum dei verbum praedicant?

Es. 2, 3.

Haec in illis commentariis continebantur pronuntiata diverse, Cap. V.

12. σοφίας *B.*
13. ἑαυτοῦ *B.*
14. εἶναι τὴν *B.*
15. τῆς οὐσίας τῆς σοφίας *B.*
16. δὲ ἄρα *B.*
17. καὶ *non habet cod. Rhedig.*
18. ἕτερον *B.*
19. εἶναι Χριστιανοὶ δύνανται οἱ *B.*
20. εἶναι τὸν υἱὸν, καὶ ἄλλον τὸν τοῦ ϑ. λ. *B.*

Cap. V. — 1. ἀδιαφόρως *codd. mss. uterque et ed. princ.*

τὴν διάνοιαν καὶ τὴν αὐτὴν ἔχοντα πρὸς ἀσέβειαν [2] βλέπουσαν. Διὰ ταῦτα διεκρίνοντο καὶ διεμάχοντο πρὸς ἀλλήλους οἱ αὐχοῦντες ἐπὶ τῇ ὁμολογίᾳ τῶν πατέρων [3] τῶν ἐν Νικαίᾳ γενομένῃ. Ἐγὼ δὲ τὴν σὴν ἐθαύμασα θεοσέβειαν ἀνασχομένην, καὶ ὅτι μὴ τούτους [4] μὲν ἔπαυσε ταῦτα λέγοντας, τὴν δὲ εὐσεβῆ πίστιν παρέθηκεν αὐτοῖς, ἵνα ἢ ἀκούσαντες ἠρεμήσωσιν, ἢ ἀντιλέγοντες ὡς αἱρετικοὶ [5] ὀνομασθῶσι. Τὰ γὰρ [6] προειρημένα οὔτε λεκτὰ, οὔτε ἀκουστὰ παρὰ Χριστιανοῖς, ἀλλὰ ἀλλότρια κατὰ πάντα τρόπον τῆς ἀποστολικῆς διδασκαλίας [7] ἐστί. Διὰ τοῦτο γοῦν κἀγὼ τὰ παρ' ἐκείνων, ὡς [8] εἴρηται, γυμνῶς πεποίηκα ἐγγραφῆναι τῇ ἐπιστολῇ, ἵνα καὶ μόνον ὁ ἀκούων θεωρῇ τὴν ἐν αὐτοῖς αἰσχύνην καὶ [9] ἀσέβειαν. Καὶ εἰ καὶ ἔδει διὰ πλειόνων κατηγορεῖν καὶ διελέγχειν τὴν [10] τῶν ταῦτα διανοηθέντων αἰσχύνην, ἀλλὰ [11] καὶ [12] καλὸν εἶναι ἕως τούτων τὴν ἐπιστολὴν, καὶ μηδὲν πλέον γράφειν. Τὰ γὰρ οὕτως φανερῶς δεικνύμενα φαῦλα γυμνάζειν [13] ἐπιπλέον καὶ περιεργάζεσθαι οὐ δεῖ, ἵνα μὴ τοῖς φιλονεικοῦσιν ὡς ἀμφίβολα νομισθῇ. [14] Τοῦτο μόνον ἀποκρίνασθαι πρὸς τὰ τοιαῦτα καὶ
pag. 1000. εἰπεῖν ἀρκεῖ, ὅτι οὐκ ἔστι ταῦτα τῆς καθολικῆς ἐκκλησίας, οὐδὲ ταῦτα οἱ πατέρες ἐφρόνησαν. Ἵνα δὲ μὴ ἐκ τῆς τέλεον σιωπῆς πρόφασιν [15] ἀναίσχυντον ἑαυτοῖς οἱ τῶν κακῶν ἐφευρεταὶ πορίσωνται, καλὸν ἐκ τῶν θείων γραφῶν [16] ὀλίγων μνημονεῦσαι. Τάχα γὰρ κἂν οὕτως αἰδεσθέντες παύσωνται ἀπὸ τῶν ῥυπαρῶν τούτων ἐπινοιῶν.

Κεφ. ς'. Πόθεν [1] ὑμῖν ἐπῆλθεν εἰπεῖν, ὦ οὗτοι, τὸ ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ λόγου θεότητος; ἀπὸ γὰρ τούτου καλὸν ἄρξασθαι, ἵνα τούτου δεικνυμένου σαθροῦ, καὶ πάντα τὰ ἄλλα τοιαῦτα δειχθῇ. Ἀπὸ μὲν οὖν τῶν γραφῶν οὐκ ἔστιν εὑρεῖν. Θεὸν γὰρ ἐν ἀνθρωπίνῳ σώματι γεγονέναι λέγουσιν. Ἀλλὰ γὰρ καὶ οἱ πατέρες οἱ ἐν Νικαίᾳ συνελθόντες οὐ τὸ σῶμα, ἀλλ' αὐτὸν τὸν υἱὸν εἰρήκασιν ὁμοούσιον τοῦ πατρός· καὶ τοῦτον μὲν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, τὸ δὲ σῶμα ἐκ Μαρίας ὡμολόγηται εἶναι πάλιν κατὰ τὰς [2] γραφάς. Ἢ τοίνυν ἀρνή-

2. βλέπουσαν δύναμιν *B.*
3. τῇ *B.*
4. ἔπαυσε μὲν *B.*
5. νομισθῶσι *B.*, *quod verum est.*
6. εἰρημένα *B.*
7. ἐστι *abest a B.*
8. προείρηται, ἐγγρ. γυμνῶς πεποίηκα *B.*
9. ἀσέβειαν *ed. princ.* δυσσέβειαν *scriptura est ex codice nescio quo (cum siglo M) annotata in marg. exempli Schottiani, quod penes me est.*
10. ἀφροσύνην τῶν τὰ τοιαῦτα νοησάντων, ἀλλὰ καλὸν ἕως τούτων εἶναι τὴν *B.*

sed quorum una eademque mens esset cum impietate coniuncta. Propterea dissidebant a se invicem ac pugnabant ii qui de fidei professione a patribus in Nicaena synodo prodita gloriantur. Ego vero pietatem tuam magnopere demiratus sum, quod istos homines tolerare potuerit, neque talia iactantibus silentium imposuerit, ac piam sinceramque fidei regulam obtulerit, qua quidem audita vel acquiescerent, vel, si contradicere mallent, haeretici nominarentur. Nam quae ante commemorata sunt, neque proferri, neque audiri apud Christianos possunt, sed ab apostolica disciplina penitus abhorrent. Quocirca eorumdem ego dogmata, cuiusmodi ante proposita sunt, nude huic epistolae attexenda curavi, ut qui haec solum audierit, illorum infamiam impietatemque contempletur. Ac tametsi eorum, a quibus excogitata ista sunt, turpitudo pluribus accusanda ac redarguenda videatur, nihilominus haec ad epistolae modum satis esse, neque uberius scribendum existimavi. Nam quae tam aperta nequitia implicata sunt, agitare vehementius ac curiosius perscrutari non oportet, ne a contentiosis hominibus pro dubiis et ambiguis habeantur. Quare id unum adversus eiusmodi excipere ac respondere sufficit, non esse haec ecclesiae catholicae dogmata, neque hunc patrum nostrorum sensum extitisse. Verum ne, si omnino dissimulavero, perniciosorum dogmatum inventores isti impudentiae suae honestum aliquem colorem habeant, pauca e sacris literis expromenda videntur, ex quibus pudore forsitan affecti ab sordidissimis illis inventis aliquando desciscent.

Undenam igitur usurpare istud vobis in animum incidit, corpus divinitati verbi esse consubstantiale? Hinc enim potissimum exordiri iuvat, ut eo convulso ac labefactato cetera perinde imbecilla monstrentur. Nam e sacris quidem literis eiusmodi nihil elici potest, quae humano in corpore deum extitisse praedicant. At vero patres illi qui Nicaeae convenerant, non corpus sed filium ipsum patri consubstantialem esse dixerunt, eumque de patris prodiisse substantia, corpus vero e Maria susceptum ex sacrarum literarum auctoritate decretum est. Quare vel Nicaenam synodum eiuratote, Cap. VI.

11. καὶ *Petavius habuit suspectum, ut cancellis cluderet.*

12. καλὸν εἶναι ἕως τούτων τὴν ἐπιστολὴν *codd. mss. et ed. princ. est scriptura, quam Petavius mutavit in* καλὸν ἕως τούτων εἶναι τὴν ἐπιστολήν.

13. ἐπὶ πλεῖον *B.*

14. ἢ τοῦτο μόνον ἀποκρ. π. τ. τ. καὶ εἰπεῖν· ἀρκεῖ ὅτι *B.*

15. ἀναισχυντίας *B.*

16. ὀλίγα *B.*

Cap. VI. — 1. ὑμῖν *B.* ἡμῖν *vulgata est ap. Epiphan. scriptura.*

2. ἀρχὰς *cod. Rhedig.*

σασθε τὴν ἐν Νικαίᾳ σύνοδον, [3] καὶ ὡς αἱρετικοὶ παρεισφέρετε ταῦτα, ἢ εἰ βούλεσθε τέκνα τῶν πατέρων εἶναι, μὴ φρονεῖτε παρ' ἐκεῖνα ἅπερ ἔγραψαν αὐτοί. Καὶ γὰρ [4] ἐκ τούτου [5] τὸ ἄτοπον θεωρεῖν [6] ἡμᾶς ἔξεστιν. Εἰ ὁμοούσιος ὁ λόγος τῷ σώματι ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ ὁ λόγος τῷ πατρὶ, κατὰ τὴν τῶν πατέρων ὁμολογίαν, ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ πατὴρ τῷ σώματι τῷ ἐκ γῆς γενομένῳ. Καὶ τί ἔτι μέμφεσθε τοῖς Ἀρειανοῖς λέγουσι τὸν υἱὸν κτίσμα, λέγοντες [7] καὶ αὐτοὶ τὸν πατέρα ὁμοούσιον τοῖς κτίσμασι, καὶ εἰς ἑτέραν ἀσέβειαν μετερχόμενοι, φάσκοντες εἰς σάρκα καὶ ὀστέα καὶ τρίχας καὶ νεῦρα, καὶ ὅλον [8] σῶμα μεταβεβλῆσθαι τὸν λόγον, καὶ ἠλλάχθαι τῆς ἰδίας φύσεως; ὥρα γὰρ [9] εἰπεῖν ἡμᾶς φανερῶς ἐκ γῆς αὐτὸν γεγενῆσθαι. Ἐκ γῆς γὰρ ἡ τῶν ὀστέων καὶ ὅλου τοῦ σώματος φύσις. Τίς οὖν ἡ τοσαύτη παραφροσύνη, ἵνα καὶ πρὸς ἑαυτοὺς διαμάχησθε; ὁμοούσιον [10] μὲν λέγοντες τὸν λόγον τῷ σώματι ἕτερον πρὸς ἕτερον σημαίνετε, [11] τὸ δὲ εἰς σάρκα μεταβεβλῆσθαι, αὐτοῦ [12] τοῦ λόγου τροπὴν φαντάζεσθε. Καὶ τίς ἔτι λοιπὸν [13] ὑμῶν ἀνέξεται ταῦτα καὶ μόνον φθεγγομένων; Πάσης γὰρ αἱρέσεως πλέον εἰς ἀσέβειαν ἐξεκλίνατε.
pag. 1001. Εἰ γὰρ ὁμοούσιος ὁ λόγος τῷ σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη καὶ ἡ χρεία, δυναμένου τοῦ σώματος [14] καὶ πρὸ τῆς Μαρίας εἶναι ἀϊδίως, ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ λόγος, εἴγε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῷ σώματι. Τίς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ λόγου, ἵνα ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται, ἢ τραπεὶς ἀπὸ τῆς ἰδίας φύσεως σῶμα [15] γένηται; οὐ γὰρ [16] αὐτὴ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον [17] αὐτῆς ἐνδύσηται. Ἀλλ' οὐδὲ [18] γὰρ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος λόγος, ἵνα τραπεὶς εἰς σῶμα ἑαυτὸν ὑπὲρ ἑαυτοῦ θυσίαν προσενέγκῃ, καὶ ἑαυτὸν λυτρώσηται.

Κεφ. ζ'. Ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο. Σπέρματος γὰρ Ἀβραὰμ ἐπιλαμβάνεται, ὡς εἶπεν ὁ ἀπόστολος· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, καὶ λαβεῖν ὅμοιον ἡμῖν σῶμα. Διὰ τοῦτο γοῦν καὶ ὑπόκειται ἀληθῶς ἡ Μαρία, ἵνα ἐξ αὐτῆς τοῦτο λάβῃ, καὶ ὡς ἴδιον ὑπὲρ ἡμῶν αὐτὸ προσενέγκῃ. Καὶ ταύτην ὁ μὲν Ἡσαΐας προφητεύων ἐδείκνυε λέγων, Ἰδοὺ ἡ παρθένος [1] ἐν γαστρὶ ἕξει, καὶ τέξεται. Ὁ δὲ Γαβριὴλ ἀποστέλλεται πρὸς αὐτὴν, οὐχ ἁπλῶς πρὸς παρ-

3. *Particulam* καὶ, *quae abest ab utroque codd. mss. et ab ed. princ., suppleverunt Cornarius (vertens* Aut igitur negate synodum Nicaenam, et velut haeretici haec falso inducite) *et Petavius.*

4. καὶ ἐκ *B.*

5. θεωρεῖν ἡμᾶς τὸ ἄτοπον *cod. Rhedig.*

6. ὑμᾶς *B., melius.*

7. αὐτοὶ καὶ *B.*

8. τὸ σῶμα *B.*

9. ὑμᾶς φαν. εἰπεῖν *B.*

10. μὲν γὰρ *B.*

ac tanquam haeretici dogmata ista iactate: aut si patrum esse filii vultis, nihil praeter illa, quae scripserunt, ipsi sentiendum putatote. Etenim quam illud absurdum sit, vel hinc existimare potestis. Si enim verbum corpori, cuius natura de terra delibata est, consubstantiale sit, cum ex patrum confessione perinde sit patri consubstantiale verbum, pater ipse terreno corpori consubstantialis erit. Quo quidem constituto, quid est quod Arianos incusetis, qui filium creaturam esse defendunt, cum vos ipsi patrem creaturis consubstantialem esse dicatis, et ad aliud impietatis genus declinantes, in carnem, ossa, pilos, nervos, totum denique corpus conversum esse verbum, et a natura sua descivisse persuasum habeatis? Superest itaque ut e terra productum esse verbum sine tergiversatione dicatis. Nam e terra ossium totiusque corporis natura proficiscitur. Quaenam est haec tanta dementia ut vobiscum ipsi pugnetis? Si quidem cum verbum corpori consubstantiale esse dicitis, alterum cum altero velut diversum comparari significatis. Cum autem in carnem esse conversum asseritis, eidem verbo mutationem affingitis. Quis igitur deinceps haec a vobis vel voce tenus pronuntiari sustineat? Vos enim haeresim omnem impietate superastis. Quod si verbum corpori consubstantiale sit, supervacanea est Mariae memoria omnis ac functio, cum ante illam etiam sempiternum corpus esse potuerit, quemadmodum et verbum ipsum, si, ut asseritis, corpori consubstantiale sit. Quid autem verbum huc advenire necesse fuit, ut vel id quod iam consubstantiale sibi erat indueret, vel natura sua mutatum, corpus efficeretur? Non enim semetipsam divinitas assumit, ut quod sibi consubstantiale est induat, neque verbum, quod aliena peccata expiat, peccatum ullum admisit ut in corpus conversum seipsum pro se sacrificii instar offerret, ac semetipsum redimeret.

Quare longe aliter sese res habet. Et *Abraami semen apprehendit*, ut loquitur apostolus. Unde *fratrum suorum similis in omnibus esse* debuit, nec diversum a nobis corpus assumere. Proinde et Maria reipsa, nec simulate profertur, ex qua corpus illud sumeret, ac tanquam peculiare et proprium pro nobis offerret. Eandem illam porro Esaias eiusmodi vaticinio demonstrabat: *Ecce virgo concipiet, et pariet.* Tum Gabriel ad eam mittitur, non simpliciter

Cap. VII. Hebr. 2, 16. Esai. 7, 14.

11. *Fortasse* τῷ.
12. τοῦ *omiss. in ed. Petav. Colon. repet.*
13. ὑμῶν *B.* ἡμῶν *vulgata est ap. Epiph. scriptura.*
14. εἶναι καὶ πρὸ Μαρίας αἴδιος *B.*
15. γεγένηται *ed. princ.*
16. αὐτὴ *abest a B.*
17. ἑαυτῆς *B.*
18. γὰρ *abest a B.*
Cap. VII. — 1. *Verba* ἐν γαστρὶ ἕξει, καὶ τέξεται *desiderantur in B.*

θένον, ἀλλὰ πρὸς παρθένον μεμνηστευμένην ἀνδρί· ἵν᾽ ἐκ τοῦ μνηστῆρος δείξῃ τὴν Μαρίαν ἀληθῶς ἄνθρωπον οὖσαν. Καὶ τοῦ τίκτειν μνημονεύει ἡ γραφὴ καί φησι, Ἐσπαργάνωσε, καὶ ἐμακαρίζοντο μαστοὶ οὓς ἐθήλασε, καὶ προςηνέχθη θυσία ὡς διανοίξαντος τοῦ τεχθέντος τὴν μήτραν. Ταῦτα δὲ πάντα τικτούσης ἦν παρθένου γνωρίσματα. Καὶ ὁ Γαβριὴλ δὲ ἀσφαλῶς εὐηγγελίζετο αὐτῇ λέγων οὐχ ἁπλῶς, Τὸ γεννώμενον ἐν σοὶ, ἵνα μὴ ἔξωθεν ἐπειςαγόμενον αὐτῇ σῶμα [2] νομισθείη, ἀλλ᾽, Ἐκ σοῦ, [3] ἵνα φύσει τὸ γεννώμενον ἐξ αὐτῆς εἶναι [4] πιστευθείη· φανερῶς καὶ τοῦτο τῆς φύσεως δεικνυούσης, ὡς ἀδύνατον [5] σῶμα παρθένου φέρειν γάλα μὴ τεκούσης, καὶ ἀδύνατον γάλακτι τραφῆναι σῶμα καὶ σπαργανωθῆναι μὴ πρότερον φύσει τεχθέν. Τοῦτό ἐστι τὸ περιτμηθὲν ὀκταήμερον, τοῦτο Συμεὼν εἰς ἀγκάλας ἐδέξατο, τοῦτο γέγονε παιδίον, καὶ ηὔξησε, [6] καὶ δεκαέτης γενόμενος, καὶ εἰς τὸν τριακοστὸν ἐνιαυτὸν ἦλθεν. Οὐ γὰρ, ὥς τινες ὑπενόησαν, ἡ οὐσία [7] αὐτὴ τοῦ λόγου τραπεῖσα περιετμήθη, ἀναλλοίωτος οὖσα καὶ
pag. 1002. *ἄτρεπτος· λέγοντος μὲν αὐτοῦ τοῦ σωτῆρος, [8] Ἴδετέ με ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι· τοῦ δὲ Παύλου γράφοντος, Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Ἀλλὰ ἐν τῷ περιτμηθέντι σώματι, καὶ βασταχθέντι, καὶ [9] φαγόντι, καὶ καμόντι, καὶ ἐν ξύλῳ καθηλωθέντι καὶ παθόντι, ἦν ὁ ἀπαθὴς καὶ ἀσώματος τοῦ θεοῦ λόγος. Τοῦτο ἦν [10] ἐν τῷ μνημείῳ [11] τεθὲν, ὅτε αὐτὸς [12] ἐπορεύθη κηρύξαι καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν, ὡς εἶπεν ὁ Πέτρος.*

Κεφ. η'. *Ὃ μάλιστα δείκνυσι τὴν ἄνοιαν τῶν λεγόντων εἰς ὀστέα καὶ σάρκα τετράφθαι τὸν λόγον. Εἰ γὰρ τοῦτο ἦν, οὐκ ἦν χρεία μνημείου. Αὐτὸ γὰρ ἂν ἐπορεύθη δι᾽ ἑαυτοῦ τὸ σῶμα κηρύξαι τοῖς ἐν τῷ ᾅδη πνεύμασι. Νῦν δὲ αὐτὸς [1] μὲν ἐπορεύθη κυρύξαι, τὸ δὲ σῶμα εἱλίξας Ἰωσὴφ σινδόνι ἀπέθετο ἐν τῷ Γολγοθᾷ, καὶ δέδεικται πᾶσιν ὅτι μὴ τὸ σῶμα ἦν ὁ λόγος, ἀλλὰ σῶμα ἦν τοῦ λόγου. Καὶ τοῦτο Θωμᾶς ἀναστὰν ἐκ νεκρῶν ἐψηλάφησε, καὶ εἶδεν ἐν αὐτῷ τοὺς τύπους τῶν ἥλων, οὓς ὑπέμεινεν αὐτὸς ὁ λόγος ὁρῶν καθηλουμένους ἐν τῷ σώματι τῷ ἰδίῳ, καὶ δυνάμενος κωλύειν οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ ἰδιοποιεῖτο τὰ τοῦ σώματος ἴδια, ὡς ἑαυτοῦ, [2] ὁ ἀσώματος. Ἀμέλει τοῦ*

2. νομισθῇ *B.*
3. ἵν᾽ ἐξ αὐτῆς φύσει τὸ γενν. *B.*
4. πιστευθῇ *B. In Epiphanii libris vulgo distinctum est* πιστευθείη φανερῶς. Καὶ τοῦτο.
5. παρθένον φέρειν γ. μὴ τεκοῦσαν *B.*
6. *Corrige* δωδεκαετὴς *ex B.*
7. αὕτη *B., quod vitium esse videtur typographi.*
8. Ἴδετε, ἴδετε, ὅτι *B.*
9. φαγόντι, καὶ πιόντι, καὶ καμ. *B.*
10. *Corrige ex B.* τὸ ἐν μνημείῳ.
11. τευθὲν *ed. princ. Vera scriptura in margine exempli Schottiani annotata*

ad virginem, sed ad eam virginem quae iam viro desponsa fuerat, Luc. 1, 27.
ut ipsa sponsi commemoratione Mariam vere hominem fuisse declaret. Hinc et pariendi mentio in scriptura facta et *fasciis involvisse* Luc. 2, 7.
dicitur, et beata praedicantur *ubera, quae lactarunt*, ac denique Luc. 11, 27.
sacrificium oblatum, tanquam id quod natum erat vulvam aperuisset. Quae omnia parientis virginis indicia fuerunt. Adhaec Gabriel ipse caute ac prudenter in felici illo nuntio perferendo locutus est. Neque enim dixit, *Quod nascetur in te*, ne extrinsecus in illam inductum corpus esse putaretur, sed, *Ex te*, dixit, ut quod nasceretur ex ipsa prodiisse manifeste crederetur. Praesertim cum id natura etiam ipsa demonstret, non posse virginis corpus, quae nondum pepererit, lac concipere, tum nihilo magis fieri posse ut lacte nutriatur, aut fasciis obvolvatur corpus illud quod naturali partu ante non sit in lucem editum. Ergo illud ipsum est quod octavo die circumciditur, idem a Simeone in ulnas exceptum, idem puer factus Luc. 2.
est, et adolevit, et decennis evasit, et ad tricesimum annum usque pervenit. Non enim, ut nonnulli suspicati sunt, divini verbi substantia ipsa mutata circumcisa est, quae mutari convertique nequeat, cum salvator ipse dicat, *Videte me, quonium ego sum, et* Luc. 24, 39. Mal. 3, 6.
non sum mutatus, Paulus vero ita scripsit: *Iesus Christus heri et* Hebr. 13, 6.
hodie, idem in saecula: verum in eo corpore, quod et circumcisum est, et gestatum, quod comedit et fatigatum est, in cruce suffixum atque passum, dei verbum inerat, quod passionis perinde atque corporis est expers. Idem corpus in monumento depositum est; quo tempore scilicet, *ut spiritibus illis, qui in custodia detinebantur,* 1. Pet. 3, 19.
praedicaret, ad eos accessit, uti Petrus testatur.

Ex quo illorum potissimum declaratur insania qui verbum dei Cap. VIII.
in ossa carnemque commutatum asserunt. Nam si ita contigisset, supervacaneum monumentum illud fuisset; si quidem ipsum per sese corpus praedicandi gratia ad eos spiritus accederet qui in inferis versabantur. Nunc autem praedicandi ipse gratia ad eos adiit, *cor-* Ioann. 19, 38.
pus autem sindone obvolutum Iosephus in Golgotha deposuit; estque palam illud omnibus factum, verbum ipsum nequaquam esse corpus, sed ad verbum corpus pertinuisse. Praeterea Thomas illud ipsum Ioann. 20.
corpus, posteaquam a mortuis excitatum est, manibus attrectavit, et in eo clavorum cicatrices aspexit, quos cum in corpore suo suffixos vidisset, sponte sustinuit, neque cum posset prohibere voluit; imo vero proprias sui corporis affectiones, velut sui ipsius in sese

est ex cod. illo qui siglo M notari consuevit.

12. ἐπορεύθη, μὴ χωρισθεὶς αὐτοῦ *B. ex aliquot libris mss.*

Cap. VIII. — 1. μὲν, *quod desideratur in editis, restitui ex codd. mss. utroque.*

2. ὁ λόγος ὁ ἀσώμ. *B.*

σώματος τυπτομένου παρὰ τοῦ ὑπηρέτου ὡς αὐτὸς πάσχων ἔλεγε, Τί με δέρεις; καὶ ἄψαυστος ὢν [3] τῇ φύσει, ὅμως ἔλεγε, Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, [4] καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα [5] ἀπὸ ἐμπτυσμάτων. Ἃ γὰρ τὸ ἀνθρώπινον ἔπασχε [6] τοῦ λόγου, ταῦτα συνὼν αὐτῷ ὁ λόγος εἰς ἑαυτὸν ἀνέφερεν, ἵνα [7] ἡμεῖς τῆς τοῦ λόγου θεότητος δυνηθῶμεν μετασχεῖν. Καὶ ἦν παράδοξον ὅτι αὐτὸς ἦν ὁ πάσχων καὶ μὴ πάσχων, πάσχων μὲν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπασχε σῶμα, καὶ ἐν αὐτῷ τῷ πάσχοντι ἦν, μὴ πάσχων δὲ, ὅτι τῇ φύσει θεὸς ὢν ὁ λόγος ἀπαθής ἐστι. Καὶ αὐτὸς μὲν [8] ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι, τὸ δὲ σῶμα [9] ἔσχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ λόγον, ἀφανίζοντα [10] τὰς ἀσθενείας αὐτοῦ τοῦ σώματος. Ἐποίει δὲ τοῦτο, καὶ [11] ἐγίνετο οὕτως, ἵνα τὰ ἡμῶν αὐτὸς δεχόμενος καὶ προσενεγκὼν εἰς θυσίαν ἐξαφανίσῃ, καὶ λοιπὸν τοῖς ἑαυτοῦ περιβαλὼν ἡμᾶς ποιήσῃ
pag. 1003. τὸν ἀπόστολον εἰπεῖν, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Κεφ. θ'. Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο, ὥς τινες πάλιν ὑπέλαβον, ἀλλὰ [1] ὄντος ἀνθρώπου ἀληθείᾳ γενομένου τοῦ σωτῆρος ὅλου τοῦ ἀνθρώπου σωτηρία [2] ἐγένετο. Εἰ γὰρ θέσει ἦν [3] ἐν τῷ σώματι ὁ λόγος κατ᾽ ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστὶν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. Ἀλλὰ μὴν οὐ φαντασίᾳ ἡ σωτηρία [4] γέγονεν ἡμῶν, οὐδὲ σώματος μόνου, ἀλλ᾽ ὅλου τοῦ ἀνθρώπου ψυχῆς καὶ σώματος ἀληθῶς [5] ἐν αὐτῷ ἡ σωτηρία γέγονεν. Ἀνθρώπινον ἄρα φύσει τὸ ἐκ Μαρίας κατὰ τὰς θείας γραφὰς, καὶ ἀληθινὸν [6] σῶμα τοῦ σωτῆρος. Ἀληθινὸν δὲ ἦν, ἐπειδὴ ταὐτὸν [7] ἦν τῷ ἡμετέρῳ. Ἀδελφὴ γὰρ ἡμῶν ἡ Μαρία, ἐπεὶ καὶ πάντες ἐκ τοῦ Ἀδὰμ ἐσμεν. Καὶ τοῦτο οὐκ ἄν τις ἀμφιβάλοι, μνησθεὶς ὧν ἔγραψεν ὁ Λουκᾶς. Μετὰ γὰρ τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν, δοκούντων τινῶν μὴ ἐν τῷ ἐκ Μαρίας σώματι βλέπειν τὸν κύριον, ἀλλ᾽ ἀντὶ τούτου πνεῦμα θεωρεῖν, ἔλεγεν, Ἴδετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας μου, καὶ τοὺς τύπους τῶν ἥλων, ὅτι ἐγώ εἰμι αὐτός, ψηλαφήσατε [8] καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· καὶ τοῦτο εἰπὼν [9] ὑπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἐξ ὧν

3. ὁ λόγος τῇ *B*.
4. τὰς δὲ σταγόνάς μου εἰς ῥαπίσματα, καὶ τὸ πρ. *B*.
5. ἀπὸ αἰσχύνης ἐμπτ. *B*.
6. σῶμα τοῦ λόγου *B*.
7. ἡμεῖς *abest a B*.
8. ὁ ἀσώματος *cod. Ien.* ἀσώματος *reliqui libri*.
9. εἶχεν *B*.
10. αὐτοῦ τοῦ σώματος τὰς ἀσθ. *B*.
11. ἐγένετο *B*.

Cap. IX. — 1. ὄντως ἀληθείᾳ ἀνθρ. γεν. *B*. *Scribendum puto* ὄντως ἀνθ. ἀλ. γεν.
2. ἐγίνετο *B*.
3. ἐν *praepositio abest a codd. mss. et ed. princ.*

transtulit. Quamobrem cum hoc a satellite vapularet, quasi ipse pateretur, *Quid me*, inquit, *caedis?* cumque tangi natura non posset, nihilominus dixit, *Dorsum meum dedi in flagella, et faciem meam non averti a sputis.* Quae enim humana verbi natura patiebatur, haec ipsummet verbum in sese transferre voluit, ut nos divinitatis verbi participes esse possemus. Qua in re singulare illud accidit, idem ut patiens esset, et nihil patiens, patiens quidem, quod proprium eius pateretur corpus, et in patiente ipso resideret, nihil patiens vero, quod cum verbum natura deus sit, ab omni patiendi conditione sit immune. Quocirca verbum quidem ipsum in patibili corpore incorporeum fuit, corpus autem impatibile verbum habuit in sese, quod sui corporis imbecillitates extingueret. Atque hoc eo consilio faciebat, itaque se habere voluerat, ut nostra suscipiens, et in sacrificium offerens funditus deleret, ac demum suis nos quodammodo vestiens occasionem apostolo daret ista scribendi: *Oportet corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem.*

Ioann. 18, 23.

Esai 50, 6.

Quae omnia non ficte ac simulate gesta sunt; minime quidem ut nonnulli perperam arbitrantur: sed cum salvator verum se fecisset hominem, totius est hominis salus consecuta. Nam si simulatione sola verbum, ut illi sentiunt, esset in corpore, quod autem simulatione esse sola dicitur imaginarium est, consequens esset ut et salus hominum ac resurrectio imagine sola et adumbratione fieri diceretur, quae est impii Manichaei sententia. Atqui non sola specie comparata nobis salus est, aut soli tributa corpori, sed toti videlicet homini, animae, inquam, corpori salus est reipsa conciliata. Itaque corpus illud salvatoris, quod, ut sacrae literae testantur, e Maria desumptum est, humanum ac verum extitit. Verum, inquam, propterea quod idem omnino cum nostro fuit. Maria quippe soror nostra fuit, cum ab Adamo originem omnes acceperimus. Neque vero dubitandum ea de re putabit, siquis ea meminerit quae sunt a Luca scripta. Cum enim post illius resurrectionem nonnulli suspicarentur non in eodem illo corpore quod expressum e Maria fuerat dominum sese contueri, sed eius loco spiritum offerri, sic eos allocutus est: *Videte manus et pedes meos, et vestigia clavorum, quoniam ego sum ipse, palpate et videte, quoniam spiritus carnem et ossa non habet, sicut me videtis habere: quibus dictis ostendit illis manus et pedes.* Ex quo illi redarguuntur qui do-

Cap. IX.

Luc. 24, 39.

4. γέγονεν *abest a B.*
5. ἡ σωτ. γεγ. ἐν αὐτῷ τῷ λόγω *B.*
6. ἦν τὸ σῶμα τοῦ κυρίου *B.*
7. ἦν τῷ (τὸ *cod. Ien.*) *codd. mss.* ἦν ἐν τῷ *ed. princ. Praepositionem certe cancellis notavit Petavius.*
8. με, καὶ *B.*
9. ἐπέδειξεν *B.*

καὶ ἐλέγχεσθαι πάλιν δύνανται οἱ τολμήσαντες εἰπεῖν εἰς σάρκα καὶ ὀστέα ἠλλοιῶσθαι τὸν κύριον. Οὐ γὰρ εἶπε, Καθὼς ἐμὲ θεωρεῖτε σάρκα καὶ ὀστέα ὄντα, ἀλλ' Ἔχοντα, ἵνα μὴ αὐτὸς ὁ λόγος εἰς ταῦτα τραπεὶς νομισθῇ, ἀλλ' αὐτὸς [10] ἔχων ταῦτα καὶ πρὸ τοῦ θανάτου καὶ μετὰ τὴν ἀνάστασιν εἶναι πιστευθῇ.

Κεφ. ι'. Τούτων δὲ οὕτως ἐχόντων τὴν ἀπόδειξιν, περιττὸν ἔτι τῶν ἄλλων ἅπτεσθαι καὶ γυμνάζειν τι περὶ αὐτῶν· τοῦ [1] γὰρ σώματος, ἐν ᾧ ἦν ὁ λόγος, μὴ ὄντος ὁμοουσίου τῆς θεότητος, ἀλλ' ἐκ Μαρίας ἀληθῶς τεχθέντος, καὶ αὐτοῦ δὲ τοῦ λόγου μὴ τραπέντος εἰς ὀστέα καὶ σάρκα, ἀλλ' ἐν σαρκὶ γενομένου. Τὸ γὰρ παρὰ τῷ Ἰωάννῃ λεγόμενον, Ὁ λόγος σὰρξ ἐγένετο, ταύτην ἔχει τὴν διάνοιαν, καθὼς καὶ ἐκ τοῦ ὁμοίου τοῦτο δυνατὸν εὑρεῖν. Γέγραπται γὰρ [2] ἐν τῷ Παύλῳ, Χριστὸς ὑπὲρ ἡμῶν γέγονε κατάρα. pag. 1004. Καὶ ὥςπερ οὐκ αὐτὸς κατάρα γέγονεν, ἀλλ' ὅτι τὴν ὑπὲρ ἡμῶν ἀνεδέξατο κατάραν, εἴρηται κατάρα γεγονέναι, οὕτω καὶ σὰρξ [3] ἐγένετο, οὐ τραπεὶς εἰς σάρκα, ἀλλ' ὅτι [4] σάρκα ὑπὲρ ἡμῶν ἀνέλαβε, καὶ γέγονεν ἄνθρωπος. Καὶ γὰρ [5] τὸ εἰπεῖν, Ὁ λόγος σὰρξ ἐγένετο, ἴσον ἐστὶ πάλιν εἰπεῖν [6] ὅτι ἄνθρωπος γέγονε, κατὰ τὸ εἰρημένον ἐν τῷ Ἰωὴλ, Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· [7] οὐ τῶν ἀλόγων ἦν ἡ ἐπαγγελία, ἀλλ' εἰς ἀνθρώπους ἐστὶν, ὧν ἕνεκα καὶ ἄνθρωπος γέγονεν ὁ κύριος. Τούτου δὲ τοῦ ῥητοῦ ταύτην ἔχοντος τὴν [8] διάνοιαν, εἰκότως καταγνώσονται ἑαυτῶν [9] πάντως οἱ νομίσαντες εἶναι πρὸ τῆς Μαρίας τὴν ἐξ αὐτῆς σάρκα, καὶ πρὸ ταύτης [10] ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν λόγον, καὶ ἐν αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι. Παύσονται δὲ καὶ οἱ εἰπόντες μὴ εἶναι δεκτικὴν θανάτου τὴν σάρκα, ἀλλὰ τῆς ἀθανάτου φύσεως εἶναι ταύτην. Εἰ γὰρ μὴ ἀπέθανε, πῶς ὁ Παῦλος παρεδίδου Κορινθίοις, ὃ καὶ παρέλαβεν, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς; Πῶς δὲ [11] καὶ ὅλως ἀνέστη, εἰ μὴ [12] προαπέθανεν; Ἐρυθριῶσι δὲ μεγάλως οἱ ὅλως ἐνθυμηθέντες δύνασθαι ἀντὶ τῆς τριάδος [13] γίνεσθαι τετράδα, εἰ λέγοιτο ἐκ Μαρίας εἶναι τὸ σῶμα. Ὁμοούσιον [14] μὲν γὰρ ἐὰν [15] εἴπωμεν τὸ σῶμα τῷ λόγῳ, μένει ἡ τριὰς τριὰς, [16] οὐδενὸς ξένου ἐπειςφερομένου εἰς αὐτὴν τοῦ λόγου. Ἐὰν δὲ ἄνθρωπον εἴπωμεν τὸ ἐκ Μαρίας σῶμα, ἀνάγκη, ξένου ὄντος κατ' οὐσίαν τοῦ σώματος, καὶ ὄντος ἐν αὐτῷ τοῦ λόγου, τετρὰς ἀντὶ τριάδος γίνεται, διὰ τὴν τοῦ σώματος προςθήκην.

10. ἔχων *ed. Petav.* εἰς *codd. mss. et ed. princ. Cornarius transtulit* — et ossa esse, sed habere, ut ne ipsum verbum in haec mutatum putaretur, sed idem et ante mortem et post resurrectionem esse crederetur. *B. habet* ἔχων αὐτά.

Cap. X. — 1. *Fortasse* γε *scribendum pro* γὰρ, *quod in B. non receptum est, quamvis et aliis praeter Epiphanii tuentibus libris.*

2. παρὰ *B.*

3. ἐγένετο *B.*

4. σάρκα ζῶσαν *receperunt Benedictini.*

5. *Scribendum fortasse* τῷ.

6. ὁ λόγος ἀνθρ. *B.*

7. οὐ γὰρ ἕως τῶν ἀλόγων ζώων *B.*

8. ἔννοιαν *B.*

minum in carnem et ossa mutatum esse affirmare non dubitant. Neque enim dixit, *Quemadmodum me carnem et ossa videtis esse,* sed *habere,* ne fortasse verbum ipsum in istiusmodi conversum esse putaretur, sed ut ea duntaxat et ante mortem et post resurrectionem habuisse credatur.

His ad eum modum comprobatis de aliis dicere supervacaneum Cap. X.
est, aut agitare disputando. Nam cum corpus in quo verbum ine-
rat divinitati consubstantiale minime fuerit, sed ex Maria virgine
revera natum, cumque verbum ipsum non in ossa carnemque mu-
tatum sit: sed in carne resederit. Quod enim a Ioanne scriptum
est, *Verbum caro factum est,* hunc habet sensum, ut ex simili lo- Ioann. 1, 14.
quendi ratione colligi potest. Est enim a Paulo scriptum, *Christus* Gal. 3, 13.
pro nobis factus est maledictum. Ut igitur maledictum ille proprie
non fuit, sed ideo fuisse dicitur, quod illud nostra caussa suscepe-
rit, sic et *caro factum est,* non quod in carnem commutatum fuerit,
sed quod carnem pro nobis assumpserit, *et homo factus sit.* Ete-
nim hoc ipsum, *Verbum caro factum est,* eandem vim habet ac si
diceretur, Homo factum est. Cuiusmodi est illud a Ioële dictum:
Effundam de spiritu meo super omnem carnem. Quae quidem denun- Ioel 2, 28.
tiatio ac promissio non ad pecudes, sed ad homines pertinet, quo-
rum gratia dominus est homo factus. Quae cum ita sint, eaque sit
verborum illorum sententia, vel seipsos iure condemnabunt ii qui
Maria priorem esse carnem illam existimant, quae de Maria sumpta
sit, et ante illam humana praeditum anima fuisse verbum, eamque
antequam huc adveniret habuisse. Sed et illi nugari desinent qui
carnem mortis esse capacem negant, et ad immortalis naturae sor-
tem conditionemque transcribunt. Nam si mortuus non est, quo-
modo Paulus tradere hoc Corinthiis potuit, quod *se accepisse* dice-
bat? *Quoniam Christus mortuus est pro peccatis nostris, secundum* 1. Cor. 15, 3.
scripturas. Resurgere vero qui potuit nisi mortuus antea fuisset?
Maximo vero pudore perfunduntur ii qui quaternionem pro trinitate
constitui persuasum habent, si corpus e Maria natum esse dicatur.
Nam si consubstantiale verbo corpus arbitremur, trinitas nihilomi-
nus trinitas permanet, cum peregrinum nullum verbum in illam inve-
hatur. At si corpus illud idem ex Maria natum hominem esse dica-
mus, necesse est, cum corpus natura peregrinum alienumque sit,
ut in ipso verbum insideat, quaternionem pro trinitate consurgere,
corpore videlicet adiecto.

9. πάντες *B.*
10. τινὰ ἐσχηκέναι *B.*
11. ὅλως καὶ *B.*
12. καὶ ἀπέθανεν. Ἐρυθριάσουσι *B.*
13. γενέσθαι *B.*
14. μὲν *abest. a B.*
15. εἴπωμεν, φασὶ, τὸ *B.*
16. οὐδὲν ξένον *B., quod verum puto.*

Κεφ. ια'. Ταῦτα οὕτως λέγοντες οὐ νοοῦσιν ὅπως ἑαυτοῖς περιπίπτουσι. Καὶ γὰρ κἂν μὴ ἐκ Μαρίας λέγωσι τὸ σῶμα, ἀλλὰ ὁμοούσιον αὐτὸ τῷ λόγῳ, οὐδὲν ἧττον, ὅπερ [1] ὑπεκρίνοντο, μὴ ἄρα [2] ὡς φρονοῦντες νομισθῶσι, τοῦτο κατὰ τὴν αὐτῶν [3] ἄνοιαν δειχθήσονται λέγοντες τετράδα. Ὡς γὰρ [4] υἱὸς ὢν κατ' αὐτοὺς ὁμοούσιος τῷ πατρὶ οὐκ ἔστιν αὐτὸς πατὴρ, ἀλλὰ υἱὸς πρὸς πατέρα λέγεται ὁμοούσιος, οὕτως τὸ ὁμοούσιον σῶμα τοῦ λόγου οὐκ ἔστιν αὐτὸς ὁ λόγος, ἀλλ' ἕτερον πρὸς τὸν λόγον. Ἑτέρου δὲ [5] ὄντος, [6] ἔσται κατ' αὐτοὺς ἡ αὐτῶν τριὰς τετράς. Οὐ γὰρ ἡ ἀληθινὴ καὶ ὄντως τελεία καὶ ἀδιαίρετος τριὰς δέχε-
pag. 1005. ται προςθήκην, ἀλλ' ἡ παρὰ τούτων ἐπινενοημένη. Καὶ πῶς ἔτι Χριστιανοὶ [7] ἕτερον παρὰ τὸν ὄντα θεὸν ἐπινοοῦντες; πάλιν γὰρ καὶ ἐν [8] ἑτέρῳ αὐτῶν σοφίσματι [9] τὴν ἀφροσύνην ἔξεστιν ὁρᾶν. Εἰ [10] δὲ διὰ τὸ εἶναι καὶ λέγεσθαι ἐν ταῖς γραφαῖς ἐκ Μαρίας εἶναι καὶ ἀνθρώπινον τὸ σῶμα τοῦ σωτῆρος νομίζουσιν ἀντὶ τριάδος τετράδα λέγεσθαι, ὡς προςθήκης [11] λεγομένης τὸ σῶμα, πολὺ πλανῶνται, τὸ ποίημα συνεξισοῦντες τῷ ποιητῇ, καὶ ὑπονοοῦντες δύνασθαι τὴν θεότητα προςθήκην λαμβάνειν· καὶ ἠγνόησαν ὅτι οὐ διὰ προςθήκην θεότητος γέγονε σὰρξ ὁ λόγος, ἀλλ' ἵνα ἡ σὰρξ ἀναστῇ, οὐδ' ἵνα βελτιωθῇ ὁ λόγος προῆλθεν ἐκ Μαρίας, ἀλλ' ἵνα τὸ [12] ἀνθρώπινον γένος λυτρώσηται. Πῶς οὖν [13] οἷόν τε τὸ διὰ τοῦ λόγου λυτρωθὲν σῶμα καὶ ζωοποιηθὲν προςθήκην εἰς θεότητα [14] τῷ ζωοποιήσαντι λόγῳ ποιεῖν; Μᾶλλον γὰρ αὐτῷ [15] ἀνθρωπίνῳ προςθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως. [16] Ἀπὸ θνητοῦ γέγονεν ἀθάνατον, καὶ ψυχικὸν ὂν γέγονε πνευματικὸν, καὶ ἐκ γῆς γενόμενον τὰς οὐρανίους διέβη πύλας. Ἡ μέντοι τριὰς, καὶ λαβόντος ἐκ Μαρίας σῶμα τοῦ λόγου, τριάς ἐστιν, οὐ δεχομένη προςθήκην, οὐδὲ ἀφαίρεσιν, ἀλλὰ ἀεὶ τελεία ἐστὶ, καὶ ἐν τριάδι μία θεότης γινώσκεται, καὶ οὕτως ἐν τῇ ἐκκλησίᾳ κηρύττεται, εἷς θεὸς ὁ τοῦ λόγου πατήρ.

Κεφ. ιβ'. Ἐκ [1] δὲ τούτου σιωπήσουσι λοιπὸν καὶ οἵ ποτε εἰπόντες τὸν ἐκ Μαρίας προελθόντα μὴ εἶναι αὐτὸν τὸν Χριστὸν καὶ κύριον καὶ θεόν.

Cap. XI. — 1. ὑποκρίνονται *B.* 2. ὥςπερ φρ. νομισθῶσι, τοῦτο *B. Petav. distinxit* ὡς φρ. ν. τοῦτο, κατά. 3. ἔννοιαν *B.* 4. ὁ υἱὸς κατὰ τοὺς πατέρας ὁμ. ὢν τῷ *B. Recte.* 5. ὄντως *codd. mss. uterque et ed. princ. At Cornarius iam vertit* Cum autem aliud sit, erit secundum ipsos *cett.* 6. κατ' αὐτοὺς ἔσται *B.* 7. οἱ ἕτερον *B.* 8. τῷ ἑτέρῳ *B.*

Haec illi dum ad eum modum pronuntiant, non animadvertunt quantopere secum ipsi pugnent. Licet enim ex Maria profectum corpus esse non dicant, sed consubstantiale verbo duntaxat, nihilominus tamen, quod ne sentire viderentur vereri se simulabant, in hoc ipsum, quae est illorum stoliditas, oratione sua palam incurrunt, et quaternionem illum admittunt. Etenim uti filius, qui illorum sententia patri consubstantialis est, minime ille quidem pater est, sed filius patri consubstantialis appellatur, ita consubstantiale verbo corpus non ipsum verbum est, sed aliud quiddam a verbo distinctum. Quod si aliud est, illorum trinitas in quaternionem redigetur. Verae quippe et reipsa perfectae et indivisae trinitati nulla fieri potest accessio, praeter quam perperam isti commenti sunt. Quare Christiani esse qui possunt qui alterum ab eo qui re vera deus est falsa sibi persuasione finxerunt; rursus enim in altera quadam istorum cavillatione quanta sit eorum stoliditas apparet. Nam si pro eo quod Christus corpus ex Maria natum et humanum est atque in scripturis esse dicitur, quaternionem idcirco pro trinitare constitui putant eo quod quaedam fieri videatur corporis accessio, vehementer errant qui conditori opificium suum aequale faciunt, et ad divinitatem accedere posse aliquid arbitrantur, nec illud intelligunt, non ad ullam carnis accessionem verbum carnem esse factum, sed ut caro ipsa resurgeret, neque verbum, quo ad meliorem aliquam conditionem transferretur, ex Maria prodiisse, sed ut hominum genus redimeret. Iam vero quomodo fieri potest corpus ut illud, quod per verbum redemptum ac vita donatum est, ei a quo vitam accepit ullam divinitatis accessionem possit afferre? Nam e contrario uberrima illa quidem ad humanum corpus ex divini verbi communione commistioneque facta est accessio. Siquidem ex mortali immortale, ex animali spiritale redditum est, atque e terra profectum coeli portas penetravit. Ceterum trinitas ipsa, quamvis verbum e Maria corpus acceperit, trinitas est, cui nec addi potest quidpiam, neque detrahi, sed perfecta semper est, et in trinitate singularis divinitas agnoscitur atque ita demum unus deus verbi pater in ecclesia praedicatur. Cap. XI.

Eadem porro ratione et os illis occludetur qui dicere aliquando ausi sunt eum qui ex Maria processit non ipsum esse Christum ac Cap. XII.

9. πολλὴν τὴν *B.*
10. δὲ *abest a B.*
11. γινομένης διὰ τὸ *B.*
12. τῶν ἀνθρώπων *B.*
13. οἴονται τὸ *B.*
14. τῷ λόγῳ τῷ ζωοπ. π. *B.*
15. τῷ ἀνθρ. *B. Recte.*
16. ἀπὸ γὰρ *B.*
Cap. XII. — 1. δὴ *B.*

Εἰ γὰρ μὴ θεὸς ἦν ἐν τῷ σώματι, πῶς εὐθὺς προελθὼν [2] ἀπὸ Μαρίας ἐκλήθη Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ θεός; Πῶς δὲ καὶ Παῦλος, εἰ μὴ ὁ λόγος ἦν ἐν σαρκὶ, Ῥωμαίοις ἔγραφεν, Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν; Οὐκοῦν ὁμολογείτωσαν [3] οἱ πρότερον ἀρνούμενοι τὸν ἐσταυρωμένον εἶναι θεὸν ἐσφάλθαι, πειθόμενοι [4] πάσαις ταῖς θείαις γραφαῖς, μάλιστα δὲ τῷ Θωμᾷ, ὃς μετὰ τὸ ἰδεῖν ἐν αὐτῷ τοὺς τῶν ἥλων τύπους ἀνεβόησεν, Ὁ κύριός μου, καὶ ὁ θεός μου. Θεὸς γὰρ καὶ κύριος τῆς δόξης ὢν [5] υἱὸς ἦν ἐν τῷ ἀδόξως καpag. 1006. θηλουμένῳ καὶ ἀτιμαζομένῳ σώματι. Τὸ δὲ σῶμα ἔπασχε μὲν νυττόμενον ἐν τῷ ξύλῳ, καὶ ἔρρεεν ἀπὸ τῆς τούτου πλευρᾶς αἷμα καὶ ὕδωρ, ναὸς δὲ τοῦ λόγου τυγχάνον [6] πεπληρωμένος ἦν τῆς θεότητος. Διὰ [7] τοῦτο ἥλιος ὁρῶν τὸν δημιουργὸν ἑαυτοῦ ἐν τῷ ὑβριζομένῳ σώματι ἀνεχόμενον τὰς ἀκτῖνας συνέστειλε, καὶ [8] ἐσκότασε τὴν γῆν. Αὐτὸ δὲ [9] τὸ σῶμα φύσιν ἔχον θνητὴν ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀνέστη διὰ τὸν ἐν αὐτῷ λόγον, καὶ πέπαυται μὲν τῆς κατὰ φύσιν φθορᾶς, [10] ἔνδυμα δὲ γέγονε τοῦ λόγου. Ἐνδυσάμενον δὲ τὸν ὑπὲρ ἄνθρωπον λόγον γέγονεν ἄφθαρτον. Περὶ δὲ τοῦ φαντάζεσθαί τινας καὶ λέγειν ὅτι ὥςπερ ἐφ' ἕκαστον τὸν προφητῶν [11] ἐγένετο λόγος, οὕτω καὶ ἐπὶ ἕνα τινὰ ἄνθρωπον ἐκ Μαρίας ἦλθεν ὁ λόγος, περιττόν ἐστι γυμνάζειν, φανερὰν ἐχούσης τῆς [12] ἀνοίας αὐτῶν τὴν κατάγνωσιν. Εἰ γὰρ οὕτως ἦλθε, διὰ τί οὗτος ἐκ παρθένου, καὶ μὴ καὶ αὐτὸς ἐξ ἀνδρὸς καὶ γυναικός; οὕτω γὰρ καὶ ἕκαστος τῶν ἁγίων ἐγεννήθη. Ἢ διὰ τί οὕτως ἐλθόντος τοῦ λόγου, οὐχ ὁ ἑκάστου θάνατος λέγεται ὑπὲρ ἡμῶν γεγενῆσθαι, ἀλλ' ὁ τούτου μόνος; Διὰ τί δὲ καθ' ἕκαστον τῶν προφητῶν ἐπιδημοῦντος τοῦ λόγου, λέγεται ἐπὶ μόνου τοῦ ἐκ Μαρίας, ὡς ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐπιδημήσαντος; Ἢ διὰ τί, οὕτως ἐλθόντος αὐτοῦ, ὡς ἦλθεν ἐν τοῖς ἔμπροσθεν ἁγίοις, οἱ μὲν ἄλλοι πάντες ἀποθανόντες οὔπω ἀνέστησαν, ὁ δὲ ἐκ Μαρίας μόνος [13] τριήμερος ἀνέστη; Ἢ διὰ τί, ὁμοίως τοῖς ἄλλοις ἐλθόντος τοῦ λόγου, λέγεται μόνος ὁ ἐκ Μαρίας Ἐμμανουὴλ, ὡς σώματος πεπληρωμένου θεότητος, [14] καὶ τεχθέντος ἐξ αὐτῆς; Τὸ γὰρ Ἐμμανουὴλ ἑρμηνεύεται Μεθ' ἡμῶν ὁ θεός. Ἢ διὰ τί, εἴπερ οὕτως ἦλθεν, ἐσθίοντος ἑκάστου

2. ἐκ B.
3. καὶ οἱ B.
4. πάσαις *desideratur in B.*
5. ὁ υἱὸς B.
6. πεπληρωμένον B. *Recte.*
7. τοῦτο γοῦν ὁ μὲν ἥλ. B. *Post* τοῦτο *in cod. Ien. conspicua est rasura quinque fere literarum, quod spatium etiam in ed. princ. vacuum relictum est.*
8. ἐσκότασε *cod. Ien. (et cod. Rhedig.)* ἐσκίτασε (?) *cod. Rhedig.* ἐσκότισε B. *et margo ed. Petav.*
9. τὸ *omissum in ed. Petav. Colon. repet.*
10. *Verba* ἔνδυμα δὲ γέγονε τοῦ λόγου *absunt a B., et ceteris Opp. Athanasii editionibus.*
11. ἐγίνετο, οὕτω καὶ B.
12. μανίας B.
13. τριήμερος *omissum est in edit. Petav.*
14. καὶ *om.* B.

dominum et deum. Nisi enim in corpore deus extitisset, cur statim atque de Maria processit, *Emmanuel* vocatus est, *quod est interpretatum Nobiscum deus?* Paulus vero, nisi verbum in carne foret, ad Romanos scribere ista qui potuit, *Ex quibus Christus est secundum carnem qui est super omnia deus benedictus in saecula, Amen?* Quamobrem qui antea negaverant eum qui crucifixus est esse deum, errorem suum agnoscant ac divinis omnibus literis fidem adhibeant, sed Thomae praesertim, qui cum in Christo clavorum vestigia vidisset exclamavit, *Dominus meus et deus meus.* Filius enim, idemque deus ac gloriae dominus in eo corpore, quod per summam ignominiam clavis confixum ac dehonestatum fuerat, omnino residebat. Corpus ipsum vero in cruce perforatum utique patiebatur, et ex eius latere sanguis cum aqua diffluebat. Verum cum divini verbi templum esset, erat divinitate plenissimum. Quam ob caussam sol ipse, cum auctorem suum tam graves in misero corpore contumelias tolerantem videret, radiis ac luce suppressa terram tenebris obduxit, corpus autem mortali natura praeditum supra naturae suae conditionem propter verbum, quod in ipso erat, a mortuis excitatum est, et a naturali corruptione liberatum verbi quoddam velut indumentum est factum, cumque verbo, quod humanam conditionem superat, velut amictu quodam obvolutum esset, corruptionis est expers redditum. Quod autem ad nonnullorum inanes nugas et commenta pertinet, qui ut in reliquos prophetas omnes, ita et in unum illum e Maria natum hominem divinum verbum illapsum esse sentiunt, pluribus ea de re disputare supervacaneum est. Horum quippe stulta et inepta persuasio manifeste ac sine ullo negotio convincitur. Nam si ad eum modum ille descendit, cur e virgine natus non ex viro feminaque susceptus est, quemadmodum sancti omnes in lucem editi fuerunt? Cur cum ita verbum illapsum sit, non etiam ceterorum uniuscuiusque mors nostra caussa tolerata dicitur, sed huius duntaxat unius? Cur cum in singulos prophetas divinum se verbum insinuaverit, in eo solo qui e Maria, natus est, in *consummatione saeculorum*, semel advenisse dicitur? Cur cum eodem modo se in illum infuderit, quo in priores omnes sanctos descenderat, reliqui omnes nondum post mortem surrexerunt, solus ille vero qui e Maria genitus est, tertia die surrexit? Cur cum eadem qua in ceteros ratione divinum illum verbum delapsum sit, unus illa ex Maria natus Emmanuel appellatur, quasi corpus ipsum divinitate repletum, et ab ea natum extiterit? Nam Emmanuel idem significat ac *Nobiscum deus.* Cur si ad eum modum accesserit, cum sanctus quili-

Esai. 7, 14. Matth. 1, 23.
Rom. 9, 5.
Ioann. 20, 28.
Luc. 29, 45.
Hebr. 9, 26.

τῶν ἁγίων, καὶ πίνοντος, καὶ κοπιῶντος, καὶ ἀποθνήσκοντος, οὐ λέγεται [15] ὡς αὐτὸς [16] ἐσθίων, καὶ κοπιῶν, καὶ ἀποθανὼν, ἀλλ' ἐπὶ μόνου τοῦ ἐκ Μαρίας; Ἃ γὰρ ἔπασχε τοῦτο τὸ σῶμα, ταῦτα ὡς αὐτοῦ πάσχοντος εἴρηται. Καὶ τῶν ἄλλων δὲ πάντων λεγομένων μόνον [17] ὅτι ἐτέχθησαν, καὶ ἐγεννήθησαν, ἐπὶ τοῦ ἐκ Μαρίας μόνου εἴρηται, Καὶ ὁ λόγος σὰρξ ἐγένετο.

pag. 1007. Κεφ. ιγ'. Ἐξ ὧν δείκνυται ὅτι πρὸς μὲν τοὺς ἄλλους [1] πάντας γέγονεν ὁ λόγος τοῦ προφητεύειν χάριν, [2] ἐκ Μαρίας αὐτὸς ὁ λόγος σάρκα [3] ἑαυτῷ λαβὼν προῆλθεν ἄνθρωπος, τῇ μὲν φύσει καὶ τῇ οὐσίᾳ λόγος ὢν τοῦ θεοῦ, κατὰ δὲ σάρκα ἐκ σπέρματος Δαβὶδ, καὶ τῆς σαρκὸς Μαρίας γενόμενος ἄνθρωπος, ὡς εἶπεν ὁ Παῦλος. Τοῦτον καὶ ὁ πατὴρ ἐδείκνυεν ἐν τῷ Ἰορδάνῃ καὶ ἐν τῷ ὄρει, λέγων, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. Τοῦτον οἱ μὲν Ἀρειανοὶ ἠρνήσαντο, ἡμεῖς δὲ [4] ἐπιγινώσκομεν προσκυνοῦντες, οὐ διαιροῦντες τὸν υἱὸν καὶ τὸν λόγον, ἀλλ' αὐτὸν τὸν λόγον εἰδότες εἶναι τὸν υἱὸν, δι' οὗ τὰ πάντα γέγονε, καὶ ἡμεῖς [5] ἠλευθερώθημεν. Διὸ καὶ ἐθαυμάσαμεν πῶς ὅλως ἐν [6] ἡμῖν περὶ τούτων [7] οὕτως γέγονε φιλονεικία. Ἀλλὰ χάρις τῷ [8] θεῷ, ὅσον ἐλυπήθημεν [9] ἐντυγχάνοντες τοῖς ὑπομνήμασι, τοσοῦτον ἐχάρημεν ἐπὶ τῷ τέλει τούτων. Μετὰ γὰρ συμφωνίας ἀνεχώρησαν, καὶ εἰρήνευσαν ἐπὶ τῇ ὁμολογίᾳ τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου πίστεως. Τοῦτο γοῦν κἀμὲ πολλὰ πρότερον σκεψάμενον [10] πεποίηκε γράψαι τὰ ὀλίγα ταῦτα, λογισάμενον, μὴ [11] ἄρα [12] ἐκ τῆς σιωπῆς ἀντὶ χαρᾶς λύπη γένηται τοῖς [13] ἐκ τῆς συμφωνίας πρόφασιν τοῦ χαίρειν παρασχοῦσιν ἡμῖν. Ἀξιῶ τοίνυν προηγουμένως τὴν σὴν εὐλάβειαν, καὶ δεύτερον τοὺς ἀκούοντας, μετὰ συνειδήσεως ἀγαθῆς ταῦτα δέξασθαι, καὶ εἰ [14] μὲν πρὸς εὐσέβειαν λείπει, τοῦτο διορθώσασθαι καὶ δηλῶσαί μοι, εἰ δὲ ὡς παρὰ ἰδιώτου τῷ λόγῳ [15] μηδὲ κατ' ἀξίαν, μηδὲ τελείως γέγραπται, συγγνῶναι πάντας τῇ ἡμετέρᾳ περὶ τὸ λέγειν [16] ἀσθενείᾳ. [17] Ἔρρωσθε.

ΠΕΠΛΗΡΩΤΑΙ.

Κεφ. ιδ'. Ἐπεὶ οὖν καὶ ἡ ἐπιστολὴ ἐνετάγη, καὶ οὐ μόνον ἐξ ὧν παρ'

15. ὡς αὐτὸς *codd. mss. et ed. princ. et B.* ὡςαύτως *ed. Petav.*
16. ἐσθίων, καὶ πίνων, καὶ κοπιῶν, καὶ ἀποθνήσκων *B.*
17. ὅτι *non legitur in codd. mss., neque in edit. princ. Et sane abesse potest.*
Cap. XIII. — 1. ἅπαντας *B.*
2. *Scribendum* ἐκ δὲ M. *cum B.*
3. ἑαυτῷ *abest a B.*
4. ἐπιγινώσκοντες προσκυνοῦμεν *B.*
5. ἐλυτρώθημεν *B.*
6. ὑμῖν *ed. Petav. et B.*
7. οὕτω φανερῶν γέγονε *B. Recte.*
8. κυρίῳ ὅτι ὅσον *B.*
9. ἐντυχόντες *B.*
10. πέπεικε *B.*

bet manducaret ac biberet, nec non fatigaretur, ac moreretur, in nullo tamen verbum ipsum comedisse, laborasse, mortem denique subiisse dicitur, nisi in eo solo quem Maria virgo peperit? Quae enim corpus ipsum perpessum est, haec illi perinde ac si passum esset tribuuntur. Porro cum de ceteris unum illud iactari soleat, productos illos ac genitos fuisse, de solo Mariae filio dicitur, *Et verbum caro factum est.*

Ex quibus evidenter ostenditur, cum in reliquos vaticinandi solum gratia sese dei verbum infuderit, idem ipsum e Maria carne suscepta hominem prodiisse. Qui et natura substantiaque dei verbum erat, et, quod ad carnem attinet, e Davidis stirpe Mariaeque carne natus est homo, quemadmodum declarat apostolus. Hunc in Iordane, atque in monte pater demonstravit his verbis, *Hic est filius meus dilectus, in quo mihi complacui.* Hunc Ariani negant, nos adorantes agnoscimus. Neque filium a verbo separamus, sed verbum ipsum filium esse confitemur per quem omnia facta sunt, nosque adeo ipsi liberati. Unde illud magnopere demirati sumus, quomodo vel levissima inter nos ea de re controversia moveri potuerit. Verum habendae deo gratiae sunt quod quantum ex illorum commentariorum lectione moeroris cepimus, tantum nobis eorumdem finis voluptatis attulerit. Siquidem mutua cum concordia discesserunt, eandemque fidei sinceritatem ac pietatem professi pacem retinuerunt. Quae me res potissimum post diuturnam deliberationem impulit ut haec pauca perscriberem. Verebar enim ne qui nobis gaudendi materiam consensione sua praebuissent iis silentium nostrum pro laetitia dolorem conscisceret. Quamobrem cum a te etiam atque etiam postulo, tum eos qui haec audient rogatos admodum cupio ut ea sincera cum conscientia percipiant, ac, si quid ad pietatem deest, emendare ac significare mihi ne graventur. Quod si minus pro rei dignitate perfecta, utpote rudis atque imperiti hominis videatur oratio, idipsum infantiae imbecillitatique nostrae condonandum existiment. Valete.

Cap. XIII.

Matth. 3, 17.

HACTENUS ATHANASII EPISTOLA.

Cum igitur haec a nobis producta sit epistola, ac non modo ex

Cap. XIV.

11. ἄρα *codd. mss.*
12. ταῦτα ἐκ τῆς *B.*
13. *Verba* ἐκ τῆς *absunt a cod. mss. et edit. princ.*
14. μέν τι πρὸς *B. Recte. In Epiphanii libris vulgo incisum post* τοῦτο.
15. μὴ κατ' ἀξ. *B.*
16. ἀσθενείᾳ. Προςαγόρευε πάντας τοὺς μετὰ σοῦ ἀδελφούς. Σὲ οἱ σὺν ἡμῖν πάντες προςαγορεύουσιν. Ἐρρωμένως ἐν κυρίῳ διάγοις, ἀγάπητε καὶ ἀληθῶς ποθεινότατε. *B.*
17. *Hoc* Ἔρρωσθε *in utroque codd. mss. rubro adpictum est, perinde atque illud* Πεπλήρωται *subscriptum quod sequitur.*

αὐτῶν ἠκούσαμεν, ἢ παρ᾽ ἑτέρων, κατὰ τῶν λεγομένων ὡρμήσαμεν γράψαι, ἀλλὰ καὶ πᾶσι φανερὸν κατέστη ὅτι οὐδένα ἐσυκοφαντήσαμεν, ἑξῆς [1] καὶ [2] ἐπιλήψομαι τῆς κατ᾽ αὐτῶν ὑποθέσεως, ἵνα ἐκπανταχόθεν μὴ ὑποληφθῶμέν τισιν ὡς συκοφαντοῦντες τοὺς ἡμετέρους ἀδελφούς, καί τοί γε εὐχόμενος αὐτοῖς καὶ εἰς δεῦρο διορθῶσαι τὰ δοκοῦντα ἡμᾶς
pag. 1008. λυπεῖν, ἵνα μὴ αὐτοὶ ἡμᾶς ζημιωθῶσι, μηδὲ ἡμεῖς αὐτούς. Πολλάκις γὰρ τοῦτο ἐπρεσβεύσαμεν καὶ παρεκαλέσαμεν, καὶ ἔτι ἐπιμένομεν παρακαλοῦντες, ἆραι τὴν φιλονεικίαν καὶ ἀκολουθῆσαι τῷ τῶν ἀποστόλων καὶ εὐαγγελιστῶν καὶ πατέρων θείῳ θεσμῷ καὶ ὁμολογίᾳ τῆς πίστεως τῆς ἀπεριέργου, καὶ ἑδραίας, καὶ ἀμετακινήτου, καὶ δικαιοτάτης ἐν πᾶσιν.

Ἄλλοι δὲ εἰς ἡμῶν ὦτα εἰρήκασιν ὅτι οὐ ταύτην τὴν ἡμετέραν σάρκα, οὐδὲ ὁμοίαν ἡμῶν ἐλθὼν ἔλαβεν ὁ κύριος, ἀλλὰ ἄλλην παρὰ τὴν ἡμῶν. Καὶ εἴθε κατὰ δοξολογίαν ἔλεγον, καὶ κατὰ ἔπαινον. Καὶ αὐτοὶ γάρ φαμεν ἅγιον εἶναι τὸ σῶμα καὶ ἄχραντον. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν [3] τῷ στόματι αὐτοῦ. Καὶ παντί τῳ δῆλόν ἐστι τοῦτο τῷ εὐσεβῶς περὶ Χριστοῦ λέγοντι καὶ νοοῦντι. Ἡμεῖς δὲ εἰ καὶ αὐτὸ τὸ σῶμα λέγομεν ὅπερ καὶ αὐτὸ [4] τῷ ἡμῶν εἴληφε παρ᾽ αὐτῷ, τὸ ἄχραντον αὐτοῦ σῶμα ἐν ἡμῖν τοῖς πεπλημμεληκόσιν οὐ διὰ τὸ ἀλλότριον εἶναι τὸ σῶμα καὶ ἀλλόκοτον τὸ ὑποδεὲς καὶ ἠλαττωμένον, ἀλλὰ διὰ τὰ ἡμῶν ἁμαρτήματα καὶ παραπτώματα, τούτου ἕνεκα. Οὐ γὰρ ἄλλο σῶμα ὁ κύριος ἔλαβε, καὶ ἄλλο ἡμεῖς ἔχομεν, ἀλλ᾽ αὐτὸ τὸ σῶμα ἐν αὐτῷ πεφυλαγμένον καὶ ἄχραντον διατετηρημένον.

Κεφ. ιε΄. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ ἄχρι τῆς δεῦρο φιλονεικίᾳ τινὶ φερόμενοι, ὑπονοίαις ἀλλοτρίαις προαχθέντες, οὐ κατὰ τὴν διδαχὴν τῶν πατέρων, οὐδὲ κατέχοντες τὴν κεφαλὴν τῆς πίστεως, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἀφῶν καὶ τῶν συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ θεοῦ, ὡς ὁ ἀπόστολος λέγει, ἀλλὰ τάχα ὡς ὑπὸ ἀλλοτρίων τινῶν θολωθέντες τὰς ἀκοὰς πλησιαιτέρως Οὐαλεντίνῳ καὶ Μαρκίωνι καὶ Μανιχαίῳ, καὶ αὐτοὶ δῆθεν εἰς τιμὴν Χριστοῦ φαντάζονται μᾶλλον ἤπερ ἀληθεύουσιν· ἐπὰν ἀκούσωσι παρ᾽ ἡμῶν ὅτι ἔσχε Χριστὸς σῶμα τὸ ἡμέτερον, εὐθὺς εἰς τοὺς μύθους τρέπονται

Cap. XIV. — 1. καὶ *cod. Rhedig.* δὲ *reliqui libri.*
2. ὑπολήψομαι *cod. Rhedig.*
3. τῷ *omiss. in ed. Petav. Colon. repet.*
4. *Libri habent* τὸ, *verbis ita fere distinctis* λέγομεν, ὅπερ - - παρ᾽ αὐτῷ τὸ ἄχρ. αὐτοῦ σῶμα, ἐν ἡμῖν κτλ. *Petavius in margine annotavit* „Vitium subest huic loco", *celerum intemptatum eum in medio reliquit. Cornarius vertit* Nos autem etiamsi ipsum corpus idem cum nostro suscepisse dicimus, tamen ipsius impollutum est corpus. In nobis vero qui peccavimus, inferius et imminutum est corpus, et non propterea *cett. Gatakerus Advers. Misc. p.* 812. *medelam*

iis quae vel ab illis vel ab aliis audivimus, ut adversus eos scriberemus inducti simus, sed et aliunde planum factum sit, nihil nos in ipsos calumniose contulisse, deinceps susceptam in illos disputationem repetam, ne vel tenuissimam de nobis calumniae contra fratres nostros suspicionem relinquam. Quamquam equidem hoc ipsorum caussa etiamnum precor, ut quae molestiae nonnihil nobis attulerint, aliquando corrigant, ne et illi nostri et illorum nos iacturam faciamus. Hoc enim saepenumero per legatos ab iis postulavimus hortatique sumus, et idem impetrare modo studemus, ut omni contentione sublata, apostolorum evangelistarum ac patrum divinis sanctionibus insistant, ac sincerae, solidae, inconcussae et undecumque iustissimae fidei professionem conservent.

Ceterum memini hoc a quibusdam ex illorum grege minus esse narratum, Christum dominum non hanc nostram assumpsisse carnem, sed diversi generis aliam. Quod utinam ex affectu laudandi honorandique iactarent. Nam et nos sanctum illud esse corpus illibatumque dicimus; quippe quod *nullum unquam peccatum commisit, nec* 1. Pet. 2, 22.
in eius ore dolus inventus est; quod quidem nemo non intelligit qui de Christo pie profiteatur ac sentiat. Verum etsi purum integrumque corpus illius, quod assumpsit, idem esse cum nostro fateamur, est hoc ipsum tamen in nobis, qui quidem peccavimus, conditione ac dignitate multum inferius, non quod alienum ab illo sit et abhorrens, sed quod peccata sunt a nobis delictaque quamplurima commissa. Quare non aliud ac nos habemus a Christo corpus assumptum est, sed idem omnino corpus est quod in illo servatum et ab omni contagione vindicatum est.

Praeterea sunt inter illos aliqui ad hoc usque tempus conten- Cap. XV.
tionis avidi ac perabsurdis opinionibus irretiti, non doctrinae patrum inhaerentes, *neque fidei caput retinentes, ex quo omne corpus per* Eph. 4, 16.
compages et vincula suppeditatum et coagmentatum augetur incremento dei, ut apostoli verbis utar, sed aures suas alienorum hominum narrationibus perturbari patientes, non dissimili ac Valentinus, Marcio Manichaeusque ratione, conficta quaedam, in honorem scilicet Christi, mendacia pro veris dogmatibus obtrudunt. Cum enim a nobis audiunt Christum nostro fuisse corpore praeditum, statim

proposuit hanc Ἡμεῖς δὲ καὶ αὐτὸ τὸ σῶμα λέγομεν, ὅπερ καὶ αὐτὸ τῷ ἡμῶν εἴληφε (*vel* αὐτὸ τῷ ἡμῶν τὸ σῶμα λ. ὅπερ κ. αὐτὸς εἴληφε) παρ' αὐτὸ [δὲ] τὸ ἄχρ. αὐτοῦ σῶμα, ἐν ἡμῖν *cett.*, *ut sensus esset* Nos autem etiamsi idem esse cum nostro corpus illud dicimus, quod ipse suscepit, at prae illo ipsius puro corpore, in nobis qui transgressi sumus, non quod alienum aut alius sit generis, deficiens ac inferius esse, sed peccatorum ac delictorum nostrorum tantummodo respectu.

τοὺς ἰδίους τῆς φιλονεικίας, λέγοντες ὄνυχας αὐτὸν ἐσχηκέναι, καὶ σάρκα, καὶ τρίχας, καὶ εἴ τι ἕτερον, οὐ τοιούτους δὲ ὁποίους ἡμεῖς ἔχομεν, ἀλλὰ ἄλλους ὄνυχας ἐσχηκέναι, καὶ σάρκας ἄλλας, καὶ τὰ ἄλλα πάντα οὐχ ὁποῖα ἡμεῖς ἔχομεν, ἀλλὰ ἀλλοῖα παρὰ τὰ ἡμέτερα· δῆ-
pag. 1009. θεν πάλιν βουλόμενοι σοφιστικῶς τῷ Χριστῷ χαρίσασθαι, κατὰ τὸν [1] Οὐαλεντῖνον καὶ τὰς εἰρημένας αἱρέσεις, τοὺς ματαίους λόγους. Λέγουσι γάρ, ὅταν Χριστοῦ ὁμολογήσωμεν τελείως τὰ πάντα, Περιέργως γέγραπται [2] περὶ τῶν τοιούτων τῶν περιεργαζομένων, καὶ μηδὲν ἐργαζομένων. Πτύροντες γὰρ τὴν διάνοιαν τῶν ἀκεραιοτέρων εὐθὺς λέγουσιν, Οὐκοῦν χρείαν ἔσχε τῶν κατὰ τῆς σαρκὸς συνήθειαν, ἢ τὰ πρὸς ἐκτοπισμὸν, ἢ τὰ πρὸς ἀφεδρῶνα, ἢ τὰ ἄλλα, ὅσαπερ δοκεῖ εἶναι σοφὰ, δεινὰ δὲ τυγχάνοντα, καὶ ληρώδη μᾶλλον, ὥς φησι ὁ προφήτης, Τίς γὰρ ἐζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Περὶ τίνος γὰρ τῶν ἁγίων, καί τοί γε ἀνθρώπων ὄντων τῶν προφητῶν, καὶ οὐ θεῶν, καὶ εὐαγγελιστῶν, καὶ λοιπῶν τῶν ἐκ ψυχῆς καὶ σαρκὸς ὄντων, καθ' ἡμᾶς δὲ ὄντων, καὶ μὴ ἀμφιβαλλομένων, ἐγράφη περὶ τῶν τοιούτων πραγμάτων; Ποῦ δὲ οὐχὶ μᾶλλον τὰ σεμνότερα ἐπεμαρτύρησε τοῖς ἁγίοις ἡ γραφὴ, μή τι γε κυρίῳ Χριστῷ;

Κεφ. ιϛ'. Λεγέτωσαν δὲ ἡμῖν οἱ ἐκθαμβηταὶ τῶν προβάτων, καὶ πτύρται τῶν περιστερῶν, καὶ σοβηταὶ τῶν τοῦ Χριστοῦ ἀρνίων τε [1] καὶ θρεμμάτων, Ποῦ παρεσκευάσθη Μωϋσῆς τὴν τεσσαρακονθήμερον; ποῦ τὰ πρὸς χρείαν ἐποιεῖτο Ἠλίας ἐν τῷ Χορρᾷ χειμάρρῳ, ὁπηνίκα ἄρτον μὲν τὸ πρωϊνὸν ἤσθιε, κρέα δὲ τὸ δειλινὸν ἀπὸ τῆς τῶν κοράκων παρακομιδῆς, διὰ θεοῦ προστάγματος; Ἠλίθιον γὰρ ἦν τὸ τὴν γραφὴν περὶ τούτων λέγειν, ὡς νῦν τούτοις ἠλίθιον τὸ ἐξετάζειν. Τίς γὰρ ὠφέλεια ἐν τοῖς τοιούτοις, ἢ τί τὸ χρήσιμον; ἀλλ' ἢ μόνον εἰς ἀπιστίαν τῆς προλήψεως προφάσεις διὰ ψυχρολογίας καὶ ἀνατροπῆς ματαίας ἔχον. Λεγέτωσαν δὲ πάλιν ἡμῖν, τίνι τῷ λόγῳ, ὅτε ἠθέλησεν ὁ θεὸς ἐποίησε τῶν υἱῶν Ἰσραὴλ ἐν τεσσαράκοντα ἔτεσι μήτε τὰς τρίχας [2] κομᾶσαι, μήτε τὰ ὑποδήματα παλαιωθῆναι, μήτε τὰ ἱμάτια κατατριβῆναι ἢ ῥυπανθῆναι. Μὴ [3] ἄρα καὶ οὗτοι ἀπ' οὐρανοῦ ἐληλύθεισαν; μὴ θεοὶ οἱ τοιοῦτοι ὑπῆρχον; Καί τοί γε οὐκ ἐν ἐπαίνοις ὑπάρχοντες, ἀλλ' ἐν πολλοῖς θεὸν παραζηλώσαντες; Μὴ οὐκ ἦσαν ὁμοιο-

Cap. XV. — 1. οὐαλεντινιάνον cod. Rhedig.

2. Corrigendum puto παρὰ τῶν. Petavius suspicatus est ὅταν περὶ Χρ. ὁμολ. τελείως, τὰ πάντα περίεργα, ὡς γέγρ. περὶ κτλ. Cornarius vertit dicunt enim, cum Christi omnia perfecte confessi fuerimus, et dixerimus quod curiose scriptum est de talibus ab huiusmodi perscrutantibus, et nihil efficientibus.

ad inanes ac pertinaciae suae consentaneas sese fabulas transferunt. Nam ungues illum et carnem ac capillos, ceteraque omnia non eiusmodi qualia in nobis insunt, habuisse praedicant, sed ungues a nostris diversos, itidemque carnem ac reliqua id genus non similia nostrorum, sed ab iis longe discrepantia. Nimirum ut Valentini ac celerarum quas antea commemoravimus haereseon more cavillatoria quadam argutia Christo gratificari videantur. Unde cum ea omnia quae insunt in Christo perfecte absoluteque profiteamur, multa illi de eodem absurde ac curiose disputare solent. De quo hominum genere, qui cum multarum rerum satagant, nihil tamen agunt, scriptura meminit. Etenim quo rudiorum animos quodam velut horrore perfundant, haec identidem obiiciunt: Ergo istiusmodi corporis necessitatibus, quae ei familiares sunt, obstrictus fuit, qualis egestio est ac secessus? Addunt et alia pleraque, quae callida ac subtilia videntur, sed horrenda otiosorum hominum ludicra sunt. Nam, ut ait propheta, *quis haec e manibus vestris requisivit?* De **Esai. 1, 12.** quonam vero ex omnibus sanctis, tametsi homines essent prophetae, non dii, ut et evangelistae ceterique, qui ex anima et carne constabant, ac sine ulla dubitatione nostri similes erant, quis horum, inquam, extitit de quo eiusmodi quaedam conscripta fuerint? Nonne potius honestissima quaeque de sanctis, nedum de Christo domino, scriptura testatur?

Cap. XVI. Dicant nobis ii qui et oves absterrent, et columbas abigunt, et Christi agnos ac pecora fugant, ubinam Moyses totis illis quadraginta diebus ventrem exoneraverit? quonam ad secessum abierit Elias ad torrentem Chorra, cum mandato dei, quae a corvis afferebantur cibaria, hoc est *matutino tempore panem, vespere carnes comederet.* **3. Reg. 17, 6.** Nimirum stultum erat haec a scriptura commemorari, quemadmodum et illos modo perscrutari stultum est. Quae enim ex iis utilitas percipi potest? quis animi fructus? quae eo tantum spectat ut ad praesumptae cuiusdam opinionis infidelitatem adstruendam inanissimas occasiones frigidis illis nugis et ad animorum eversionem idoneis suppeditet. Velim et hoc porro nobis edisserant, quanam ratione deus, cum voluit, id egerit ut Israëlitarum totos quadraginta annos neque pili crescerent, nec inveterarent calcei, neque vestes altererentur, aut sordibus obsolescerent? An et isti de coelo descenderant? aut dii scilicet erant aliqui? Atqui ne laudantur illi quidem, sed divinum numen in plerisque provocarunt. An non

Consternantes enim mentem simpliciorum statim dicunt *cett.*

Cap. XVI. — 1. καὶ *om. in ed. Petav. Colon. repet.*
2. χομάσαι *ed. Petav.*
3. ἄρα *codd. mss.*

pag. 1010. παθεῖς ἡμῖν; Ἀλλ' ἵνα δείξῃ ὁ θεὸς ὅτι τὰ πάντα ἐν αὐτῷ δύναται καὶ ἐγχωρεῖ γίνεσθαι καὶ μὴ γίνεσθαι. Ἵνα γὰρ μή τινες εἰς ἐκείνους πάλιν λογίσωνται τὰ ὑπὲρ φύσιν, διὰ τὰ αὐτοῖς ἐν θαυμασμῷ γινόμενα παρὰ θεοῦ, τουτέστιν ὅτι τρίχες οὐκ ἐκόμων, [4] καὶ ἱμάτια οὐκ ἐπαλαιοῦντο, καὶ τὰ ἄλλα, καὶ ὅτι ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, εἰς ἡμῶν χάριν ἀσφαλισάμενον τὸ θεῖον γράμμα φησὶ, Λαβέτω ἕκαστος πάσσαλον σιδηροῦν ἐν τῇ ζώνῃ ἑαυτοῦ, ἵν' ὅταν εἰς τόπον καθιζάνῃ, σκάψῃ, καὶ χώσῃ τὴν ἰδίαν κόπρον, ὅτι λαὸς ἡγιασμένος ἐστὶ, καὶ κύριος ἐνδημεῖ εἰς μέσον τῆς παρεμβολῆς. Εἰς τοῦτο δὲ καὶ ἱστορίαν παῖδες Ἑβραίων παραφέρουσιν, ὅτι διήρκεσεν αὐτοῖς ὁ τύπος ἄχρι τινὸς καιροῦ, ἕως ὅτου ὁ θεὸς ἠθέλησε δεῖξαι ἐν αὐτοῖς τοῦτο τὸ θαῦμα, καί τοί γε αὐτῶν ἐσθιόντων καὶ κρέα καὶ ὀρτυγομήτραν, συμβεβηκέναι αὐτοὺς μήτε τούτου χρείαν ἔχειν.

Κεφ. ιζ'. Καὶ εἰ παρὰ τοῖς Ἑβραίοις διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν δόξαν, ἤτοι κατὰ πρόσθεσιν χαριστικῶς, ἤτοι κατὰ ἀλήθειαν τοῦτο ᾄδεται, καί τοί γε αὐτῶν εἰδότων ὅτι καὶ ἄνθρωποι ἦσαν οἱ πρὸς αὐτῶν συνηγορούμενοι καὶ φθαρτοὶ, καὶ οὐ θεοὶ, καὶ ἐκ σαρκὸς καὶ αἵματος καὶ ψυχῆς, τίς παρὰ τούτων ἀνέξεται ἀκούων [1] τὰ οὐκ ἀτόλμητα περὶ Χριστοῦ τοῦ ἄνωθεν ἐλθόντος θεοῦ λόγου καὶ τῆς αὐτοῦ ἐν ἅπασιν ἐνδόξου καὶ ἀληθινῆς ἐνσάρκου παρουσίας; Ἐν ᾗ ἐπλήρωσε τὸ εἰρημένον, Πεπειραμένος κατὰ πάντα ὡς ἄνθρωπος, χωρὶς ἁμαρτίας. Ἐξῆν γὰρ αὐτῷ [2] ἐν ἀληθείᾳ ἔχοντα σάρκα τὴν ἡμετέραν μὴ πράττειν τὰ δοκοῦντα ἡμῖν εὐτελῆ, καὶ πράττειν ὁποῖα σεμνὰ ἐτύγχανε, καὶ πρέποντα ἀναλόγως τῇ θεότητι, δι' οὗ καὶ οἱ υἱοὶ Ἰσραὴλ οὐκ [3] ἐκόμησαν, καὶ τὰ ἱμάτια αὐτῶν οὐκ ἐρυπάνθη, καὶ ταῦτα κατὰ παράδοσιν αὐτοῖς συμβέβηκεν. Ὅτι δὲ καὶ ἱμάτια εἶχεν ἐξ ἀνθρώπων κατεσκευασμένα, ἀναμφίβολον. Διεμερίσαντο γὰρ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ ἔβαλον κλῆρον. Εἰ δὲ ἱμάτιον [4] ἦν ἐξ ἀνθρώπων, δηλονότι ἐξ ἐρέας ἦν καὶ ἐκ λίνου· τὰ δὲ ἐκ λίνου καὶ ἐξ ἐρέας γεγεννημένα ἄψυχά τινα ἦν καὶ ἀναίσθητα. Ἀλλ' ὅτε ἠθέλησε δεῖξαι αὐτοῦ τὸ δυνατὸν τῆς θεότητος, μεταμορφωθεὶς
pag. 1011. ἔδειξε τὸ πρόσωπον αὐτοῦ ὡς τὸν ἥλιον, καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡσεὶ χιόνα. Πάντα γὰρ τῷ δυνατῷ δυνατὰ εἰς τὸ [5] ὑπὸ θίξιν παρὰ προσδοκίαν καὶ τὰ ἀναίσθητα καὶ τὰ ἄπνοα εἰς δόξαν καὶ φαιδρότητα μετασκευάσαι, ὡς τὴν ῥάβδον Μωϋσέως, ὡς τὰ ὑποδήματα τῶν υἱῶν Ἰσραήλ. Πᾶσι γὰρ ὡμολόγηται ὅτι οἱ ἀπόστολοι ἅγιοι ἄνθρωποι ἦσαν,

4. καὶ *omiss. in ed. Petav. Colon. repet.*

Cap. XVII. — 1. *Corrigo* ταῦτα ἀτόλμητα.

2. ἐν *omiss. in ed. Petav. Colon. repet.*

3. ἐκομοῦσαν *codd. mss. uterque et edit. princ.*

4. ἦν *omiss. in ed. Petav. Colon. repet.*

5. ὑπὸ θίξιν *Petavii emendatio est.* ὑποθήξειν *codd. mss. et ed. princ. Quid Cornarius putaverit facile ex translatione eius apparet* ut ostendat et ea quae sunt praeter expectationem, et sensus exper-

igitur iisdem erant nobiscum affectionibus obnoxii? Verum omnia se posse per sese, fierique ipsius nutu, vel non fieri posse deus ostendere voluit. Ac ne fortassis aliqui ob stupenda illa prodigia, quae in illorum gratiam a deo facta fuerant, amplius quiddam humana conditione in illis extitisse crederet, ut huic errori nostra caussa consuleret, scriptura sacra sic praecipit: *Habeat unusquisque* Deut. 23, 13. *paxillum ferreum in zona sua, ut cum in aliquo loco desederit, fodiat, et stercus suum operiat: quoniam populus sanctus estis et dominus habitat in medio castrorum.* Quam in rem Hebraei quandam historiam commemorant, figuram illam ac typum aliquanto temporis spatio perseverasse, quamdiu deus in his hoc prodigium efficere voluit. Ac licet carnibus et coturnicibus vescerentur, nunquam tamen per illud tempus eiusmodi naturae necessitates expertos illos fuisse.

Cap. XVII. Iam vero si a Iudaeis ad maiorum suorum decus et gloriam, vel ad gratiam, ista finguntur, vel ex rei veritate praedicantur, quamquam homines illos fuisse quorum dignitatis patrocinium susceperunt, et corruptibiles, non deos sed ex carne sanguine animaque compositos extitisse non dubitemus, quis tam atrocia et horrenda de Christo deique verbo coelitus allapso ac de gloriosa veraque ipsius incarnatione iactari ab illis patienter audiat? Qua quidem in incarnatione illud, quod dictum est, implevit, *Tentatus per omnia ut* Hebr. 4, 15. *homo, absque peccato.* Etenim licet nostra carne praeditus foret, poterat nihilominus illa ipsa, quae a nobis habentur vilia, praetermittere, eaque praestare solum, quae honestiora ac divinae maiestati congrua videbantur, utpote per quem et Israëlitarum capilli non excreverint, nec eorum vestimenta sordes contraxerint; quae omnia, si traditioni credimus, illis acciderunt. Quod autem vestes hominum manibus contextas Christus habuerit, extra omnem controversiam est. *Partiti sunt enim vestimenta eius, et super vestem* Ioann. 19, 14. et Psalm. 21, 19. *eius miserunt sortem.* Quod si hominum artificio vestis erat illa confecta, utique e lana linoque contexta fuerat. Quae autem ex lino essent lanave facta, opinor anima ac sensu carebant. Verum ubi divinitatis suae potentiam indicare visum est, transformato corpore, *Faciem suam solis instar splendentem, ac vestimenta sua nivis more candentia monstravit.* Nihil est enim non praepotenti deo possibile, ut vel ea quoque, quae sensu ac spiritu careant, momento, ac praeter omnem expectationem in gloriam possit splendoremque convertere. Quemadmodum in Moysis virga, et Israelitarum calceamentis ostendit. Est enim apud omnes in confesso apostolos san-

tia ac inania ad gloriam ac claritatem transmutet. *Haer.* 31, 1. *dixit* ὑπὸ μίαν θίξιν, *haer.* 64, 66 *et* 69. *simplicitur* ὑπὸ θίξιν, *uti h. l.*

φθαρτοὶ τὰ σώματα [6] εἰς ἡμᾶς, ἄφθαρτοι δὲ διὰ τὴν ἐνοικήσασαν αὐτοῖς θεοῦ δόξαν. Καὶ σκιὰ μὲν Πέτρου πάντας τοὺς προςφερομένους ἔχοντας ἀσθενείας ἰᾶτο· καὶ σουδάρια καὶ σιμικίνθια τῶν ἱματίων Παύλου δυνάμεις ἐργάζονται.

Κεφ. ιη΄. Καὶ πῶς οὗτοι θεὸν πολυπραγμονοῦσιν αἰσχράς τινας ὑπονοίας τεκταινόμενοι, [1] περὶ ὧν οὐδεμία χρεία γεγέννηται πώποτε πρὸς διαλογὴν, οὐ προφήτῃ, οὐκ εὐαγγελιστῇ, οὐκ ἀποστόλῳ, οὐ συγγραφεῖ; Ὅσα γὰρ τοιαῦτα οὗτοι λέγουσι, κἂν μυρία ἐπέκεινα τούτων κακῶς ὑπονοήσωσιν, οὐκ ἀνατρέψουσι τὴν πατρικὴν ἡμῶν πίστιν, τὴν τῇ ἀληθείᾳ Χριστὸν καταγγέλλουσαν. Ἐγεννήθη γὰρ Χριστὸς ἐν σαρκὶ κατὰ ἀλήθειαν ἀπὸ Μαρίας τῆς ἀειπαρθένου διὰ πνεύματος ἁγίου, καὶ εὐθὺς ἀπὸ κυήσεως Ἐμμανουὴλ καλεῖται, ὅ ἐστι θεὸς μεθ' ἡμῶν. Οὐκέτι δεύτερον γεννᾶται. Καὶ ἀπέδρα εἰς τὴν Αἴγυπτον τὸ παιδίον μετὰ Ἰωσὴφ καὶ Μαρίας, ἐπειδὴ ἐζήτουν τὴν ψυχὴν τοῦ παιδίου, ὡς δυναμένου αὐτοῦ ἐν σαρκὶ ἀποκτανθῆναι. Ἀλλὰ προςεκυνήθη ὑπὸ τῶν Μάγων ὡς θεὸς ἀληθινὸς, ἐν σαρκὶ γεννηθεὶς, καὶ οὐ δοκήσει. Καὶ ἀνελθὼν ἀπὸ Αἰγύπτου κατὰ φόβον τοῦ Ἰωσὴφ οὐκ εἰςῆλθεν εἰς Ἱερουσαλὴμ, δι' Ἀρχέλαον, ὡς δυναμένου τοῦ παιδίου κρατηθῆναι καὶ πρὸ τοῦ καιροῦ ἐν σαρκὶ παθεῖν ὅπερ ἔμελλε πάσχειν. Ἀλλὰ διεκωλύθη ὑπὸ Ἰωάννου, ἐπιγνωσθεὶς ὑπὸ τοῦ δούλου δεσπότης ὅτι θεὸς ἦν ἐνανθρωπήσας ἐν ἀληθείᾳ. Οὐ κατεδέξατο δὲ τὴν τοῦ ἰδίου δούλου ἐν τῇ τοιαύτῃ ὑποθέσει τιμὴν, ἵνα πληρώσῃ πᾶσαν δικαιοσύνην ἐν σαρκὶ, ἐν ἀληθείᾳ καὶ τελείᾳ ἐνανθρωπήσει, τὸν ὑπογραμμὸν τῆς σωτηρίας ἡμῖν ὑπολιμπάνων. Ἀλλὰ καὶ κέκμηκεν [2] ἀπὸ τῆς ὁδοιπορίας ἐν ἀληθείᾳ, καὶ οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκαθέσθη. Διότι
pag. 1012. [3] ἀληθινῶς, ὡς ἐνηνθρώπησεν, ἐβόα λέγων, Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἵνα δείξῃ τὴν αὐτοῦ θεότητα ἱκανὴν οὖσαν πάντα τὰ πλήθη τοῦ κόσμου τὰ πρὸς αὐτὸν ἀφικνούμενα ἀναπαῦσαι. Ἀλλὰ καὶ ἐπειράσθη ὑπὸ τοῦ διαβόλου, καὶ ἔμεινε τεσσαράκοντα ἡμέρας μήτε ἐσθίων, μήτε πίνων, ἵνα δείξῃ τὸ ἀνενδεὲς τῆς αὐτοῦ θεότητος. Οὐ γὰρ πεινῶν ὑπέμεινεν, ὡς φιλοσοφικῶς καθ' ἡμᾶς ἐγκρατευόμενος, καὶ αὐτὸν ἄγχων καὶ βιαζόμενος, ἀλλὰ ἀνυστερήτως, διὰ τὴν ἀληθινὴν αὐτοῦ θεότητα. Καὶ ὕστερον, φησὶ ἡ γραφὴ, ἐπείνασεν. Ἵνα δείξῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν τῆς θεότητος, ἐνδιδούσης τῇ ἐνσάρκῳ παρουσίᾳ τῶν εὐλόγων χρειῶν καὶ ἀληθινῶν μετέχειν, ἵνα μὴ τὸ ἀληθινὸν τῆς ἀκολουθίας ἀφανίσῃ

6. ὡς ἡμεῖς *coniecit Petavius. Cornarius recte vertit* corruptibiles corporibus quoad nos.

Cap. XVIII. — 1. ἐπὶ *vitium est ed. Petav. Colon. repet.*

2. ὑπὸ *cod. Rhedig.*

3. ἀληθινῶς, ὡς ἐνηνθρώπησεν, ἐβόα *de coniectura mea reposui; libri habent* ἀληθινῶς ἐνηνθρώπησεν, ἐβόα. *Petavius putavit* ἀληθινῶς ἐνηνθρώπησεν καὶ ἐβία. *Cornarius vertit* eo quod vere homo factus erat et clamabat dicens.

ctissimos homines fuisse eosdemque corporibus perinde ac nos, corruptibiles et praeter divinam gloriam, quae in illis insidebat, incorruptos extitisse. Quamobrem et umbra Petri oblatis aegris omnibus sanitatem contulit, et sudaria ac semicinctia e Pauli vestibus admiranda quaedam prodigia praestiterunt. Act. 5, 15. Act. 19, 12.

Quid vero attinet homunciones istos quaedam subturpia cogitatione fingentes in divinum numen curiosius inquirere, cum de his nullus propheta vel evangelista vel apostolus, vel alterius generis scriptor disputare sibi necessarium duxerit? Enimvero quicquid illi narrant, ac licet infinita alia praeterea falsa sine opinione confingant, nunquam tamen traditam a maioribus nostris fidem, quae de Christo sincere omnia praedicat, poterunt evertere. Christus enim ex Maria virgine secundum carnem revera de spiritu sancto genitus est. Ac statim post partum Emmanuel, hoc est Nobiscum deus appellatur, nec iam secundo gignitur. Post haec infans in Aegyptum cum Iosepho ac Maria transfugit, *quoniam quaerebant animam pueri*, ut illud argumento sit illum in carne necari potuisse. Verum a Magis adoratus est, tanquam verus deus carne ipsa, non sola specie adumbrationeque natus. Deinde cum ex Aegypto revertisset, Archelaum adhuc metuente Iosepho Hierosolymam non adiit, utpote cum et infans comprehendi posset, et ante tempus in carne perpeti, quae erat aliquando passurus. Praeter haec a Ioanne prohibitus est, cum dominum servus agnovisset deum esse hominis natura revera praeditum. At is habitum sibi honorem a servo in eo genere detrectavit omnem in carne ex rei veritate, ut in perfecta hominis natura iustitiam impleret. Qua in re salutare nobis exemplum reliquit. Quinetiam vere de via fatigatus est, nec fatigatus modo, sed etiam prae lassitudine resedit. Adhaec quoniam non ficte hominis naturam susceperat, contenta voce clamavit, *Venite omnes, qui laboratis et onerati estis, et ego reficiam vos;* ut ad omnes orbis terrarum homines, qui ad sese confugerent, recreandos idoneam esse divinitatem suam ostenderet. Praeterea tentatus a diabolo est, et quadraginta dies sine ullo cibo potuque permansit, ut eandem divinitatem nullius rei indigere monstraret. Neque enim tum famem sustinebat, quasi severiori quodam vitae instituto sibi abstinentiam indixisset, seseque inedia cruciare ac perdomare vellet, sed tanquam veram in sese divinitatem habens nullius egebat, *Postea* tamen, ut scriptura narrat, *esuriit;* qua ratione vere se hominem factum esse significavit, cum assumptum a se corpus veris ac rationi consentaneis necessitatibus obnoxium esse divina natura voluisset, ne, quod ex ipsa revera consequens esse videbatur, veram

Cap. XVIII. Matth. 1, 23. Matth. 2. Matth. 3, 14. Ioann. 4, 6. Matth. 11, 28.

τὴν ἀληθινὴν ἐνανθρώπησιν. Καὶ γὰρ καὶ ἐπὶ τῆς συκῆς ἐπείνασε, [4] καὶ πηλὸν ἀληθινὸν ἐποίησεν. Ἀλλὰ λόγον εἶπε πρὸς τὴν συκῆν ὁ θεὸς, καὶ ἐγένετο. Καὶ ἐπὶ τῆς νηὸς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ ἐπαύσατο. Καὶ διὰ τοῦ πτύσματος καὶ πηλοῦ, τῷ λόγῳ τῆς αὐτοῦ θεότητος καὶ τῷ πτύσματι τῆς αὐτοῦ ἐνανθρωπήσεως καὶ τῷ πηλῷ πάλιν, ὡς τῷ Ἀδὰμ, καὶ τούτῳ τὸ ἐλλιπὲς μέλος πλάττων ἐχαρίσατο, τῶν πάντων τελείων ἐν αὐτῷ ὄντων, ἐν σαρκὶ πασχόντων, ἐν θεότητι δὲ ἀπαθῶν ὄντων, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν, ὅλως μὴ πάσχων λοιπὸν, ὅλως μηκέτι ἀποθνήσκων.

Κεφ. ιθ'. Εἰ δέ τινες διὰ τὸ μὴ ἀπὸ σπέρματος ἀνδρὸς τὸ σῶμα αὐτὸν εἰληφέναι ἀλλοῖον νοήσουσιν, οὐ πάντως διὰ τοῦτο οὐκ ἔστι κατὰ τὸ ἡμέτερον σῶμα. Ἐξότε γὰρ ἀπὸ Μαρίας ὡμολόγηται, ἡμέτερον ἦν. Καὶ γὰρ Μαρία οὐκ ἄλλη ἦν παρὰ τὰ ἡμέτερα σώματα, ἐπεὶ καὶ ὁ Ἀδὰμ οὐκ ἀπὸ σπέρματος ἀνδρὸς ἦν, ἀλλ' ἐκ τῆς γῆς πεπλασμένος. Καὶ οὐ πάντως, ἐπειδὴ ἀπὸ τῆς γῆς ἦν, καὶ οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλοῖος ἦν παρὰ τὰ ἡμέτερα σώματα. Ἡμεῖς γὰρ ἐξ αὐτοῦ γεγεννήμεθα, καὶ οὐκ ἐσμεν ἀλλοῖοι παρὰ τὸ ἐκείνου σῶμα, καί τοί γε ἐκ σπέρματος ἀνδρὸς καὶ ἀπὸ μήτρας γυναικὸς γεγεννημένοι. Ἀλλὰ ταῦτα μέν τινες σοφιζόμενοι πολλάκις, καὶ ἐν τῇ διανοίᾳ ἔχοντες, ἐκ
pag. 1013. τοῦ προκειμένου ἐξέπεσον, τινὲς δὲ πάλιν ἐξ αὐτῶν τῶν πρὸς ἡμᾶς ἐρχομένων, ἄλλα μυρία καὶ ἐπέκεινα περιττολογοῦντες τὸν ἄνδρα τὸν ἐν πολλοῖς ἐπαίνοις φημιζόμενον διέβαλλον, καὶ τῷ μὲν ὄντι περιττότερον, οἶμαι, τοῦ δέοντος, ἢ κατὰ ἰδιωτίαν, ἢ [1] κατ' ἀπαρακολουθησίαν, ἢ [2] παρ' αὐτοὺς ἐξερχόμενοι καὶ ἀποφθεγγόμενοι, τὴν ταραχὴν εἰργάσαντο. Ἀλλὰ νῦν μοι περὶ τῶν περιττῶν ἕως ὧδε ἀρκείτω ὁ λόγος, συνιόντων τῶν ἐντυγχανόντων ὅτι οὔτε φθόνῳ τετηκότες, οὔτε μίσει τῷ πρὸς τὸν ἄνδρα. Εὐχόμεθα γὰρ αὐτὸν μὴ μερισθῆναι ἀπὸ τῆς τοῦ Χριστοῦ ἐκκλησίας, καὶ τῆς γλυκύτητος τῆς πάσης ἀδελφότητος, ἀλλὰ ἀποθέσθαι αὐτὸν τῆς τοῦ λόγου τούτου φιλονεικίας τὴν ἔνστασιν, καὶ ἐπιστρέψαι κατὰ τὸ εἰρημένον, Ἐπίστρεφε, [3] ἐπίστρεφε, ἡ [4] Σουναμῖτις, ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί. Ὅμως περὶ τοῦ προκειμένου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας.

Κεφ. κ'. Τελείαν οὐ βούλεται λέγειν τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, ἀλλὰ καὶ τὴν σωτηρίαν ἀποκρούεταί τινων, φόβον ἐμποιῶν, καὶ λέ-

4. *Verba* καὶ πηλὸν ἀληθινὸν ἐποίησεν *verba vir quidam doctus, cuius manus in margine exempli Schottiani hic illic conspicua, delenda h. l. et post* καὶ ἐπαύσατο *relegenda esse censuit.*

Cap. XIX. — 1. κατ' ἀπαρακολουθησίαν *correxit Petavius. Libri habent vulgo* κατὰ παρακολουθησίαν. *Vocabulo* ἀπαρακολουθησία *usus erat Epiphanius etiam haer.* 59, 3.

humanae naturae conditionem extingueret. Unde et ad ficum arbo- Matth.
rem esuriit, et verum lutum fecit. Ad eandem vero illam ficum 11, 13. Ioann. 9, 6.
cum nonnulla dixisset, ea, uti dixerat, acciderunt. Item in navi- Luc. 8, 24.
gio cum ventum increpasset, hic subito desiit. Tum vero sputo Ioann. 9.
suo ac luto, et cum divinitatis suae sermone, tum hominis, quem
assumpserat, sputo, luto, inquam, sicut Adamo quondam, ita
caeco illi quod ad integritatem deerat membrum finxit ac reddidit.
Si quidem in eo erant omnia perfecta, adeo ut in carne paterentur,
in divinitate vero pati nihil possent, donec a mortuis excitatus est, Rom. 6, 9.
nihil amplius omnino patiens, neque moriens omnino.

Quod si nonnulli, pro eo quod e virili satu corpus non acce- Cap.
perit, diversi cuiusdam esse generis arbitrentur, non est quod pro- XIX.
pterea nostri corporis esse dissimile putent. Postquam enim e Maria
natum esse extra dubitationem omnem est, nostrum fuisse necesse
est, Maria quippe non alterius quam cuius corpora nostra sunt con-
ditionis extitit. Nam et Adamus a viro genitus non fuit, sed e terra Gen. 1.
formatus, nec ideo sequitur quod non e virili satu, sed de terra
prodierit, diversam quandam a nostris corporibus naturam esse sor-
titum. Etenim nos ab illo geniti ab eiusdem corpore diversi non
sumus; tametsi e virili satu fuerimus, ac mulieris utero propagati.
Sed haec nonnulli subtilius identidem tractantes, et in animo ver-
santes, a scopo penitus aberrarunt. Alii porro ex iis, qui ad nos
ventitabant, infinita quaedam aliis deblaterantes, virum laudatissi-
mum suis criminationibus traducebant, ac vehementiorem quidem,
quam par erat, tumultum concitarunt, sive ex inscitia, sive quod
ab eo dictum erat minime percepissent, et ab eo digressi quae audie-
rant dogmata praedicarent. Verum de supervacaneis hisce quae-
stionibus hactenus. Illud vero lectores omnes intellecturos arbitror,
nulla nos aut invidia aut odio in hominem esse commotos. Istud
enim inprimis optamus ac petimus, ut ne ab ecclesia Christi atque ab
suavissima fratrum societate divellatur, sed ut eiusmodi dogmatis
nimium studium contentionemque deponat, ac sese ad meliora con-
vertat, sicut scriptum est, *Revertere, revertere, Sunamitis, revertere,* Cant. 6, 12.
et videbimus in te. Redeo iam ad id quod initio proposueram, et
quod consequens est attexam.

Negat a Christo perfectam hominis naturam esse susceptam. Cap.
Imo et nonnullos ab omni spe salutis deiicit, vehementer illos terri- XX.

2. *Mallem* παρ' ἑαυτοὺς *sive* παρ' αὑτοὺς. *Cornarius vertit* aut a se ipsis recensentes ac proferentes turbam commoverunt. *Petavius volebat* παρ' αὐτοῦ.

3. *Alterum hoc* ἐπίστρεφε *desideratur in edit. Petav.*

4. σουμανῖτις *cod. Ien.* σουμανίτις *edit. princ.*

γων ὅτι οὐ δεῖ τέλειον ἄνθρωπον τὸν αὐτὸν ἀνειληφέναι λέγειν, δῆθεν ἀπὸ τοῦ ῥητοῦ εἰρημένου, Ἀναλαμβάνων πραεῖς ὁ κύριος. Οὐδὲν δὲ θαυμαστὸν, οὔτε διαφθοράν τινα ἐν τούτῳ τις ἔχει δεῖξαι, τῷ εἰπεῖν ἀναλαβεῖν σάρκα τὸν κύριον, ἢ λαβόντα τελείαν ἐνανθρώπησιν, ἢ ὥςπερ πολλάκις ἐν ἡμῖν ὁμωνύμως πολλαὶ λέξεις τυγχάνουσιν. Ἀναλαμβάνων γὰρ, φησὶ, πραεῖς ὁ κύριος, καὶ, Ἀνέλαβέ με ἐκ τῶν ποιμνίων τῶν προβάτων, καὶ, Ἀνελήφθη, καὶ εἶπον δύο ἄνδρες, Τί ἑστήκατε, ἄνδρες Γαλιλαῖοι; οὗτος ὁ ἀφ' ὑμῶν ἀναληφθείς. Καὶ οὐ πάντως τὸ ἀναλαβεῖν μίαν ἔχει διαφορὰν, ἐν τῷ λέγειν, Ἀνέλαβεν, ἢ, Ἔλαβεν, ἢ, Ἀνεπλάσατο εἰς ἑαυτὸν τὴν ἰδίαν ἐνανθρώπησιν· οὐκ ἀπὸ τῆς λέξεως ἡμᾶς ταύτης πτύρουσιν οἱ βουλόμενοι κατὰ τῶν ἀκεραίων ἐπεγείρεσθαι. [1] Καὶ οὕτως χρὴ λέγειν, καὶ μή τις νομίσῃ διαβάλλειν ἡμᾶς, ἢ χλευαστικῶς λέγειν περὶ τῆς ὑποθέσεως ταύτης τὰ ῥήματα. Πολλάκις γὰρ ἐσκεψάμην περὶ τούτου γράφειν, ἵνα μή τις νομίσῃ ἡμᾶς κατ' ἔχθραν κατ' αὐτοῦ ἐπεγείρησθαι. Οὐδὲν γὰρ ἡμᾶς οὐδεὶς ἔβλαψεν, ὡς κατὰ τὸ ἀνθρώπινον λέγω, οὐδὲ τὰ ἡμῶν ἐν κόσμῳ ἀφήρπασεν. Σκεπτόμενος δὲ τοῦ μὴ γράφειν, ἠναγκάσθην ὑπ' αὐτῆς
pag. 1014. τῆς ἀληθείας, [2] ἵνα μὴ παραλείψω τῶν παρὰ τὴν πίστιν τι πεφρονηκότων· ὡς καὶ ὕστερον οἱ θεοσεβεῖς ἐντυχόντες ἐπιγνώσονται, ὅτι οὐχ ἕνεκα ζήλου κοσμικοῦ ἡμῖν ὁ λόγος. Μᾶλλον γὰρ ὠφελεῖ ἡμᾶς ὁ ἀνὴρ τὰ μέγιστα τῶν κατὰ κόσμον καὶ κατὰ τὴν ἀγάπην, εἴπερ ὁμοφρόνως τῇ ἁγίᾳ θεοῦ ἐκκλησίᾳ κατὰ πάντα τοῖς πᾶσι συνετίθετο, καὶ μὴ ξένον τι παρεισήγαγε ῥῆμα. Ἤτοι οὖν παρ' αὐτῷ, ἢ τοῖς παρ' αὐτοῦ μεμαθητευμένοις ὁ λόγος ἄλλως νοούμενος διὰ τοῦ τοιούτου σχήματος καὶ προφάσεως ἐν παρόδῳ ᾄδεται, οὐκ ἔχω λέγειν. Πολλάκις δὲ διενοήθημεν, καὶ ἔκπληκτοι γεγόναμεν, ὅτι ἕνεκεν τοῦ λόγου τούτου ἡ ἔνστασις τῆς φιλονεικίας καὶ τοῦ ἀγῶνος ἕως θανατοῦ παρ' αὐτῶν ἐκδικεῖται. Καὶ ἐκ τούτου ἔγνωμεν ὅτι τάχα περιττοτέρᾳ τινὶ ὑπονοίᾳ παρ αὐτοῖς ὁ λόγος ᾄδεται.

Κεφ. κα΄. Ὅταν γὰρ ἐρωτήσῃς τινὰς ἐξ αὐτῶν, διαφόρως μὲν οἱ πάντες ἀναγγέλλουσι. Τινὲς δὲ λέγουσι μὴ τελείαν εἰληφέναι τὸν κύριον ἐνανθρώπησιν, μηδὲ τέλειον αὐτὸν γεγονέναι ἄνθρωπον. Ἐπειδὴ δὲ τοῦτο φευκτὸν ἐγίνετο πολλοῖς, λοιπὸν ὕστερον εἰρωνείᾳ ἐκέχρηντο, ὡς ὕστερον ἐκ τοῦ στόματος [1] αὐτῶν ἀκριβῶς μεμαθήκαμεν. Ἐπὶ τῆς Ἀν-

Cap. XX. — 1. Καὶ *omiss. in edit. Petav. Colon. repet.* 2. *Scribendum forlasse* μή τινα. *Petavius putavit* ἵνα μηδένα.

tans ac dicens non esse quod perfectam illum hominis naturam assumpsisse dicamus. Hoc vero potissimum scripturae testimonio nititur, *Suscipiens mansuetos dominus.* Verum nihil admodum his in Psalm. 146, 6.
verbis admiratione dignum est, nec ulla potest in eo diversitas ostendi, quod carnem dominus aut perfectam hominis naturam suscepisse dicatur. Nam a nobis saepius nonnullae dictiones homonymos usurpantur, velut ista sunt, *Suscipiens mansuetos dominus,* Psalm. 77, 70.
et, *Suscepit me de gregibus ovium,* item illud, *Assumptus est; et duo* Act. 1.
viri dixerunt, Quid statis, viri Galilaei? Hic, qui assumptus a vobis, etc. Nec in illo *assumendi* vocabulo inest ulla varietas, si dicamus, *Assumpsit*, aut *Sumpsit*, aut *Expressit*, humanam in sese naturam. Neque hac obiecta voce terrere nos possunt qui adversus imperitos ac simplices insurgunt. Omnino vero ita loqui convenit. Ac ne quis calumniari me putet, aut istiusmodi vocabulis in eo argumento cavillari, velim illud omnes intelligant, diu nos, antequam ea scriberemus, multumque deliberasse, ne quis fortasse per simultatem ei nos insultasse crederet. Atqui nullam iste nobis, ut humano more loquar, iniuriam imposuit, nec quae in hoc mundo possidebamus eripuit. Sed cum in illa deliberatione de his praetermittendis cogitarem, a veritate ipsa sum coactus, ne quemquam eorum praeterirem qui contra fidem aliquid sensissent. Nec dubito quin pius lector facile illud agnoscat, nulla ex huius mundi propria aemulatione sermonem illum nostrum esse profectum. Nam e contrario multo plus ille nobis, quod ad externas disciplinas et caritatem attinet, utilitatis afferret, si cum sancta dei ecclesia concorditer in omnibus consentire vellet, nec peregrinum aliquid et inauditum inveheret. Sive igitur ab illo iactatum, sive ab eius discipulis aliter interpretatum dogma sub eiusmodi specie ac praetextu velut ab aliud agentibus occinitur, de quo certi nihil affirmare possum, illud quidem saepe animo versavimus, ac maiorem in modum obstupuimus, hisce in opinionibus propugnandis tanta illos cum animi contentione ac pugnandi libidine vel ad mortem usque pertinaciter insistere. Ex quo suspicari illud occurrit, ex alio quodam reconditiore sensu opinionem illam esse deductam.

Nam cum eorum aliquos interrogaveris, variis illi modis re- Cap. XXI.
spondere solent; nec desunt qui perfectam hominis naturam dominum assumpsisse negent, ac perfectum hominem extitisse. Quod autem ab eo complures abhorrebant, dissimulatione deinde uti coeperunt, id quod nos ex illorum sermonibus accurate postea cogno-

Cap. XXI. — 1. αὐτῶν *codd. mss. uterque.* αὐτοῦ *editi.*

τιοχέων γὰρ γενόμενοι τοῖς [2] ἀκραίμοσιν αὐτῶν συντετυχήκαμεν, ἐν οἷς καὶ Βιτάλιος ὁ ἐπίσκοπος ὑπῆρχεν, εὐλαβέστατος ἀνὴρ τῷ βίῳ, καὶ τῇ καταστάσει, καὶ τῇ πολιτείᾳ. Ἐλέγομεν δὲ συμβουλεύοντες καὶ παρακαλοῦντες συμφωνῆσαι τῇ πίστει τῆς ἁγίας ἐκκλησίας, καὶ ἐᾶσαι τὸ φιλόνεικον ῥῆμα. Ὁ δὲ Βιτάλιος ἔλεγε, Τί γάρ ἐστι τὸ ἀναμέσον ἡμῶν; Εἶχε γὰρ οὗτος διάστασιν πρὸς αἰδέσιμόν τινα ἄνδρα καὶ ἐπίσημον, Παυλῖνον τὸν ἐπίσκοπον, καὶ Παυλῖνος πρὸς τὸν εἰρημένον Βιτάλιον, ὑφ' ἡμῶν μετακληθέντα. Βουλόμενοι τοίνυν ἀμφοτέρους εἰς εἰρήνην συμβιβάσαι, — ἀμφότεροι γὰρ ἐδόκουν ὀρθόδοξον πίστιν κηρύττειν, καὶ ἕκαστος διάστασιν εἶχε διά τινα πρόφασιν· ὁ μὲν γὰρ Βιτάλιος Παυλίνῳ ἐπέφερεν ὡς περὶ Σαβελλίου ὀνόματος ῥῆμα· διὸ [3] γενομένων ἡμῶν, ἐπεσχέθημεν τῆς πρὸς τὸν Παυλῖνον τελείας κοινωνίας, ἕως ὅτε μετὰ ἐκθέσεως ἡμᾶς ἐγγράφου ἔπεισεν, ἧς
pag. 1015. ἤδη πρότερον ἀπολογίας χάριν πρὸς τὸν μακαρίτην Ἀθανάσιον ἐποιήσατο τὴν συγκατάθεσιν. Προςήνεγκε γὰρ καὶ ἐπέδωκεν ἡμῖν ταύτης τὸ ἀντίγραφον μεθ' ὑπογραφῆς σαφῶς περὶ τριάδος ἔχον ὁμοῦ, καὶ περὶ νοῦ τῆς τοῦ Χριστοῦ ἐνανθρωπήσεως, χειρὶ αὐτοῦ τοῦ μακαρίτου πατρὸς ἡμῶν Ἀθανασίου, ἣν ἔκθεσιν καθυπέταξα. Καί ἐστιν ἥδε.

ΑΝΤΙΓΡΑΦΟΝ ΧΕΙΡΟΣ ΠΑΥΛΙΝΟΥ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ.

Κεφ. κβ'. Ἐγὼ Παυλῖνος ὁ ἐπίσκοπος οὕτως φρονῶ, καθὼς παρέλαβον ἀπὸ τῶν πατέρων, ὄντα καὶ ὑφεστῶτα πατέρα τέλειον, καὶ ὑφεστῶτα υἱὸν τέλειον, καὶ ὑφεστὼς τὸ πνεῦμα τὸ ἅγιον τέλειον. Διὸ καὶ ἀποδέχομαι τὴν προγεγραμμένην ἑρμηνείαν [1] περὶ τῶν τριῶν ὑποστάσεων, καὶ τῆς μιᾶς ὑποστάσεως, ἤτοι οὐσίας, καὶ τοὺς φρονοῦντας οὕτως. Εὐσεβὲς γάρ ἐστι φρονεῖν καὶ ὁμολογεῖν τὴν τριάδα ἐν μιᾷ θεότητι. Καὶ περὶ τῆς ἐνανθρωπήσεως τῆς δι' ἡμᾶς γενομένης τοῦ λόγου τοῦ πατρὸς οὕτω φρονῶ καθὼς προγέγραπται, ὅτι κατὰ τὸν Ἰωάννην ὁ λόγος σὰρξ ἐγένετο. Οὐ γὰρ κατὰ τοὺς ἀσεβεστάτους τοὺς λέγοντας μεταβολὴν αὐτὸν πεπονθέναι, ἀλλ' ὅτι δι' ἡμᾶς ἄνθρωπος γέγονεν, ἔκ τε τῆς ἁγίας παρθένου καὶ ἁγίου πνεύματος γεννηθείς. Οὔτε γὰρ ἄψυχον, οὔτε ἀναισθητὸν, οὔτε ἀνόητον σῶμα εἶχεν ὁ σωτήρ.

[2] *Καὶ ἐν τῇ χειρὶ τοῦ ἐπισκόπου Ἀθανασίου.*

Οὐ γὰρ οἷόν τε ἦν τοῦ κυρίου ἀνθρώπου δι' ἡμᾶς γενομένου ἀνόητον αὐτοῦ εἶναι τὸ σῶμα. Ὅθεν ἀναθεματίζω τοὺς ἀθετοῦντας τὴν

2. *Ita fere ubique apud Epiphanium scriptum pro* ἀκρέμοσιν. *Cf. haeres.* 68, 1. *et* 5. *et* 7.

3. *Excidisse aliquid videtur.*

Cap. XXII. — 1. περὶ τῶν *verba omissa sunt in edit. Petav.*

vimus. Nam cum essemus Antiochiae, in primarios illorum incidimus, inter quos erat Vitalis episcopus, homo vita, moribus et instituto religiosissimus. Ac cum magnopere illum adhortaremur, et auctores essemus, ut cum ecclesiae catholicae fide consentiret, ac contentiosam illam vocem praetermitteret, ad haec ita Vitalis occurrebat. Quid est, inquit, controversum inter nos, et ambiguum? Habebat autem nonnihil cum Paulino episcopo religioso atque egregio viro discordiae, vicissimque Paulinus a Vitali, quem tum arcersivimus, dissidebat. Quos quidem inter sese conciliare studuimus; — ambo enim cum rectam ac sinceram fidem profiteri viderentur, certis de caussis a se mutuo dissentiebant; nam Vitalis Paulino Sabelliani quandam dogmatis vocem obiicebat: unde cum eo nos arcessissemus, ab absoluta cum Paulino communione temperavimus, donec oblata fidei professione, quam scripto comprehenderat, aliud persuasit. Quam quidem professionem assensione sua confirmarat antea, cum se apud beatum Athanasium purgaret. Huius igitur nobis exemplum, cui subscripserat, obtulit, in quo sacrosanctae trinitatis ac mentis, quae in humana Christi natura inest, mentionem expresserat, eratque illa ipsa beatissimi patris nostri Athanasii manu scripta. Hanc nos subiiciendam hoc loco putavimus.

EXEMPLUM PROFESSIONIS FIDEI, QUAM PAULINUS EPISCOPUS SUA MANU SCRIPTAM OBTULIT.

Ego Paulinus sic sentio, quemadmodum a patribus accepi: Esse et subsistere perfectum patrem, et subsistere perfectum filium, et subsistere denique perfectum spiritum sanctum. Quare et illam trium hypostaseon, et unius hypostasis, sive substantiae interpretationem cum iis qui ita sentiunt amplector. Est enim pietati consentaneum trinitatem in una divinitate agnoscere ac confiteri. De incarnatione porro, quam propter nos verbum patris suscepit, ita, ut ante scriptum est, sentio, nimirum, ut Ioannes scripsit, *Verbum carnem esse factum.* Neque enim impiis ac sceleratis illis assentior qui mutatum illum esse definiunt, sed potius hominem esse nostra caussa factum, atque e sanctissima virgine de spiritu sancto esse genitum. Neque vero aut inanimum, aut sensus ac mentis expers corpus salvator habuit. Cap. XXII.

Illud quoque Athanasii episcopi manu fuerat adiectum.

Fieri quippe non potest ut domini nostri, qui propter nos homo factus est, mentis expers corpus sit. Unde et eos omnes

2. *Haec verba Petavio plane aliena esse videbantur, quo factum ut ea uncinis notaret. Sunt, puto, ab Epiphanio interposita, ut eam professionis partem significaret quae Athanasii manu conscripta erat.*

ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν, καὶ μὴ ὁμολογοῦντας ἐκ τῆς οὐσίας, ἢ ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρί. Ἀναθεματίζω δὲ καὶ τοὺς λέγοντας τὸ πνεῦμα τὸ ἅγιον κτίσμα διὰ τοῦ υἱοῦ γεγονός. Ἔτι δὲ ἀναθεματίζω τὴν Σαβελλίου, καὶ Φωτεινοῦ, καὶ πᾶσαν αἵρεσιν, στοιχῶν τῇ πίστει τῇ κατὰ Νίκαιαν, καὶ πᾶσι τοῖς προγεγραμμένοις.

ΕΠΛΗΡΩΘΗ.

pag. 1016. Κεφ. κγ΄. Ἐλέγομεν δὲ καὶ τῷ ἀδελφῷ Βιταλίῳ καὶ τοῖς σὺν αὐτῷ, Τί καὶ ὑμεῖς λέγετε; εἴ τί ἐστιν ἀναμέσον ὑμῶν, διορθώσασθε. Ὁ δὲ ἔφη, Λεγέτωσαν. Ἔφησαν δὲ ὅτι οὐ λέγουσι τὸν Χριστὸν τέλειον γεγονέναι ἄνθρωπον. Ὁ δὲ εὐθὺς ἀπεκρίθη ὅτι, Ναὶ, ὁμολογοῦμεν τὸν Χριστὸν τέλειον ἄνθρωπον εἰληφέναι. Ἦν δὲ τοῦτο θαυμαστὸν τοῖς ἀκούσασι, καὶ χαρᾶς ἔμπλεον. Εἰδότες ἡμεῖς τὴν διάνοιαν τῶν προφάσεων τὸν νοῦν τῶν ἰδίων ἀδελφῶν σφετεριζόντων τὸ ἀκριβὲς ἐνεμείναμεν ἐρωτῶντες ὅτι, Φύσει σάρκα ὁμολογεῖς τὸν Χριστὸν εἰληφέναι; ὁ δὲ συνετίθετο ὅτι, Ναί. Ἀπὸ Μαρίας τῆς ἁγίας παρθένου ἄνευ σπέρματος ἀνδρὸς καὶ διὰ πνεύματος ἁγίου; ὁ δὲ καὶ τοῦτο ὡμολόγει. Φύσει ἐκ τῆς παρθένου ἐλθὼν τὴν σάρκα ἀνείληφεν ὁ θεὸς λόγος ὁ υἱὸς τοῦ θεοῦ; ὁ μετὰ βάρους συνετίθετο. Ἤδη δὲ ἐν χαρᾷ καθιστάμεθα, ἐπειδὴ παρά τινων πρὸς ἡμᾶς εἰς Κύπρον ἐλθόντων ἠκούσαμεν τῶν προειρημένων παίδων ὅτι οὐδ' ὅλως ἡ σὰρξ ἀπὸ Μαρίας ὡμολογεῖτο. Ὅτε δὲ αὐτὸς ὁ εὐλαβέστατος ἀνὴρ ἐκ Μαρίας τὴν σάρκα ἀνειληφέναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡμολόγησε, πάλιν παρ' ἡμῶν ἠρωτᾶτο εἰ καὶ ψυχὴν εἴληφεν. Ὁ δὲ καὶ εἰς τοῦτο ὁμοίως μετὰ βάρους συνετίθετο, ὡς οὐ χρὴ λέγειν ἄλλως, ἀλλὰ κατὰ πάντα ἀληθεύειν. Χρὴ γὰρ τὸν περὶ ἀληθείας ἀνθρώποις γράφοντα τὸν πάντα νοῦν δοῦναι πρὸ ὀφθαλμῶν μὲν τὸν φόβον τοῦ θεοῦ ἔχειν, καὶ μηδὲν παραπεποιημένον εἰς τὴν τῆς γραφῆς ἐπαγγελίαν συντάττειν.

Κεφ. κδ΄. Ὡμολόγει οὖν ὁ Βιτάλιος καὶ ψυχὴν τὴν ἀνθρωπίνην εἰληφέναι. Οὗτος γὰρ ἦν ὁ εἰπὼν ὅτι, Ναὶ τέλειος ἄνθρωπος ἦν ὁ Χριστός. Εἶτα μετὰ τὸ ἐρωτῆσαι ἡμᾶς περὶ ψυχῆς καὶ σαρκὸς, τότε ἠρωτήσαμεν, Νοῦν ἔλαβεν ἐλθὼν ὁ Χριστός; Ὁ δὲ εὐθὺς ἠρνήσατο, λέγων, Οὐχί. Εἶτα ἡμεῖς πρὸς αὐτὸν, Πῶς οὖν λέγεις τέλειον γεγονέναι ἄν-

anathemate damno qui propositam ac receptam in Nicaena synodo fidem respuunt, neque filium e patris substantia processisse, aut eidem consubstantialem esse confitentur. Sed et illos insuper condemno qui spiritum sanctum creaturam esse per filium productam asserunt. Postremo Sabellii ac Photini, adeoque reliquas omnes haereses damno eique fidei subscribo, quae in Nicaena synodo decreta est, ac denique ea amplector omnia quae supra scripta sunt.

HACTENUS FIDEI PROFESSIO.

Secundum haec Vitalem eiusque socios sic allocuti sumus: Quid autem et vos dicitis? Si quid invicem dissidii habetis, conciliata pace penitus tollite. At ille, Dicant, inquit. Tum obiicientibus aliis negare ipsos Christum hominem esse perfectum, contra Vitalis respondit, Imo vero Christum fatemur perfectum hominem induisse. Quod eius responsum non minorem audientibus voluptatem quam admirationem attulit. At nos, qui callidorum hominum, a quibus fratres nostri in errorem abducebantur, intimos sensus ac tergiversationes cognitas habebamus, acrius in interrogando perstitimus, et, Christumne, diximus, proprie carnem assumpsisse profiteris? Profiteor, inquit. Eandemne de Maria virgine sine virili satu, ac per spiritum sanctum accepisse? Ne istud quidem inficiatus est. Utrumnam proprie deum verbum deique filium existimas e coelo descendentem carnem sumpsisse de virgine? Magna ille cum gravitate assensus est. Ea res nobis summae voluptati fuit. Quippe a discipulis illis, quos in Cyprum ad nos venisse antea narravimus, eiusmodi esse dogma illorum audieramus, Christi carnem e Maria nullo modo esse susceptam. Quare cum religiosissimus iste Vitalis dominum nostrum Iesum Christum carnem e Maria traxisse praedicaret, iterum a nobis interrogatus est, num et animam indidem accepisset. Ille pari gravitate ac constantia accepisse fassus est, neque aliter asserendum, sed in omnibus quod verum est pronuntiandum esse dixit. Enimvero necesse est eum qui de veritate hominibus scribat toto animi conatu in id unum incumbere ut dei sibi timorem ob oculos proponat, neque falsum quicquam ac temere confictum ad susceptam scriptionem admisceat. Cap. XXIII.

Igitur Vitalis humanam a Christo animam susceptam esse confessus est. Sic enim aiebat: Omnino perfectus homo Christus extitit. Deinde postquam de anima et carne sciscitati sumus, tum demum istud ab eo quaesivimus, Mentemne Christus dominus accepit? Sine ulla cunctatione negavit. Tum nos ex adverso, Quinam Cap. XXIV.

θρωπον; Ὁ δὲ τὸν λογισμὸν τὸν ἴδιον ἀπεκάλυπτε τῆς διανοίας ὅτι, Τέλειον ἄνθρωπον λέγομεν εἶναι, εἰ τὴν θεότητα ποιήσομεν ἀντὶ τοῦ νοῦ, καὶ τὴν [1] σάρκα καὶ τὴν ψυχὴν, ὡς εἶναι τέλειον ἄνθρωπον ἐκ σαρκὸς καὶ ψυχῆς καὶ θεότητος, ἀντὶ τοῦ νοῦ. Τῆς οὖν φιλονει-
pag. 1017. κίας γνωσθείσης, καὶ πολλὰ ἡμῶν περὶ τούτου διαλεχθέντων, καὶ ἀπὸ γραφῆς συστησάντων ὅτι χρὴ ὁμολογεῖν τὰ πάντα τελείως εἰληφότα τὸν θεὸν λόγον, τελείως τε οἰκονομηκέναι ἐν τῇ [2] ἐνσάρκῳ παρουσίᾳ, καὶ ἐν τελειότητι ταύτην, καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν συνηνωκέναι, καὶ ἐνδόξως πνευματικὴν αὐτὴν ὅλην, καὶ οὐκ ἄλλην, σὺν τῇ ἰδίᾳ θεότητι ἐν ἑαυτῷ ἡνωμένην ἔχειν, [3] τὴν ὅλην τελείωσιν μίαν θεότητα ἀποτετελεκέναι, καὶ καθέζεσθαι ἐν οὐρανῷ ἐν δεξιᾷ τοῦ πατρὸς ἐπὶ θρόνου δόξης τῆς αὐτοῦ ἀϊδίου κυριότητός τε καὶ βασιλείας. Λοιπὸν ἀνέστημεν μὴ πεπεικότες ἀμφότερα τὰ μέρη διὰ τὴν προκειμένην φιλονεικίαν. Νενόηται δὲ ἡμῖν [4] ὅτι ἀπὸ τούτου οὐχ ἕνεκεν τοῦ νοῦ αὐτοῖς ὁ λόγος, ἀλλὰ ἀπὸ τοῦ νοῦ ἕτερόν ἐστι τὸ φρόνημα. Ποτὲ γὰρ οὐχ ὡμολόγουν οὔτε ψυχὴν αὐτὸν εἰληφέναι. Ἡμῶν δὲ ἀνθυποφερόντων καὶ λεγόντων, Τί γάρ ἐστιν ὁ νοῦς; ὑπόστασιν τούτων νομίζετε εἶναι ἐν τῷ ἀνθρώπῳ; οὐκοῦν πολλοστός ἐστιν ὁ ἄνθρωπος; εἶτα παρά τισιν ἐνομίζετο εἶναι τὸ πνεῦμα, τὸ ἀεὶ ἐν τῇ θείᾳ γραφῇ ἐν τῷ ἀνθρώπῳ ᾀδόμενον. Ὅτε δὲ ἐδείξαμεν ὡς οὐχ ὁ νοῦς ἐστι τὸ πνεῦμα, τοῦ ἀποστόλου σαφῶς λέγοντος, Ψαλῶ τῷ νοΐ, ψαλῶ τῷ πνεύματι, ἐντεῦθεν πολλοὶ μὲν ἦσαν οἱ λόγοι, οὐκ ἠδυνήθημεν δὲ αὐτοὺς πεῖσαι φιλονεικοῦντας.

Κεφ. κε'. Εἶτα πάλιν τισὶν ἡμῶν λεγόντων, Τί γάρ; ὑπόστασιν τὸν νοῦν εἶναι λέγετε; τινῶν δὲ αὐτῶν λεγόντων μὴ εἶναι ὑπόστασιν, ἀπὸ τοῦ ἡμᾶς πεπεικέναι αὐτοὺς ὅτι οὐ χρὴ νομίζειν αὐτὸν οὔτε τὸ καλούμενον ἀνθρώπου πνεῦμα, διὰ τὸ εἰπεῖν, Ψαλῶ τῷ νοΐ, ψαλῶ καὶ τῷ πνεύματι, μὴ ἐχόντων αὐτῶν πρὸς τοῦτό τι λέγειν, ἐλέγομεν, Οὐκοῦν εἰ οὐκ ἔστιν ὑπόστασις ὁ νοῦς, ἀλλὰ κίνησις τῆς ἡμῶν πάσης ὑποστάσεως, νοῦν δὲ λέγετε τὸν Χριστὸν κατὰ τοῦτο τὸ μέρος, [1] ἄρα οὖν φαντάζεσθε ἀνυπόστατον εἶναι τὸν Χριστὸν, καὶ μόνον ἕως λόγου, καὶ δοκήσεως τὴν ἐνδημίαν τῆς ἐνσάρκου παρουσίας αὐτὸν πεποιη-

Cap. XXIV. — 1. σάρκα τὴν ψυχικὴν *cod. Rhedig.*
2. *Scribendum haud dubie* ἐν σαρκὶ, *propter sequens* ταύτην.
3. *Repono* καὶ τὴν ὅλην μίαν, *aut* εἰς τὴν ὅλην τελείωσιν, μίαν τε θεότητα. *Cornarius vertit* perfecteque administrasse in adventu in carnem, et hanc in perfectione etiam post resurrectionem ex mortuis connivisse, et

igitur perfectum illum hominem fuisse censes? Ad haec ille intimos animi sui sensus nobis aperuit, et, Eatenus, inquit, perfectum hominem fuisse dicimus, si divinitatem illi loco mentis adscribamus, et carnem, atque animam adiungamus, sic ut perfectus homo ex carne, anima, divinitate, quae sit mentis instar, existat. Hoc igitur modo deprehensa in illo tanta contentionis libidine, cum ad eam rem pluribus disputassemus, et ex sacrarum literarum auctoritate comprobassemus, necessario fateri nos oportere omnia a verbo perfecte fuisse suscepta, et in assumpta carne perfecte itidem administrata, quam post resurrectionem suam perfecte sibi copularit; adeo ut eandem modo spiritualem omnino redditam, non aliam, ac diversam, cum propria divinitate in semetipso coniunctam habeat, et una ex illa perfectione divinitas consurgat, atque illa postremo natura ad dexteram patris in coelo et in sempiternae dominationis ac regni augustissimo throno considcat. Haec ubi disseruimus, cum utrique parti propter animorum pertinaciam contentionemque nihil persuaderemus, re infecta discessimus. Intellectum vero istud est, non de sola mente disputationem hanc illos ingressos, sed praeter illud de mente aliud quoque dogma sectari. Interdum enim ne animam quidem Christum assumpsisse ferebant. Contra quae illud obiiciebamus, Quid tandem putatis esse mentem? Utrumnam hypostasin esse quandam in homine creditis? Multiplex est igitur homo. Adhaec nonnullis placebat nihil esse mentem aliud quam spiritum, qui homini passim in scripturis tribuitur. Verum cum mentem nequaquam spiritum esse demonstraremus, ex eo quod diserte scripsit apostolus, *Psallam mente*, *psallam et spiritu*, multus 1. Cor. 14, 15.
ea de re nobis natus est sermo, nec ipsis tamen contentiose certantibus persuadere potuimus.

Postea vero cum nonnullos ex iis hunc in modum aggrederemur, Quid tandem? num hypostasin esse mentem asseritis? cui Cap. XXV.
cum ita quidam occurrerent ut hypostasin negarent esse quod eis persuaseramus non id esse mentem, neque *spiritum illum* qui appellatur *hominis*, cum scriptum sit, *Psallam mente*, *psallam et spiritu*, cum adversus haec nihil haberent quod opponerent, tum urgere sic coepimus: Si mens non hypostasis est, sed totius hypostasis nostrae quaedam motio, cum Christum mentem esse hac ex parte velitis, eundem minime subsistentem fingitis, ac verbis tenus et specie totum illud negotium incarnationis obiisse. Nihilo magis ad haec ra-

gloriose spiritualem totam, et non aliam, cum propria deitate in seipso unitam habere, totamque perfectionem unam deitatem effecisse, et sedere *cett.*

4. *Fortasse transponendum* ἡμῖν ἀπὸ τούτου ὅτι οὐχ κτλ.

Cap. XXV. — 1. ἆρα *codd. mss.*

κότα. Ὡσαύτως οὐκ εἶχον ἀποδοῦναι λόγον. Καὶ πολλὴ ἡμῖν γέγονε τότε λυπηρὰ ἡ τῆς ζωῆς κατάστασις, ὅτι ἐν τοῖς προειρημένοις ἀδελφοῖς καὶ ἐπαινετοῖς ἐβλήθησαν ἁπλῶς φιλονεικίαι, ἵνα διαστάσεις ἐν ἡμῖν πάντοτε ὁ προειρημένος τῶν ἀνθρώπων πολέμιος διάβολος ἐξεργάσηται. pag. 1018. Πολλὴ δέ ἐστι τῆς τοιαύτης αἰτίας, ἀδελφοί, ἡ κατ' ἔννοιαν βλάβη. Εἰ μὲν γὰρ ἐξ ἀρχῆς περὶ τούτου οὐκ ἐκινήθη λόγος, ἁπλούστατον ἦν. Τί γὰρ τοῦτο τὸν κόσμον ὤνησε τὸ καινοτόμημα, ἢ τὴν ἐκκλησίαν ὠφέλησεν; ἢ οὐχὶ μᾶλλον ἔβλαψε, μῖσος καὶ στάσιν ἐργασάμενον; Ἐπειδὴ δὲ ὁ λόγος προεβλήθη, φοβερὸς γέγονεν· οὐ γὰρ εἰς τὸ κρεῖσσον τῆς ἡμῶν σωτηρίας. Ἄρνησις γάρ ἐστιν, οὐ μόνον ἐν τούτῳ τῷ μέρει τῷ μὴ ὁμολογοῦντι, ἀλλὰ καὶ ἐν βραχυτάτῳ τινί· οὐ χρὴ γὰρ οὐδὲ κἂν ἐν τῷ τυχόντι παρεξέρχεσθαι τῆς ὁδοῦ τῆς ἀληθείας. Λέξωμεν τοίνυν καὶ κατὰ ταύτης τῆς ὑποθέσεως, βουλόμενοι μὴ ἔξω τῆς ἑαυτῶν ζωῆς βαίνειν, μηδὲ τὸν κανόνα καταλιμπάνειν τῆς ἁγίας θεοῦ ἐκκλησίας καὶ ὁμολογίας. Οὐδενὶ γὰρ πώποτε τῶν παλαιῶν τοῦτο εἴρηται, οὔτε προφήτῃ, οὔτε ἀποστόλῳ, οὔτε εὐαγγελιστῇ, οὔ τινι τῶν ἐξηγητῶν, ἕως τούτων τῶν [2] ἡμετέρων χρόνων, ἐξ οὗ καιροῦ ἀπὸ τοῦ προειρημένου λογιωτάτου ἀνδρὸς τὸ τοιοῦτον σοφιστικὸν προῆλθε ῥῆμα. Παιδείᾳ γὰρ οὐ τῇ τυχούσῃ ὁ ἀνὴρ ἐξήσκηται, ἀπὸ τῆς τῶν λόγων προπαιδεύσεώς τε καὶ Ἑλληνικῆς διδασκαλίας ὁρμώμενος, πᾶσάν τε διαλεκτικὴν καὶ σοφιστικὴν πεπαιδευμένος, ἀλλὰ καὶ τὸν ἄλλον βίον σεμνότατος, καὶ [3] τῶν πρὸς ὀρθοδόξους ἀεὶ ἐν ἀγάπῃ ἐν πρώτῳ ἀριθμῷ ταττόμενος ἕως τούτου [4] τοῦ λόγου διέμεινεν. Ἀλλὰ καὶ ἐξορίαν ὑπέμεινε, διὰ τὸ μὴ τοῖς Ἀρειανοῖς [5] συγκατεῖναι. Καὶ τί με δεῖ λέγειν; πολλὴ ἡμῶν ἡ λύπη, καὶ πένθος ἡ ζωή, ὅτι λυπεῖν εἴωθεν ὁ διάβολος ἡμᾶς ἀεί, ὡς ἤδη πολλάκις εἶπον.

Κεφ. κϛ'. Ἄρξομαι τοίνυν περὶ τούτου τοῦ ῥητοῦ λέγειν, ἵνα μηδέν τι, ὡς ἔφην, τῆς ἀληθείας παραλείψω. Τί ἡμᾶς ὠφέλησε τὸ παρεκβάλλειν τὸν νοῦν ἀπὸ τῆς ἐνσάρκου παρουσίας Χριστοῦ; Εἰ γὰρ ὅλως τοῦ βοηθῆσαι, ἵν' οὕτως εἴπω, τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ θεῷ λόγῳ καὶ υἱῷ θεοῦ, ὁ ὑμέτερος λογισμὸς προήχθη, ἵνα μὴ εἴπωμεν αὐτὸν εἰληφέναι νοῦν, ὅπως μὴ νοήσωμεν ἐλάττωσιν περὶ τὴν αὐτοῦ θεότητα, πολλῷ μᾶλλον [1] προτιμότερον ἡμῶν τυγχάνουσι Μανιχαῖοι,

2. *Vocabulum* ἡμετέρων, *in cod. Ien. antea omissum, ab eadem, quae cetera scripsit, antiqua manu in margine adiectum fuit, at in cod. Rhedig. plane desideratur.*

3. *Fortasse* πρὸς τῶν ὀρθοδόξων. *Cornarius vertit* et inter orthodoxos semper in primo ordine locatus fuit.

tionem ullam extricare poterant. Ex iis longe acerbissimo dolore ac molestia sumus affecti, quod inter praeclaros illos ac laude dignos fratres nostros tantae contentiones ac simultates intercederent, ut perpetuas in nos dissensiones importunissimus ille humani generis hostis diabolus immittat. Et vero tali in erroris argumento, fratres, praecipua quaedam fraus circumveniendis hominum mentibus versabatur. Nisi enim de ea re initio foret excitata disputatio, simplicissimum quiddam erat. Ecquam enim mundo novitas haec utilitatem conscivit? aut quid ecclesiae profuit? Nonne vehementer nocuit, cum intestinum odium simultatemque conflarit? Sed ubi semel dogma illud coepit emergere, formidolosissimum extitit. Non enim ad expeditiorem aliquam salutis nostrae viam ac rationem refertur. Quicumque vero non in hac modo parte, sed vel in levissima aliqua veritatem minime profitetur, fidem is eiurasse censebitur. Quippe ne in minimo quidem a veritatis via deflectere oportet. Quapropter etiam adversus opinionem illam disputemus, cum nec abhorrere a vita nostra, neque sanctae dei ecclesiae, fideique regulam deserere omni ope studeamus. Nullus enim unquam ex veteribus illud asseruit, non propheta, non apostolus, non evangelista, non interpretum aliquis, qui ad nostrum usque tempus extiterunt, a quo sophistica illa cavillatoriaque vox ex eruditissimi illius hominis ore processit. Non enim mediocrem literarum scientiam fuerat ille consecutus, cum et humanioribus Graecisque disciplinis esset excultus, et dialecticam ac sophisticam artem inprimis calleret, esset idem porro praecipua in omni vita gravitate praeditus, imo vero et orthodoxis omnibus, antequam istiusmodi dogma proponeret, longe carissimus. Quinetiam et exilium sustinuit quod Arianis assentiri nollet. Sed quid attinet pluribus ista prosequi? Magnum omnino dolorem ea res nobis attulit, et acerbam vitam reddidit, quoniam diabolus molestia nos, ut saepe dixit, solet afficere.

Sed nunc de hoc argumento disputare aggredior, ne ullam, ut initio monui, veritatis partem praetermittam. Quid igitur nos adiuvat quod ab assumpta hominis in Christo natura mentem excludimus? Nam si eo cogitatio nostra perducitur ut domino nostro Iesu Christo, ac deo verbo, deique filio, ut ita dixerim, subveniret, si, inquam, mentem ideo illum assumpsisse negemus, ut ne, quod ad divinitatem pertinet, inferiore illum esse loco dicamus, longe Cap. XXVI.

4. οὐ *vitium est edit. Petav. Colon. repet.*

5. *Fortasse scribendum* συγκαταινεῖν, *vel* συγκαταβαίνειν, *aut* συγκαταβῆναι, *quod verbum similiter usurpatum habes haer.* 64, 10.

Cap. XXVI. — 1. προτιμότεροι *vir doctus in marg. exempli Schottiani.*

καὶ Μαρκιωνισταὶ, καὶ ἄλλαι αἱρέσεις, μὴ σάρκα αὐτῷ προσάπτειν βουλόμενοι, ἵνα μὴ ἐλάττωσιν τῇ θεότητι αὐτοῦ περιποιήσωνται.
pag. 1019. Ἀλλ' οὐ κατὰ τὴν τῶν ἀνθρώπων βούλησιν ἡ ἀλήθεια ἔχει τὴν δύναμιν, ἀλλὰ κατὰ τὴν αὐτῆς διακυβερνητικὴν σοφίαν καὶ οἰκονομικὴν ἀκαταληψίαν. Τοίνυν ἡμῶν οὕτως ὁμολογούντων, καὶ μὴ κατὰ τὸν Μανιχαῖον ἐχόντων (οὐ χάριν γὰρ ἐκεῖνος δώσει, δοκῶν εἰς ἔπαινον Χριστοῦ σάρκα λέγειν αὐτὸν μὴ εἰληφέναι, ἀλλὰ μᾶλλον τῆς ἀληθείας πεσεῖται, δοκήσει ὁμολογῶν τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν), οὕτω καὶ ἐν τῷ παρόντι τοῖς ἡμετέροις ἀδελφοῖς ἔσται ἡ χυδαιολογία ματαία χάρις τυγχάνουσα· ὡμολόγηται γὰρ παρ' αὐτοῖς τε καὶ παρ' ἡμῖν, ἐὰν μὴ θέλωσιν ἑτέρως φρονεῖν, καθὼς τινες πολλάκις ἀπ' αὐτῶν ὄντες ἑάλωσαν πιεζόμενοι, διὰ τοῦτο καὶ ἀρνούμενοι σάρκα ἀληθινὴν τὸν Χριστὸν εἰληφέναι, ὡς ἄνω μοι εἴρηται ὅτι τινὲς ἐτόλμησαν λέγειν ὁμοούσιον εἶναι τὴν σάρκα τῇ αὐτοῦ θεότητι. Ἀλλ' ἐκεῖνοι μὲν παρεκβαλέσθωσαν ὡς μεταγνόντες, καὶ ἐλεγχθέντες ἐπὶ τῷ τοιούτῳ ἀτοπήματι παρὰ τοῖς περὶ σαρκὸς ἐν αὐτοῖς καλῶς φρονοῦσι. Πάντως γάρ που ὁ αὐτὸς εὐλαβέστατος Ἀπολινάριος οὐκ ἀρνήσεται.

Κεφ. κζ'. Εἰ τοίνυν σάρκα εἴληφεν ἐλθὼν ὁ λόγος, καὶ ἀπὸ Μαρίας ἐν ἀληθείᾳ, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλὰ διὰ πνεύματος ἁγίου, ἐγκυμονηθεὶς δὲ ἐν ἀληθείᾳ, καὶ ἀναπλασάμενος [1] ἑαυτοῦ, ὡς θεὸς, καὶ πλάστης ὢν τοῦ [2] πρωτοπλάστου ἀνθρώπου καὶ πάντων, ἄρα γε οὐκ ἠλαττώθη ἐλθὼν ὁ λόγος, ἀλλ' ἔμεινεν ἐν τῇ ἰδίᾳ ἀτρέπτῳ φύσει. Οὐ γὰρ λαβὼν τὴν σάρκα τροπὴν ὑπέστη, ὡς ὁμοούσιος θεῷ πατρὶ, καὶ οὐκ ἀλλότριος παρὰ τὸν πατέρα καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα. Εἰ τοίνυν ὡμολόγηται σαφῶς σάρκα αὐτὸν εἰληφέναι, καὶ ἡδρύνθαι, ἄρα οὐκ ἐκτὸς ψυχῆς τυγχάνει (πᾶν γὰρ τὸ ἁδρυνόμενον, πλὴν τῶν ἀκινήτων, ἐκ ψυχῆς καὶ σώματος συνέστηκε), κατὰ τὸ εἰρημένον, Ὁ δὲ Ἰησοῦς προέκοπτεν ἐν σοφίᾳ καὶ ἡλικίᾳ· ἵνα δείξῃ τὴν ἡλικίαν διὰ τὴν σάρκα. Ἡλικία δὲ ἀπὸ τῆς ψυχῆς, ὡς ἔφην, καὶ σώματος τελειοῦται. Μετὰ δὲ τὸ εἰπεῖν, Προέκοπτεν ἡλικίᾳ, ἀκολούθως φησὶ, Καὶ σοφίᾳ. Ὁ ὢν δὲ σοφία πατρὸς, πῶς προέκοπτεν ἐν σοφίᾳ, εἰ
pag. 1020. ἀλλότριον ἦν τὸ σκεῦος νοῦ ἀνθρωπίνου; καὶ εἰ ἄνευ νοὸς ἐτύγχανε, πῶς σοφία ἐν ψυχῇ καὶ σώματι προέκοπτε; Καὶ ὁρᾷς πόση τίς ἐστι

Cap. XXVII. — 1. ἑαυτοῦ, *intellege* σάρκα. *Suspicor autem* ἑαυτῷ *esse rescribendum.* 2. πρωτοπλάστα *vitium est ed. Petav. Colon. repet.*

nobis anteponendi erunt Manichaei ac Marcionistae, ceteraeque haereses, quae, ne divinam maiestatem imminuere videantur, carnem ei tribuendam esse non existimant. Verum non ex hominum voluntate veritatis suspensa vis est, sed ex eiusdem gubernatrice sapientia administrandique facultate, quae nullo modo comprehendi potest, aestimanda. Quocirca cum eiusmodi sit fidei nostrae professio, neque cum Manichaeo sentiamus (non enim gratificari ille putandus est, cum ad maiorem Christi commendationem carnem ei detrahit, sed a veritate potius abhorret, dum illius incarnationem specie sola constare docet), eodem plane modo vanissima fratrum nostrorum erit illa disputatio, inanissimumque bene de Christo merendi studium. Etenim tam illi quam nos ipsi de carne Christi veritate recte sentimus; nisi forte aliter statuere voluerint; quemadmodum nonnulli saepe ex illorum numero argumentorum vi coacti convictique sunt ut veram a Christo carnem assumptam inficiari auderent, ut antea diximus, eo scilicet adductos quosdam ut carnem divinitati consubstantialem facerent. Sed praetermittendi a nobis illi sunt, utpote qui sententiam mutaverint, et a ceteris ex eodem grege de Christi carne non male sentientibus tam absurdum ob errorem confutati sint. Sed quicquid sit de aliis, certe religiosissimus illud non negabit Apollinaris.

Quare cum verbum dei coelitus delapsum vere ex Maria virgine, non ex virili semine, sed de spiritu sancto carnem susceperit, et in illius utero re ipsa gestatus sit, ac sibi corpus effinxerit, utpote deus, ac tam primi nostri parentis quam reliquarum omnium rerum fictor ac conditor, non utique verbi illius est imminuta dignitas, sed in propria et immutabili natura perstitit. Nam cum carnem induit, nullam vicissitudinem est passus, ut qui deo patri consubstantialis existat, nec a deo, vel ab illius spiritu sancto diversus aut alienus. Quod si istud in confesso est, carnem illum induisse atque incrementa cepisse, animae expers esse non potest. Quicquid enim adolescit, si immobiles res excipias, anima constat et corpore. Eo porro scripturae verba illa referenda sunt: *Iesus autem crescebat sapientia et aetate.* Ubi propter carnem aetatem significavit; aetas vero ex anima, uti dixi, et corpore perficitur. Ac posteaquam *aetate illum processisse* dixit, consentanee, *Et sapientia*, subdidit. Iam vero qui sapientia patris esset, quinam ullas sapientiae progressiones habere potuit, si ab humana mente diversum vas illud, ut ita dicam, fuit? Ac si mentis expers extiterit, quî fieri potuit ut sapientia corpore animaque progressus faceret? Vides quam detorta violentaque sit illorum sententia, quorum

Cap. XXVII.

Luc. 2, 52.

βεβιασμένη διάνοια τῶν τὸν νοῦν παρεκβαλλόντων; Ἀλλὰ, φησὶ, οὐ λέγω ὅτι νοῦν εἴληφεν ἀνθρώπινον, ἐπεὶ ποιήσωμεν αὐτὸν ἐπιθυμοῦντα, ἐρεθιζόμενον· ἐπειδὴ γὰρ ἐν ἡμῖν ἐπιθυμητὴς ὁ νοῦς τυγχάνει. Καὶ ἁπλῶς πολλὴ τῶν ἀνθρώπων ἐρεσχελία, ὡς εἴρηκεν, Ἐποίησεν ὁ θεὸς ἁπλοῦν συνετὸν ἄνθρωπον, αὐτοὶ δὲ ἐποίησαν ἑαυτοῖς λογισμοὺς πολλούς. Εἰ γὰρ ὅλως [3] ὁμολογούντων ἡμῶν νοῦν εἰληφέναι τὸν ἀνθρώπινον, [4] νοήσομεν εἰς ἑαυτὸν τῆς ἡμετέρας ἐλαττώσεως τὰ μέρη, πολλῷ μᾶλλον ὁμολογούντων ἡμῶν σάρκα αὐτὸν εἰληφέναι δώσομεν κατὰ τὸ μέρος τοῦτο κατὰ τὸν αὐτὸν λόγον ὅτι ἐν σαρκὶ ἠλάττωται, ὅπερ μὴ γένοιτο. Ὡς οὖν [5] οὐκ ἐν τῇ σαρκὶ ἐλαττώθη, καίπερ ἀληθινὴν σάρκα ἔχων, ἐλθὼν ὁ λόγος, οὐδὲ ἐν τῷ νῷ τὰ μὴ πρέποντα τῇ αὐτοῦ θεότητι διανενόηται. Ἀλλ' ὅσα ἦν εὔλογα σαρκὶ, καὶ ψυχῇ, καὶ νῷ ἀνθρωπίνῳ, ταῦτα [6] ἐπετέλει ἐλθὼν ὁ κύριος, ἵνα μὴ ταράξῃ τῆς ἀληθινῆς ἐνσάρκου παρουσίας τὴν ἀκολουθίαν. Εὔλογον γὰρ ἦν πεῖνα, καὶ δίψα, καὶ κάματος, καὶ ὕπνος, ὁδοιπορία τε καὶ λύπη, κλαυθμὸς, καὶ ἐμβρίμησις. Ταῦτα δὲ ἀκολούθως ἐν αὐτῷ τελεσθέντα εὔλογα τῆς ἐνσάρκου ἀληθινῆς παρουσίας ὑπέφηνεν.

Κεφ. κη'. Οὐ γὰρ γέγραπται ὅτι ἐπεθύμησεν ἐπιθυμίαν φαύλην. Ἀγαθὴν δὲ ἐπιθυμίαν ἐπεθύμησε, φήσας, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν. Ἐπιθυμία δὲ ἐκ θεότητος οὐ γίνεται, οὐδὲ ἐκ σαρκὸς μονωτάτης, οὐδὲ ἐκ ψυχῆς ἀνοήτου, ἀλλὰ ἐκ τελείας ἐνανθρωπήσεως σώματος καὶ τοῦ νοῦ, καὶ παντὸς οὗτινος τοῦ ἐν ἀνθρώπῳ τυγχάνοντος. Ἔσχε γὰρ ταῦτα ἐλθὼν ὁ λόγος, σῶμα καὶ ψυχὴν καὶ νοῦν, καὶ πάντα εἴ τί ἐστιν ἄνθρωπος, χωρὶς ἁμαρτίας, χωρὶς ἐλαττώματος· κατὰ τὸ εἰρημένον, Πεπειραμένος κατὰ πάντα ὡς ἄνθρωπος, χωρὶς ἁμαρτίας. Εἰ δὲ τὰ πάντα πεπείραται, τὰ πάντα ἔσχεν ἐλθὼν ὁ λόγος. Πάντα δὲ ἔχων ἀνήττητα ἐν αὐτῷ ἦν, ἄχραντά τε διετήρησε, τέλειος ὢν θεὸς, ἐκ σαρκὸς γεγεννημένος, καὶ τε-
pag. 1021. λείως τὰ πάντα πληρώσας, ὡς πληρωτὴς ὢν ὅλου τοῦ σκεύους, μὴ μερισθείσης τῆς σαρκὸς [1] ἀναρμόστως ἐπιτηδεύσει, μὴ παρελκυσθεὶς τῷ τοῦ νοῦ ἀλλοίῳ ἐν ἡμῖν φρονήματι. Οὐ γὰρ ὁ νοῦς ἡμῶν εἰς τὸ ἁμαρτάνειν ἡμῖν γεγένηται, ἀλλὰ διὰ τὸ σκοπεῖν τῶν ἐν ἡμῖν ἀναθεωρουμένων κατ' ἀμφοῖν πραγμάτων τὰ τέλεια, καὶ τὴν ἐργασίαν τῆς δικαιοσύνης [2] καὶ ἐναντιότητος. [3] Νοῦς μὲν γὰρ ῥήματα διακρί-

3. ὁμολόγουν τῶν *cod. Ien.* ὡμολόγουν τῶν *ed. princ.* ὡμολόγουν τὸν *cod. Rhedig.*
4. νοήσωμεν *ed. princ.*
5. οὐκ *abest a libris omnibus.*
6. ἐπὶ τέλει *cod. Ien. et ed. princ.* ἐπιτέλει *cod. Rhedig.*

Cap. XXVIII. — 1. ἀναρμόσως *vitium est ed. Petav. Petavius coniecit* ἀναρμόστῳ.
2. καὶ *omiss. in edit. Petav. Colon. repet.*

mens a recto veritatis itinere deflexit. Atenim, inquiunt, mentem idcirco illum suscepisse nego; alioqui cupiditate illum affici, vel irritari sane dicamus, cum mens illa, quae nobis inest, variarum rerum cupiditate teneatur. Et, ut uno verbo dicam, mira est istorum hominum argutandi ac cavillandi libido; perinde ac scriptum est, *Fecit deus simplicem et prudentem hominem: sed ipsi varias sibi* Eccl. 7, 30.
cogitationes finxerunt. Nam si ex eo quod humanam illi mentem attribuimus, nostros eidem defectus affingamus, cum et ipsum carnem induisse fateamur, multo magis hac ex parte, si illorum sermonibus adhibenda fides est, imminutus debet videri; quod quidem absit ut unquam opinemur. Quamobrem uti verbum nullam in carne diminutionem passum est, tametsi veram sibi carnem imposuerit, ita nec in humana mente quicquam cogitavit quod minus esset divinitate dignum, sed ea duntaxat quae carni, animae et humanae menti consentanea videbantur accedens dominus expressit, ne verae suae incarnationis ordinem seriemque perturbaret. Erant porro ista consentanea, fames, sitis, fatigatio, somnus, peregrinatio, dolor, fletus, indignatio, quae, ut par erat, in sese perfecta cum hominis, quam revera susceperat, natura coniuncta convenientiaque monstravit.

Neque enim scriptum est uspiam prava illum cupiditate fuisse Cap. XXVIII.
correptum, quin potius optima illum cupiditas cepit, cum ita locutus est: *Desiderio desideravi hoc pascha manducare vobiscum.* Atqui Luc. 21, 15.
desiderium neque a divinitate proficiscitur, neque ex sola carne, aut ex anima mentis experte, sed a perfecta hominis natura, quae corpus et mentem, ac quicquid inest in homine complectitur. His enim omnibus, corpore, inquam, anima et mente ac reliquis, quae in homine sunt, omnibus praeditum verbum advenit, si peccatum ac defectum omnem excipias, pro eo ac scriptum est, *Tentatus per* Hebr. 4, 15.
omnia ut homo, praeter peccatum. Quod si omnia expertus est, necesse est omnia penes verbum fuisse. Verum cum haec haberet omnia, eadem tamen in ipso superari non poterant, et sine ulla labe servata sunt, cum perfectus esset deus ex carne genitus, qui perfecte implevit omnia, tanquam perfecti vasis artifex, in quo neque caro minus convenienti aliquo studio divisa sit, nec ipse alieno aliquo mentis sensu, cuiusmodi in nobis cernitur, sit abstractus. Mens enim nostra non ad peccatum perpetrandum insita nobis est, sed ad earum rerum, quae in nobis utramque in partem considerantur, contemplandam perfectionem, nec non et officia iustitiae, vel ei contraria dignoscenda. Quippe *mentis est verba discernere, uti* Iob. 12, 12. et 34, 3.

3. „Vulgo οὖς“ *Petavius.*

νει, λάρυγξ δὲ σῖτα γεύεται, καὶ ὀφθαλμὸς κατανοεῖ, καὶ νοῦς ὁρᾷ. Ὅρασις τοίνυν καὶ γεῦσις καὶ διάκρισις ὁ νοῦς ἐν ἡμῖν ὑπάρχει, ἐκ θεοῦ ἡμῖν κεχαρισμένος, οὔπω δὲ συγκαταθετικὸς τῶν ἀεὶ γινομένων, ἐὰν μὴ θέλῃ ὁ ἄνθρωπος. Ἡ δὲ σὰρξ ἀεὶ ἐν πάσῃ γραφῇ ἀποκηρύττεται διὰ τὴν ἐν αὐτῇ γινομένην ἐπιθυμίαν. Οὐ πάντως δὲ αὐτὴν τὴν σάρκα ἀποκηρύττει, ἀλλὰ τὰ ἐξ αὐτῆς γινόμενα ἀπεκήρυξεν ὁ λόγος, ὡς ἔφη ὁ ἀπόστολος, Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθὸν, διὰ τὰ ἐκ τῆς σαρκὸς ἐπιφυόμενα. Ἵνα δὲ ἀποκρούσηται τῶν αἱρέσεων τὴν διάνοιαν, μή πως νομίσωσι τὴν σάρκα ἀπὸ τῆς τῶν νεκρῶν ἀναστάσεως [4] ἀπηλπίσθαι, λέγει, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, ἵνα μὴ παρεκβάλλων τὰ ἔργα τῆς σαρκὸς, ἃ σάρκα εἴωθεν ἡ γραφὴ καλεῖν, νομισθείη τὴν ἐλπίδα τῆς ἀναστάσεως τῆς σαρκὸς παρεκβάλλειν. Τὰ γὰρ ἔργα τὰ ἐν αὐτῇ γινόμενα φαῦλα σαφῶς ἀπεκήρυξεν, αὐτὴν δὲ τὴν σάρκα ἅγιον ναὸν ἐπέδειξεν, ἐν τῷ ἁγιάσαντι αὐτοῦ τὴν σάρκα, κατὰ τὸ γεγραμμένον ὅτι, Θρησκεία δὲ καθαρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. Καὶ ἄλλῳ, [5] Μακάριοι οἱ ἁγνὴν τὴν σάρκα τηρήσαντες. Πολλάκις δὲ κατ' αὐτῆς λέγουσα ἡ γραφὴ ἐδίδαξεν ἡμᾶς τὰς ἐπιθυμίας καὶ ἡδονὰς ἐξ αὐτῆς βλαστάνειν. Κατὰ δὲ τοῦ νοῦ οὐδὲν ἐξηγεῖται ἡ γραφὴ, ἀλλὰ, Ψαλῶ τῷ νοΐ, ψαλῶ τῷ πνεύματι, καὶ, Ἐὰν ψαλῶ πάλιν τῷ πνεύματι, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. Καὶ ὁρᾷς ὅτι ἐν αὐτῷ καρπὸς, ἐν τῷ νῷ. Κἄν τε μὴ ᾖ καρπὸς, οὐ πάντως τὸν νοῦν κατέλεξεν ἐν ἁμαρτίαις, ἀλλὰ δι' αὐτοῦ μᾶλλον τὸν καρπὸν ἀπεφήνατο.

pag. 1022. Κεφ. κθ'.

Τί δὲ [1] τοῦτο πρὸς τὴν τοῦ κυρίου ἡμῶν δύναμιν τῆς θεότητος ἐνσκήψει; τί δὲ ἠμαύρωσε τὴν αὐτοῦ δύναμιν τῆς ἁγίας γυναικὸς γαστὴρ, μήτρα παρθένου, [2] τοκετῶν πόροι, ἀγκάλαι Συμεῶνος, [3] Ἄννης ὑποδοχὴ, Μαρίας βασταγμὸς, τῆς πόρνης ἁφαὶ, τρίχες γυναικὸς ποδῶν ἁπτόμεναι; ἀλλὰ τὰ δάκρυα, ἀλλὰ μνήματος αἱ θέσεις; Σινδὼν γὰρ εἰλήσας τὸ σῶμα αὐτοῦ οὐ περιεγένετο ἐκείνου τοῦ ἀκραιφνοῦς καὶ τῆς αὐτοῦ μεγίστης δυνάμεως. Καὶ γὰρ ἔτι ἐν κοιλίᾳ τυγχάνων Ἰωάννης ἐσκίρτα, χαίρων ἐπὶ τῇ τοῦ δεσπότου αὐτοῦ πρὸς αὐτὸν εἰσόδῳ, διὰ τῆς ἐγκυμονήσεως τῆς ἁγίας παρθένου· γεννηθεὶς δὲ, καὶ

4. *Libri vulgo* ἀφηλπίσθαι.

5. *Hunc locum, ubi extet, reperire non potui.*

Cap. XXIX. — 1. τοῦτο *codd. mss. uterque.* τούτου *editi libri.*

2. *Fortasse* τοκετικῶν. *Cf. infra cap.* 36.

3. Ἄννης *restitui ex auctoritate codicis Parisini, quam probavit etiam Petavius. In cod. Ien. legitur* αὔνῆς, *in cod.*

faucium degustare cibos. Sic et oculus considerat, et mens intuetur. Quocirca mens illa, quae in nobis residet, et a deo concessa est, visus est quidam et gustus ac discernendi facultas. Neque vero iis quae identidem fiunt assentitur, nisi homini collibuerit. At caro in omnibus fere sacris literis ob illam quae in ipsa est cupiditatem damnari solet. Quamquam non omnino caro ipsa damnatur, sed quae ab illa proficiscuntur sacrorum librorum auctoritas proscribit. Unde apostolus ita loquitur: *Scio enim quod non habitat in me, hoc est in carne mea, bonum.* Quod ad ea referendum est quae ex carne succrescunt. Atque ut haereticorum opiniones refelleret, ne carnem sibi persuaderent ab omni resurrectionis spe et communione deiectam, haec adiunxit: *Oportet corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem;* ne opera carnis excludens, quae carnis nomine scriptura solet afficere, una et resurrectionis spem a carne videretur excludere. Siquidem quae in illa exercentur depravata opera manifeste damnavit; carnem ipsam vero sanctum quoddam esse templum in eo qui carnem suam sanctificavit esse docuit; quemadmodum scriptum est, *Religio munda deo et patri haec est, visitare orphanos et viduas in afflictione sua, et immaculatum se conservare ab hoc mundo:* item alio loco, *Beati qui puram castamque carnem suam servaverint.* Porro scriptura adversus illam saepe disputans cupiditates ac voluptates ab hac ipsa pullulare nos docuit, contra mentem vero nihil omnino dixit, sed illud duntaxat, *Psallam mente; psallam et spiritu:* item, *Si psallam spiritu, mens autem mea infructuosa sit.* Ubi vides suum menti fructum attributum; ac tametsi fructus nullus existat, nullo tamen modo mentem inter peccata numeravit, sed ex ipsa potius oriri fructum asseruit.

1. Cor. 15, 53.

Iacob. 1, 27.

1. Cor. 14, 15. et 14.

Cap. XXIX.

Ecquid vero ex istis omnibus adversus divinitatis domini nostri vim ac potestatem facit? aut qua in re eandem illam vim sanctissimae mulieris venter obscuravit? aut virginis uterus? aut partus exitus ac meatus? aut Symeonis ulnae? aut hominum exceptio? Mariae gestatio? meretricis attrectatio? mulieris capilli, qui illius pedes contigerunt? aut lacrymae? aut illa in monumentum depositio? Quippe sindon illa, quae ipsius corpus obvolvit, sincerum illum et integrum, vel summam illius potestatem superare minime potuit. Etenim Ioannes, cum in matris utero versaretur, ob ingressum ad sese domini sui, quem beata virgo parturiebat, prae gaudii magnitudine subsultavit. Idem porro dominus editus in lucem, et in prae-

Luc. 1, 44.

Rhedig. αὔνης, *in editis* ἀνθρωπίνη.

ἐν φάτνῃ κείμενος, οὐ λέληθεν ἀγγέλων χορόν. Παρεμβολαὶ δὲ ἐπὶ τῇ τοῦ βασιλέως τοῦ αἰῶνος εἰςόδῳ δορυφορεῖν ἀπεστέλλοντο, ὕμνοι [4] *ἐπινίκιοι ἐτελοῦντο, εἰρήνη ἐν τοῖς ποιμέσιν ἐκηρύττετο. Ἀλλὰ τί ἠμαύρωσε τὴν αὐτοῦ δύναμιν; Ἔτι γὰρ ὄντος αὐτοῦ βρέφους, καὶ βασταζομένου, ἀστέρος μὲν γίνεται σημεῖα ἀπὸ ἀνατολῶν, Μάγων παρουσία, προςκύνησίς τε καὶ* [5] *δορυφορία, γραμματέων ζήτησις βασιλεῖ, ἡ περὶ αὐτοῦ ἀπόκρισις καὶ ὁμολογία, τὰ δὲ ἄλλα πάντα, ὅσα περιέχει ἡ ἀκολουθία, τί ἐνέσκηψε τῇ αὐτοῦ θεότητι; ποῖον ἐπικάλυμμα ἔσχεν, ὡς ἐν ἡμῖν, ἡ σαρκὸς κατοχή; Ἐπιτιμᾷ μὲν κλύδωνι, καὶ τοῖς ἀνέμοις, καὶ τῇ θαλάσσῃ, καὶ οὐκ ἐπέχεται ἀπὸ τῆς σαρκὸς ἡ τῆς αὐτοῦ θεότητος δύναμις, ἐπιτελοῦσα τὸ κατὰ φύσιν τῆς θεότητος. Ἀλλὰ καὶ ὄγκου καὶ βάρους τῆς σαρκὸς ὑπαρχούσης, οὐ βάρει συνέχεται. Περιπατεῖ γὰρ ὡς ἐπὶ τοῖς ὕδασιν, ὡς ἄτρεπτος θεὸς, ἐν σαρκὶ μὲν ὑπάρχων, οὐκ ἀπὸ σαρκὸς δὲ ἀλλοιούμενος, καὶ καλεῖ φωνῇ, Λάζαρε δεῦρο ἔξω, οὐκ ἀντίθετον ἔχων τὴν σάρκα, οὐδὲ τῆς θεότητος ἐν σαρκὶ τῇ τελείᾳ ἐνανθρωπήσει δεδουλωμένης.*

Κεφ. λ'. *Καὶ πολλά μοι ἔστι* [1] *τοῦ λέγειν· ἀλλὰ καὶ ἐκ νεκρῶν ἀνίσταται, καὶ ἀναμοχλεύει τὰ καθ' ᾅδου, καὶ ἑλὼν ἀνήνεγκε τὴν αἰχμαλωσίαν, καὶ ἀναστὰς τὸ τριήμερον ἐν αὐτῇ* [2] *τῇ ἁγίᾳ σαρκὶ, καὶ ψυχῇ τῇ ἁγίᾳ,* pag. 1023. *καὶ νῷ, καὶ παντὶ τῷ σκεύει, καὶ ἐν τῇ θεότητι ἡνωμένος, τέλειος γέγονεν ἄνθρωπος, συνενώσας τὴν ἐνανθρώπησιν ἑαυτοῦ τῇ θεότητι, θανάτου αὐτοῦ μηκέτι κυριεύοντος. Τῇ δὲ θεότητι συνηνωμένος τὸ παχυμερὲς λεπτομερὲς ἐτελείου, εἰςερχόμενος θυρῶν κεκλεισμένων, καὶ μετὰ τὴν εἴςοδον δεικνὺς σάρκα καὶ ὀστέα, ἵνα τὸ σωτήριον τῆς δυνάμεως ὑποφάνῃ, ἵνα τὴν* [3] *ἡμῶν ἐλπίδα ὑποδείξῃ, ὅτι τὰ πάντα ἐτελείωσεν ἐλθὼν ὁ λόγος, καὶ ἐν αὐτῷ τῷ σώματι ἀναληφθεὶς ἐνδόξως ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, οὐκ ἀπὸ τοῦ ὄγκου πιεζόμενος, οὐκ ἐκτὸς τοῦ σώματος ὑπάρχων, τὸ δὲ σῶμα πνευματικὸν ἐγείρας. Εἰ τὸ ἡμέτερον σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. Σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικὸν, πόσῳ γε μᾶλλον τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ; διὸ πεπλήρωται, Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθορὰν, οὐδὲ ἐάσεις τὴν ψυχήν μου εἰς ᾅδην. Ἀλλὰ ταῦτά μοι πάντα περὶ τῆς τελείας αὐτοῦ ἐνανθρωπήσεως εἴρηται, ἵνα μή*

4. ἐπινίκιοι *desideratur in edit. Petav. Colon. repet.*
5. δωροφορία *suspicatus est Petavius.*
Cap. XXX. — 1. *Suspicor* που λέγειν.
2. τῇ σαρκὶ τῇ ἁγίᾳ *cod. Rhedig.*
3. ἡμῶν *codd. mss. uterque.* ὑμῶν *editi.*

sepi iacens, ab angelorum est choro cognitus. Mittebantur tum coelestes illi exercitus, qui sempiterni regis ingressum apparitorum ac satellitum more stiparent; triumphalia carmina concinebantur, pax insuper pastoribus nuntiabatur. Qua igitur in re illius est infuscata maiestas? Nam cum adhuc infans esset, et alienis brachiis gestaretur, novae ab oriente stellae prodigium apparuit; quod subsecutus deinceps Magorum adventus, adoratio et obsequium. Tum ab rege facta a scribis inquisitio, eorumdemque responsum ac veritatis confessio. Reliqua demum alia, quae consequenter exponuntur, quid divinitati illius officere potuerunt? Quodnam vero ut in nobis usuvenit, carnis detentio, velut integumentum illi et involucrum obduxit? Nam et tempestatem cum ventis ac mari increpat, nec divina illius potestas, cum id quod naturae suae consentaneum est efficeret, carnis ulla contagione praepediebatur. Quinetiam cum sua carni moles gravitasque constaret, nequaquam tamen haec illum gravitas retardavit. Nam supra aquas ambulavit, uti immutabilem deum par erat, qui sic in carne versabatur nulla ut in ipsum ex illa mutatio redundaret. Itaque et contenta voce sic exclamat: *Lazare veni foras.* In quo carnem sibi repugnantem minime est expertus; neque divinitas ipsa in carne perfectaque hominis natura residens velut servitute quadam est oppressa.

Matth. 2, 2. Luc. 8, 24. Matth. 14. Ioann. 11, 43.

Cap. XXX. Possumus et alia complura subtexere, velut quod a mortuis excitatus est, quod inferorum claustra perfregit, quod captivorum agmen in potestatem redegit et eduxit, quod tertia die cum carne sua sanctissima, nec non et anima, mente, ac toto denique vase ipso surrexit, et cum divinitate copulatus homo perfectus extitit, humanamque naturam ad divinitatis consortium evexit, adeo ut *mors ipsi non dominetur amplius.* Igitur cum divinitate coniunctus quod crassum erat et concretum tenue ac subtile reddidit tum cum clausis foribus ingressus est, et cum intrasset, carnem et ossa monstravit, ut et salutarem suam potentiam ostenderet, et quod spei nostrae propositum est exhiberet, planumque faceret omnia a verbo post susceptam carnem esse perfecta. Praeterea eodem illo corpore magnifice sublatus in coelum ad patris dexteram consedit, non mole praegravatus corporis, aut vero corpore ipso penitus exsolutus, sed idem ipsum spiritale suscitavit. Quod si *nostrum illud corpus in corruptione seminatur, surgit in incorruptione, seminatur corpus animale, spiritale corpus excitatur,* quanto id magis de unigeniti filii dei corpore par est arbitrari? Propterea istud impletum est: *Non dabis sanctum tuum videre corruptionem, neque relinques animam meam in inferno.* Atque haec quidem omnia de perfecta hominis natura

Eph. 4, 8. 1. Cor. 15, 42. Psalm. 15, 15.

τινες νομίσωσι διὰ τὸ σάρκα αὐτὸν ἀνειληφέναι τελείαν μὴ [4] ἄρα καὶ τὰ τῆς σαρκὸς ἄλογα ἔπραξεν. Οὐδεὶς γὰρ τῶν εὐσεβῶς πιστευόντων εἰς αὐτὸν τοῦτο νοεῖ, ἢ λέγει. Εἰ δὲ οὐδεὶς νοεῖ περὶ αὐτοῦ τὰ τῆς σαρκὸς ἄλογα πεπραχέναι, οὔτε τὰ τοῦ νοῦ ἄλογα αὐτὸν πεποιηκέναι νοήσειεν. Καὶ ὅτι μὲν τελείως ἐνηνθρώπησεν ἐλθὼν ὁ λόγος, τοῦτο δῆλον. Καὶ ἐὰν εἴπωμεν Τελείως, οὐ δύο Χριστοὺς ἔχομεν, οὐ δύο βασιλέας υἱοὺς θεοῦ, ἀλλὰ τὸν αὐτὸν θεὸν, τὸν αὐτὸν ἄνθρωπον, οὐχ ὡς ἐν ἀνθρώπῳ [5] οἰκήσαντα, ἀλλ' αὐτὸν ὅλον ἐνανθρωπήσαντα, οὐκ ἄνθρωπον ὄντα, ἐλθόντα εἰς προκοπὴν θεότητος, ἀλλὰ θεὸν ἀπ' οὐρανῶν ἐλθόντα, καὶ εἰς ἑαυτὸν ἀναπλασάμενον τὴν ἰδίαν ἐνανθρώπησιν κατὰ τὴν αὐτοῦ δυνατὴν θεότητα. Ὡς λέγει ὅτι [6] Ὁ λόγος σὰρξ ἐγένετο. Τὸ δὲ, Λόγος σὰρξ ἐγένετο, ἵνα μή τινες νομίσωσιν ὅτι πρῶτος ἄνθρωπος ἦν, καὶ ἦλθε Χριστὸς εἰς ἄνθρωπον, διὰ τοῦτο λόγον πρῶτον ἔταξε τὸ θεῖον εὐαγγέλιον, εἶτα τὴν σάρκα ὡμολόγησεν, pag. 1024. ὅτι, Ὁ λόγος σὰρξ ἐγένετο. Οὐ γὰρ εἶπεν, Ἡ σὰρξ λόγος ἐγένετο, ἵνα δείξῃ πρῶτον λόγον ἀπ' οὐρανῶν ἐλθόντα, εἰς ἑαυτὸν δὲ ὑποστήσαντα τὴν σάρκα ἀπὸ τῆς μήτρας τῆς ἁγίας παρθένου, καὶ πᾶσαν τὴν ἐνανθρώπησιν τελείως εἰς ἑαυτὸν ἀναπλασάμενον. Κἄν τε γὰρ εἴπῃ, Ὁ λόγος σὰρξ ἐγένετο, οὐχ ὅτι ἐτράπη ὁ λόγος εἰς σάρκα, καὶ γέγονεν ὁ λόγος σὰρξ, ἢ ἡ θεύτης μετεβλήθη εἰς σάρκα, ἀλλὰ σὺν τῇ θεότητι ἔλαβε τὴν ἰδίαν αὐτοῦ ἐνανθρώπησιν ἐλθὼν ὁ θεὸς λόγος.

Κεφ. λα'. Καὶ προέκοπτε, φησὶ, ἐν ἡλικίᾳ Ἰησοῦς, καὶ σοφίᾳ. Ὁ δὲ νοῦν μὴ ἔχων ἀνθρώπινον πῶς προέκοπτε; καθὼς ἤδη μοι εἴρηται. Ὡς καὶ μαρτυρεῖ τούτῳ τῷ λόγῳ ὁ ἅγιος τοῦ θεοῦ προφήτης Ἡσαΐας φήσας, Ἰδοὺ, συνήσει ὁ παῖς μου ὁ ἀγαπητὸς, ἐφ' ᾧ εὐδόκησα. Καὶ ὁρᾷς ὅτι τὸ Συνήσει ἐπὶ τελείαν ἐνανθρώπησιν φέρεται; οὐ δύναται γάρ τις συνιέναι νοῦν μὴ ἔχων, οὔτε ἐπὶ τῇ θεότητι τοῦτο πληροῦται. Οὐκ ἐπιδεὴς γὰρ συνέσεως ἡ οὖσα αὐτοσύνεσις, οὐδὲ ἐπιδέεται σοφίας ἡ οὖσα αὐτοσοφία· ἀλλὰ τὸ Συνήσει ἐπὶ τῷ νῷ ἀνθρωπίνῳ λαμβάνεται. Πόθεν δὲ ἐπείνα; λέγει μοι. Εἰ μὲν γὰρ σὰρξ μόνον ἦν, πῶς ἠδύνατο μνησθῆναι πείνης; καὶ εἰ ἐκ ψυχῆς, καὶ σώματος ἦν μόνης, ψυχῆς μὴ ἐχούσης τὸ λογικὸν τοῦ νοῦ, τὸν λογισμὸν τῆς ἐναν-

4. ἆρα cod. Rhedig. ἄρα cod. Ien. et edili.

5. οἰκήσαντα emendavit Petavius, Cornarii versionem Latinam secutus. οἰκήσαντι librorum est scriptura.

6. Articulus ὁ abest ab ed. Petav. Colon. repet.

ab illo suscepta eo a me disputata sunt, ne cui veniret in mentem pro eo quod perfectam carnem induerit ea ipsa quoque quae ad carnem pertinent absurda abhorrentiaque praestitisse. Nemo enim, qui quidem religiose de illa sentiat, de eo eiusmodi quiddam animo concipiat, aut verbis exprimat. Quod si nemo est qui rationi contraria et absurda illa carnis officia praestitisse illum existimet, ne ea quidem quae a mente proficiscuntur absona et abhorrentia perfecisse putandus est. Iam vero dei verbum perfecte hominem esse factum nemo non intelligit. Cum autem perfectum dicimus, non duos idcirco Christos asserimus, vel duos reges dei filios, sed eundem deum, et eundem hominem; non ideo quod habitarit in homine, sed quod ipse totus homo sit factus. Neque porro merum illum hominem progressione quadam ad divinitatis conditionem processisse credimus, sed deum e coelo delapsum pro divinitatis suae potentia, suam sibi hominis affinxisse naturam. Id quod scripturae illa verba declarant, *Verbum caro factum est.* Quae idcirco ita concepta sunt Ioann. 1, 14. ne quispiam sibi forte persuaderet primum hominem extitisse, in eumque postea infudisse se Christum. Ob id verbum primo loco sacrosanctum evangelium posuit, deinde quid de carne profiteretur subiecit: *Verbum,* inquit, *caro factum est.* Non dixit Caro verbum est facta, quo nimirum verbum inprimis ostenderet descendisse de coelo, sibique carnem e sacro virginis utero formasse, atque omnem in sese perfecte naturam hominis expressisse. Cum enim ita loquitur, *Verbum caro factum est,* non illud indicat, verbum in carnem fuisse conversum, aut in eam omnino transiisse, sive divinitatem in carnem esse mutatam, verum cum divinitate verbum propriam hominis assumpsisse naturam.

Quinetiam *procedebat,* inquit, *Iesus aetate ac sapientia.* Atqui Cap. XXXI.
si humana mente careret, procedere quî potuit? ut a nobis ante Luc. 2, 52.
disputatum est. Cui et sanctus dei propheta Esaias adstipulatur his verbis: *Ecce intelliget servus meus dilectus, in quo mihi placui.* Ubi Esai. 42, 1. vox illa *intelligendi* ad perfectam hominis naturam refertur. Non enim intelligere quisquam potest, nisi mente sit praeditus, nec in divinitate potest istud impleri. Quoniam nec intelligentia indiget, quae ipsa per sese sit intelligentia; neque sapientia opus habet, quae est ipsa sapientia. Unde intelligendi vocabulum ad humanam mentem necessario pertinet. Praeterea volo illud mihi dicas, quemadmodum esurire potuerit. Nam si nihil praeter carnem habuit, quomodo famis recordari potuit? aut si ex anima sola constaret et corpore, ita ut facultate illa careret anima, quae ratione praedita est, hoc est propria mente hominis et intelligentia (quo nomine non de-

θρωπήσεως (οὐ τὸν φαῦλον λέγω, ἀλλὰ τὸν ἐπὶ τῇ εὐλόγῳ χρείᾳ τεταγμένον, συμπρεπόντως τῇ θεότητι), πῶς ἠδύνατο πεινάσαι, ἢ διανοηθῆναι πεῖναν; Πόθεν δὲ λελύπηται, λέγε μοι, ψυχῆς μὴ ἐχούσης νοῦν καὶ τὸ λογίζεσθαι, ἀλόγου ψυχῆς οὔσης, ἢ σαρκὸς ἀψύχου οὔσης; οὔτε ὑπὸ λύπην ὑπέπιπτεν, οὔτε εἰς ἀθυμίαν. Καὶ πολλά ἐστιν ἃ χρὴ ἡμᾶς διανοουμένους εἰδέναι, ὅτι τὰ σοφιστικὰ περιττὰ τυγχάνει, καὶ πλήττει μᾶλλον τοὺς ὑπὲρ τὸ δέον βουλομένους διανοεῖσθαι, καὶ μὴ μετρεῖν ἑαυτοὺς ἐν τῷ μέτρῳ τῷ ἡμῖν κατὰ παραίνεσιν εἰρημένῳ ἀπὸ τοῦ ἁγιωτάτου ἀποστόλου τοῦ φήσαντος μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν.

pag. 1025. Κεφ. λβ'. Φέρουσι δὲ ἡμῖν καὶ λέξεις τινὰς, ὅτι, [1] φησὶ, Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· καὶ, φασὶν, Ὁρᾷς ὅτι τοῦ Χριστοῦ ὁ νοῦς ἕτερος παρὰ τὸν ἡμέτερον; Καὶ ὢ πολλὴ [2] ἡ τῶν ἀνθρώπων ἀφελότης, ὅτι εἰς ὃ ἑκάτερος βούλεται κλίνει, καὶ ἐν ᾧ δοκεῖ σοφίζεσθαι μᾶλλον ἰδιότης εὑρίσκεται. Ἡμῶν γὰρ ὄντων ἰδιωτῶν τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει, κατὰ τὸ εἰρημένον, βραχέων δὲ σφόδρα ὄντων, θαυμαζόντων δὲ τῶν τοιούτων ἀνθρώπων καὶ ἀπὸ λόγων ὁρμωμένων τὸν νοῦν, ἀπορίας ἡμῖν κατάστασις περὶ τὴν διάνοιαν συμβαίνει, ὅτι τὸ ῥητὸν τοῦτο εἰς παράστασιν τῆς τοιαύτης αὐτῶν ἁπλῶς ἀργῆς φιλονεικίας λαμβάνουσιν ὅλως, τοῦ πράγματος μὴ ἔχοντος ἔμφασιν ἐπικοινωνοῦσαν τῇ τοιαύτῃ σχέσει. Ἡμεῖς γὰρ, φησὶ, νοῦν Χριστοῦ ἔχομεν. Τί δὲ ἄρα εἴη ὁ Χριστὸς, παρ' αὐτοῖς ἐρωτητέον, ἢ ὁ νοῦς Χριστοῦ τί ἄρα εἴη. Ἐνταῦθα δὲ ὑποφαίνουσιν ἕτερον τὸν Χριστὸν εἶναι νενοηκότες, καὶ ἑτέραν τὴν αὐτοῦ θεότητα. Εἰ γὰρ ἀντὶ τοῦ νοῦ τὸν Χριστὸν ὑπολαμβάνουσι, Χριστὸν δὲ τὴν ἔνσαρκον μόνην Χριστοῦ παρουσίαν ὀνομάζουσιν, ἄρα πάλιν εἰς ἑτέραν ζήτησιν ἡμᾶς ἄγειν πειρῶνται. Καὶ ὅτι μὲν οὖν ἀπὸ τῆς ἐνσάρκου παρουσίας θεὸς λόγος καὶ υἱὸς τοῦ θεοῦ ἑρμηνεύεται, δῆλον. Εἰ καὶ προῆγον περὶ αὐτοῦ μαρτυρίαι, τὸν Χριστὸν αὐτὸν καλεῖσθαι καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας, ἐν τῇ παρουσίᾳ πεπλήρωνται, μήτε τῆς θεότητος ἐκτὸς Χριστοῦ ὑπαρχούσης ὀνόματος, μήτε ἐνσάρκου παρουσίας καὶ αὐτοῦ ἐνανθρωπήσεως, ἄνευ τῆς τοιαύτης ὀνομασίας ὀνομαζομένης. Ὡς κατὰ τὸ εἰρημένον, Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν, ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἀναγαγεῖν ἐκ νεκρῶν. Καὶ πάλιν ὁ αὐτὸς λέγει, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν

Cap. XXXII. — 1. *Fortasse* φασὶ.
2. ἡ *articulum restitui ex codd. mss. Abest enim ab editis.*

pravatam illam significari volo, sed eam quae ad honestos vitae usus officiaque requiritur, quaeque nihil habet quod divinitatem non deceat), quî tandem esurire, vel esuriem cogitare potuit? Dolore vero quomodo potuit affici, si anima mente ac ratiocinandi facultate destituta fuerit, ut aut rationis expers esset, aut animam caro nullam haberet? Certe si eiusmodi fuit, dolore nullo vel moerore contrahi potuit. Sunt et alia generis eiusdem quamplurima; quibus animo comprehensis intelligendum illud nobis est, eiusmodi cavillationes et argutias inanes ac supervacaneas esse, et ad illorum feriendos animos spectare potius, qui ultra quam par est efferre se intelligendo volunt, neque se eo metiri modulo ac mensura, ad quam nos sanctissimus hortatur apostolus, cum sic admonet: *Ne* Rom. 12, 3.
sapiamus praeterquam quod oportet sapere.

Atenim nonnullas scripturae nobis auctoritates obiiciunt. Cu- Cap. XXXII.
iusmodi istud est: *Nos autem mentem Christi habemus*, et, *Videsne*, 1. Cor. 2, 16.
inquiunt, *Christi mentem a nostra esse diversam?* O mirificam hominum imperitiam! Nam ad quod cuique libitum est scripturae sermones accommodat, et in quo callidus et argutus esse videtur, in eo ipso rudis atque imperitus cernitur. Etenim quod ad nos attinet, qui *imperiti sermone sumus, non scientia*, uti scriptum est, quique 2. Cor. 12, 6.
et mediocres admodum sumus, et istiusmodi hominum, qui ab eruditione paratissimi sunt, admiramur ingenia, animo vehementer obstupescimus, quod ad inanem ac pertinacem suum istum errorem asseverandum, illum omnino scripturae locum afferre non dubitaverint, cum ne minimam quidem istius dogmatis significationem habeat. *Nos enim*, inquit apostolus, *Christi mentem habemus.* Igitur quid tantem Christus sit, Christique mens, de illis percontari nos oportet. Hoc quidem in loco aliud esse Christum, aliud Christi divinitatem, arbitrari se demonstrant. Ac si mentis loco Christum accipiant, Christum vero solam a Christo susceptam hominis naturam appellent, in aliam nos quaestionem coniiciunt. Quod igitur post incarnationem dei verbum ac dei filius declaretur, perspicuum est; ac tametsi nonnulla de ea testimonia antecesserint quibus vel ante incarnationem Christus appellari videtur, in ipsa nihilominus incarnatione complentur. Ceterum neque divinitas ab ipsa Christi appellatione secluditur, neque illius incarnatio et humana suscepta natura sine tali vocabulo nominatur. Velut in illo loco constat: *Ne dixeris in corde tuo, Quis ascendit in coelum? hoc* Rom. 10, 6.
est Christum deducere; aut, Quis descendet in abyssum? hoc est Christum e mortuis deducere. Praeterea idem ipse sic loquitur: *Ut co-* Ioann. 17, 3.
gnoscant te solum deum, et quem misisti Iesum Christum. Quae

Χριστόν. Τὸ δὲ Ἀπέστειλας ἄνωθεν ἔχον τὴν θεωρίαν, ἀλλ' οὐκ ἐκτὸς ὂν τῶν ὑπὸ Πέτρου εἰρημένων ὅτι, Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον εἰς ὑμᾶς τέρασι καὶ σημείοις, ὃν ἔχρισεν ὁ θεὸς πνεύματι ἁγίῳ· καὶ τὰ τούτοις ὅμοια.

Κεφ. λγ΄. Εἶτα δὲ πάλιν οἱ γλυκύτατοι ἡμῶν ἀδελφοὶ, βουλόμενοι κατὰ πάντα φιλονείκους ἡμῖν εἰςφέρειν διανοίας, καὶ τὴν αὐτοῦ θεότητα pag. 1026. πεπονθυῖαν οὐκ ἀτολμήτως κηρύττουσιν, ἐκ τοῦ ῥητοῦ τοῦ εἰρημένου, Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. Τινὲς δὲ τῶν αὐτοῦ παίδων μὴ νοοῦντες τοῦτο, ὡς οἶμαι, μετὰ τῶν ἄλλων προβαλλόμενοι βούλονται ἐπισοφίζεσθαι. Θαυμάζω γὰρ εἰ αὐτὸς οὕτως φάσκει. Οὐ θαυμαστὸν γὰρ ἐὰν εἴπῃ ἡ θεία γραφὴ τὸν κύριον τῆς δόξης ἐσταυρῶσθαι. Καὶ γὰρ καὶ κύριον δόξης ὁμολογοῦμεν καὶ αὐτὴν τὴν ἔνσαρκον παρουσίαν· οὐ γὰρ διῄρηται ἀπὸ τῆς θεότητος ἡ ἔνσαρκος παρουσία· τῆς ἑκάστης ὑποθέσεως εὐλόγως νοουμένης, καὶ ἐπὶ τὸ αὐτὸ τῆς πάσης πραγματείας εἰς μίαν οἰκονομίαν καὶ μίαν τελειότητα ἡμῖν συνηνωμένης. Παθητὸς γὰρ ἡμῖν κηρύττεται Χριστὸς καὶ πιστεύεται, οὐ καθ' ἑαυτὸν παθὼν, οὐδὲ ὅτι ἄλλος ἐστὶν ὁ πεπονθὼς καὶ ἄλλος ὁ κύριος, οὐδὲ ὅτι ἡ θεότης πέπονθεν, ἀλλὰ πέπονθε μὲν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῆς θεότητος ἀτρέπτου μενούσης τε καὶ ἀπαθοῦς, πασχούσης δὲ ἐν τῇ σαρκὶ, καὶ ἀπαθοῦς μενούσης. Εἰ γὰρ ἀπέθανε Χριστὸς ὑπὲρ ἡμῶν, καὶ ὄντως ἀπέθανεν, οὐχ ἡ θεότης ἀπέθανεν, ἀλλὰ ἀπέθανεν ἐν σαρκὶ, κατὰ τὸ εἰρημένον, Θανατωθεὶς σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι, καὶ πάλιν, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί. Θαυμαστῶς ἡμῖν ὡμολόγηται πεπονθὼς ἐν ἀληθείᾳ καὶ ἀπαθὴς ἐν ἀληθείᾳ, τῆς θεότητος μὴ παθούσης, διὰ τὸ ἄτρεπτον καὶ ἀπαθὲς καὶ ὁμοούσιον τῷ πατρί. Παθούσης δὲ τῆς σαρκὸς, καὶ οὐ μερισθείσης τῆς θεότητος ἀπὸ τῆς ἐνσάρκου παρουσίας ἐν τῷ πάθει. Συνῆν γὰρ καὶ ἡ θεότης καὶ ἡ ἐνανθρώπησις, [1] ὅτε ἐπὶ τῷ σταυρῷ ἔπασχε μὲν Χριστὸς σαρκὶ, ἀπαθὴς δὲ ἔμεινε θεότητι· ἵνα τὴν δικαίωσιν μηκέτι ἐν σαρκὶ μόνον ἔχωμεν, ἀλλὰ ἐν τῇ θεότητι, καὶ ἵνα ἐν τῇ θεότητι καὶ ἐν τῇ σαρκὶ κατ' ἀμφοῖν ἡμῖν σωτηρία γένηται. Οὐ γὰρ ψιλὸς ἡμῖν ἄνθρωπος ὁ Χριστὸς, [2] ἀλλὰ λόγος ἐνυπόστατος, ἔνσαρκος, καὶ θεὸς ἄνθρωπος γεγονὼς ἐν ἀληθείᾳ, ἡμῶν μὴ ἐχόντων τὴν ἐλπίδα ἐπ' ἄνθρωπον, ἀλλ' ἐν τῇ θεότητι, καὶ ἡμῶν μὴ ἐχόντων θεὸν πάσχοντα, ἀλλ' ἀπαθῆ,

Cap. XXXIII. — 1. ὅτι mendum est ed. Petav. Colon. repet.
2. ἀλλ' λόγος ed. Petav.

quidem vox, *Misisti*, cum de coelesti illa missione accipienda sit, ab eo tamen, quod Petrus dixit, separari non debet: *Iesum Naza-* Act. 2, 22.
raenum virum probatum in vobis prodigiis ac signis; quem unxit deus spiritu sancto, ac reliqua id genus.

Sed nec his quidem contenta suavissimi illi fratres nostri, cum Cap. XXXIII.
illud sibi semel proposuerint, ut in omnibus opiniosissimam suam nobis pervicaciam opponant, etiam divinitatem Christi passam esse summa cum audacia praedicant. Ad quod illis apostoli verbis abutuntur: *Si enim cognovissent, nunquam dominum gloriae crucifixis-* 1.Cor. 2, 8.
sent. Ac mea quidem sententia aliqui Apollinaris discipuli, qui minus istud intelligerent, cum aliis erroribus hunc ipsum proponentes, argutuli volunt videri. Miror enim si eiusmodi quicpiam ab eo fuerit assertum. Neque vero admirandum est quod scriptura sacra dominum gloriae crucifixum esse dixerit. Siquidem et assumptam hominis naturam gloriae dominum appellamus; quippe quae ab divinitate minime separata sit. Nec ullum in eo genere opus aut argumentum est quod non commode possit intelligi, adeoque totum incarnationis negotium ad unam eandemque administrationem perfectionemque conspirat. Itaque patibilem nos Christum praedicamus ac credimus; non quod per sese sit passus: neque quod alius sit a patiente dominus, neque quod divina natura passa sit: verum ita dominus noster Iesus Christus passus est ut ipsius divinitas mutationis omnis et passionis expers nihilominus in cruce pateretur, et ipsa nullam in sese passionem experiretur. Quod enim Christus nostra caussa mortuus est, vereque mortuus, non in divinitatem mors illa cecidit, sed in carne mortuus est; quemadmodum scriptum est, *Mortificatus carne, vivificatus autem spiritu*: item, *Chri-* 1.Pet. 3, 18. 1.Petr. 4, 1.
sto passo pro nobis in carne. Quamobrem singulari quadam et admirabili ratione vere passum illum esse confitemur, et eundem tamen vere passionis expertem, quod nihil divinitas ipsa patiatur, quoniam ab omni vicissitudine et passione immunis est, eiusdemque cum patre substantiae. Ita porro passam esse carnem asserimus ut in ipsa perpessione divinitas nequaquam ab assumpta hominis natura seiuncta sit. Tum enim divinitas cum humana natura coniuncta fuit, quando Christus in cruce suffixus carne passus est, nihil ipsa divinitate patiente; quo iustificatio nostra non amplius in sola carne, sed etiam in divinitate consisteret, atque ut a divinitate simul, et carne salus nostra proficisceretur. Etenim Christus non simplex ac nudus homo fuit, sed verbum subsistens, incarnatum, ac deus homo revera factus, ut spem nostram non amplius in homine, sed in divinitate collocemus, neque patientem deum, sed a perpessione

pag. 1027. ἐκτὸς δὲ πάθους τὴν σωτηρίαν ἡμῶν μὴ πεποιηκότα, ἀλλ' ἐν τῷ ὑπὲρ ἡμῶν ἀποθανεῖν καὶ ἑαυτὸν προςενέγκαι τῷ πατρὶ θυσίαν ὑπὲρ τῶν ἡμετέρων ψυχῶν, ἐν τῷ αἵματι αὐτοῦ καθαρίσας ἡμᾶς, σχίσας τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ προςηλώσας αὐτὸ τῷ σταυρῷ, καθὼς πάντη ἡ γραφὴ διδάσκει ἡμᾶς.

Κεφ. λδ'. Καὶ ἔσται μοι περὶ τούτων, εἰ χρεία γένοιτο, εἰς παράστασιν εἰπεῖν πολλά. Καὶ γὰρ ἐν ἄλλοις εἰρήκαμεν, τὴν θεωρίαν ταύτην σαφηνίζοντες, περὶ τῆς ἡμῶν βεβαίας σωτηρίας, ὅτι ὡς ἂν ἐκ ῥαντισμοῦ αἵματος [1] τυγχάνει βαφὴ ἐν ἱματίῳ, τὸ μὲν σῶμα οὐκ ἔβαψε τοῦ φοροῦντος, ἡ δὲ βαφὴ τοῦ ἱματίου οὐκ εἰς τὸν ἱμάτιον λελόγισται, ἀλλ' εἰς τὸν ἄνθρωπον τὸν φοροῦντα, οὕτω καὶ τὸ πάθος τῇ θεότητι μὲν οὐκ ἐνέσκηψεν, ἀλλ' ἐν τῇ ἐνανθρωπήσει ἐγένετο, οὐκ ἐλογίσθη δὲ τῇ ἐνανθρωπήσει μόνῃ, ἀλλ' ἵνα μὴ πληρωθῇ ἐν τῇ σωτηρίᾳ τῆς οἰκονομίας τὸ, Ἐπικατάρατος πᾶς ὃς ἔχει τὴν ἐλπίδα ἐπ' ἄνθρωπον, ἀλλ' ἐλογίσθη καὶ εἰς τὴν θεότητα, τῆς θεότητος μὴ πασχούσης, ἵνα ἐν τῇ θεότητι λογισθῇ τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ τοῦ πάθους ἡ σωτηρία. Ἀλλὰ πάλιν μὴ λεξίθηρ ὢν τις ἑαυτὸν θελήσῃ μᾶλλον συλλογίσασθαι [2] ἤπερ τὸ αἴνιγμα τοῦ ὁμοιώματος. Οὐ γὰρ πᾶσα παραβολὴ ἐν τῇ γραφῇ ὅλη λαμβάνεται ὡς τὸ, Σκύμνος λέοντος Ἰούδα, διὰ τὸ ἰσχυρότερον τοῦ ζώου καὶ βασιλικώτατον, ἀλλ' οὐχὶ διὰ τὸ ἄλογον καὶ ἁρπακτικόν· οὕτω καὶ ἐπὶ τοῦ ἱματίου, οὐκ ἐνδυομένου καὶ ἐκδυομένου, ἀλλ' ἅπαξ κατὰ τὸ εἰρημένον, Εὐπρέπειαν ἐνεδύσατο, τὸ δὲ δεύτερον, Ἐνεδύσατο δύναμιν, καὶ διεζώσατο· πληρουμένης ἐπὶ τούτῳ τοῦ ἁγιωτάτου ἀποστόλου τῆς φωνῆς, τὸ, Οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Τοίνυν τούτων οὕτως ἐχόντων βούλονται οἱ ἀδελφοὶ ἡμῶν εἰς παράστασιν ἡμῖν φέρειν ὅτι, Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν. Κατὰ δὲ τὸν λόγον αὐτῶν, τὸν ἐπὶ τῇ θεωρίᾳ ταύτῃ φραζόμενον, εἰς ὑπόνοιαν ἡμᾶς φέρουσι, μὴ τάχα νενοήκασιν ὡς τοῦ νοῦ ἑτέρου ὄντος τοῦ Χριστοῦ. Εἰ δὲ οὐ λογίζονται ἐκτὸς εἶναι τὴν θεότητα τῆς ἐνανθρωπήσεως, ἀλλὰ μίαν εἶναι τὴν οἰκονομίαν, τί ἄρα ἔσται περισσότερον νοῦς Χριστοῦ ὁ λεγόμενος; Μὴ [3] ἄρα καθ' ἑαυτὸν ὁ θεὸς λόγος ἐστὶ, μὴ ἔχων νοῦν ἀνθρώπινον, ὥς φασιν, ἐν
pag. 1028. τῇ ἐνσάρκῳ παρουσίᾳ; νοῦν δὲ [4] ἕτερον ἔχει Χριστὸς παρὰ τὴν αὐτοῦ ὑπόστασιν τῆς θεότητος; ἢ καταχρηστικῶς εἴωθε πᾶν ῥῆμα ὑπέρογκον λέγεσθαι ἡμῖν εἰς παράστασιν τῶν ἐν ἡμῖν πληρουμένων;

Cap. XXXIV. — 1. *Corrigendum suspicor* τυγχάνῃ.

2. ἤπερ *scripsi pro* ἢ περὶ, *quod libri vulgo praebent;* συλλογίζεσθαι *est* rationibus refutare, *quomodo usurpatum idem verbum habuimus haer.* 76, *p.* 948 *et* 963. — *Petavius locum hunc mutilum esse iudicavit. Cornarius vertit* Non enim omnis similitudo in scriptura tota accipitur, *simpliciter atque recte.*

3. ἄρα *codd. mss.*

4. ἕτερον ἔχει Χριστὸς *cod. Ien. et ed. princ.* ἕτερον ἔχει ὁ Χριστὸς *ed. Petav.* ἔχει Χριστὸς ἕτερον *cod. Rhedig.*

omni immunem habeamus; qui quidem non sine perpessione salutem nobis attulerit, sed id moriendo pro nobis, seque deo patri pro nostris animabus sacrificii instar offerendo praestiterit, cum nos sanguine suo repurgarit, *ac scriptum contra nos chirographum* Col. 2, 14. *disciderit, et cruci suae istud affixerit,* id quod ubique scriptura testatur.

Cap. XXXIV.

Possem, si necesse videretur, ad eius dogmatis veritatem confirmandam alia proferre quam plurima. Sic enim alio loco, cum idem argumentum pertractaremus, de certa minimeque dubia nostra salute constituimus: Quemadmodum sanguinis aspergine vestis inficitur, licet eius qui vestem gerit corpus nequaquam infectum sit, nihilominus illa vestis aspersa macula non vesti sed ei qui vestem gerit tribuitur, eodem modo licet perpessio in divinitatem non incubuerit, sed humanae duntaxat naturae contigerit, non huic tamen soli tribuendam. Verum ne in procuranda per incarnationem verbi salute nostra in illam incurramus scripturae sententiam, *Maledictus* Hier. 17, 5. *omnis qui spem habet in homine,* propterea divinitati etiam imputatur, cum nihil ipsa per sese patiatur, ut humani generis salus per Christi passionem acquisita a sacrosancta dei ecclesia divinitati quoque tribuatur. Vereor ne quis ex illis vocum captatoribus subtiliori ratiocinatione semetipsum implicare malit, quam allatam a nobis similitudinem caute ac prudenter accipere. Neque enim ulla sacris in literis similitudo tota ac penitus usurpatur. Velut cum dicitur, *Ca-* Gen. 49, 9. *tulus leonis Iuda.* In quo fortitudinis ac regiae cuiusdam excellentiae, quae in illa fera cernitur, habita ratio est, nec illud spectatum est, quod rationis expers sit ac rapax. Sic et in veste nihil illud ad rationem nostram pertinet, quod id indui exuique soleat. Semel enim, ut scriptum est *decorem induit,* deinde vero *virtutem* Psalm. 92, 1. *induit, ac praecinxit se.* In quo apostoli illa vox impletur, *Non* Rom. 6, 9. *iam moritur, mors illi ultra non dominatur.* Quae cum ita sese habeant, hoc ad sui dogmatis patrocinium fratres nostri proferunt, *Nos autem mentem Christi habemus.* Quae ex illorum sermone, quem 1. Cor. 2, 16. in eo argumento usurpant, suspicari licet, alteram illos Christi mentem asserere voluisse. Sed si divinitatem ab incarnatione non separant, sed unicum ac simplex incarnationis negotium illud esse putant, quid tandem eximium illa, quae dicitur, Christi mens habebit? An per se ipsum dei verbum existit, nec humana mente in incarnatione praeditum est? quae est illorum opinio. An alia praeter divinitatis hypostasin in Christo mens residet? An potius scripturae ille mos est, ut ad ea quae in nobis geruntur ob oculos ponenda grandioribus verbis utatur?

Κεφ. λε'. Καὶ γὰρ τῷ μὲν ὄντι πᾶς θεοσεβὴς οὐ κατὰ τὸν νοῦν τὸν ἀνθρώπινον πολιτεύεται, ἀλλὰ κατὰ τὸν τοῦ Χριστοῦ, τὸν ὑπὸ [1] Χριστοῦ πληρούμενον τῇ συνέσει, τὸν κατὰ τὸν Χριστὸν λογιζόμενον ἐν δικαιοσύνῃ, τὸν ἐν Χριστῷ πεπολιτευμένον τῇ ὁμολογίᾳ, τὸν διὰ Χριστὸν σωζόμενον ἐν τῇ δικαιοπραγίᾳ. Οὗτος [2] γάρ ἐστιν ὁ νοῦς Χριστοῦ ὁ ἐν ἡμῖν δυνάμενος εἶναι καὶ ἐν τόπῳ περιεκτικῷ τὸν Χριστὸν μὴ κατέχειν. Πάντῃ γάρ ἐστιν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ ἅγιον πνεῦμα, καὶ ἐν ἡμῖν ὑπάρχει πνευματικῶς, ἐὰν αὐτοῦ ἄξιοι γενώμεθα· οὔ τινος τόπου περικλείοντος αὐτὸν καὶ τὸν αὐτοῦ πατέρα καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, τῇ [3] δὲ δυνάμει τῆς αὐτοῦ θεότητος ἐν ἅπασι τυγχάνων ἐστὶ, καὶ ἀμιγὴς πάντων ἐστὶ, διὰ τὴν αὐτοῦ ἀσυγκοινώνητόν τε καὶ ἀσύγκριτον οὐσίαν καὶ ἀκραιφνῆ καὶ ἀκατάληπτον θεότητα. Ὅταν [4] δὲ εἴπῃ ὁ ἀπόστολος, Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἄρα γε τί λογισόμεθα; Εἶχε τὸν ἴδιον ἀνθρώπινον; Ἢ τοῦ Χριστοῦ ἐμφορούμενος νοῦν τὸν μὲν ἴδιον ἀπεβάλλετο, νοῦν δὲ Χριστοῦ εἶχεν ἀντὶ τοῦ ἰδίου; Οὐ πάντως. Συνομολογήσειε γὰρ ἕκαστος τῶν ἀκουόντων ὅτι τὸν μὲν ἴδιον εἶχε, τοῦ τε Χριστοῦ ἐνεφορεῖτο, τοῦ κοσμήσαντος αὐτὸν κατὰ τὴν θεοσέβειαν καὶ γνῶσιν καὶ θεοῦ πολιτείαν ἐπουράνιον. Εἰ τοίνυν τὸν ἴδιον ἔχων νοῦν Χριστοῦ ἐνεφορεῖτο νοῦν, [5] ἄρα γε καὶ Χριστὸς αὐτὸς ὁ λόγος νοῦς ἦν· εἴ γε οὕτως [6] δεῖ λέγειν, ἐπειδή τισι τοῦτο [7] ἔδοξε, νοῦν καλεῖν θεόν. Ἐγὼ δὲ τὸν νοῦν τὸν ἡμέτερον οὐχ ὑπόστασιν ἡγοῦμαι, οὐδέ τις τῶν υἱῶν τῆς ἐκκλησίας, ἀλλ' ἐνέργειάν τινα ἐκ θεοῦ ἐν ἡμῖν δεδομένην καὶ οὖσαν. Τὸν δὲ Χριστὸν ὑπόστασιν λέγω, ὡς καὶ πάντες πιστοὶ ὁμολογοῦσι, καὶ θεὸν ὁμολογῶ, καὶ ὄντα κύριον ἐκ πατρὸς γεγεννημένον, τέλειον ἐκ τελείου, καὶ φῶς ἐκ φωτὸς, καὶ θεὸν ἐκ θεοῦ. Ἀλλ' ὅμως κατὰ τὸν αὐτῶν λόγον ὁ ὢν ἐν [8] ἑαυτῷ νοῦς, ὥσπερ ὁ ἅγιος ἀπόστολος διδάσκει περὶ αὐτοῦ ὅτι Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, εἶχεν αὐτὸς, καὶ οἱ ὑπ' αὐτοῦ μαρ-
pag. 1029. τυρούμενοι, τὸν ἴδιον ἑαυτὸν νοῦν. Καὶ πάλιν ἐνεφοροῦντο τοῦ Χριστοῦ νοῦ, οὕτως δυναμένης τῆς χάριτος αὐτοῦ ἐν [9] ἑαυτοῖς τελειοῦσθαι.

Κεφ. λϛ'. Ἄρα οὖν οὐδὲν διοίσει ἀπὸ τοῦ κατάντικρυς ὁμοιώματος τὸ καὶ ἐπὶ Χριστοῦ τοῦτο λαμβάνειν, ὅτι Χριστὸς ὢν ἐν ἑαυτῷ θεὸς, [1] εἰ καὶ μετεῖχε νοῦ ἀνθρωπίνου, ὡς καὶ σαρκὸς μετέσχε καὶ αἵματος, καὶ

Cap. XXXV. — 1. τοῦ Χριστοῦ cod. Rhedig.
2. πάρεστιν cod. Rhedig.
3. δὲ *non habet cod. Rhedig.*
4. δὲ εἴπῃ *codd. mss. et ed. princ.* δ' εἴπῃ *ed. Petav.*
5. ἄρα *codd. mss.*
6. δεῖ *scripsi pro* δὴ, *quod vulgo extat in libris. Etiam Cornarius vertit* siquidem sic dicere oportet.

Nam si vere loqui volumus, pius quilibet vitam suam non ex humana mente temperat, sed ex ea quae Christi propria est, quaeque ab eodem sapientia repletur, quae Christo propter iustitiam attribuitur, quae per fidei professionem in Christo vivit, quae honestorum operum functione per Christum salutem assequitur. Haec est illa Christi mens, quae sic in nobis inesse potest, ut Christum certi alicuius loci regione minime circumscribat. Nam ubique sunt pater et filius et spiritus sanctus, et spiritali quodam modo in nobis existunt, si illis esse digni velimus. Neque vero loco ullo vel ipse concluditur, vel ipsius pater aut spiritus sanctus, sed propter divinitatis ipsius potentiam in omnibus existit; neque tamen cum ulla miscetur, quod et illius substantia communionem omnem ac comparationem superet, et sincera sit, atque omni maior comprehensione divinitas. Cum autem dicit apostolus, *Nos Christi mentem habemus,* quid tandem existimabimus? Num ille propriam, hoc est humanam mentem habuit? An Christi mentem in sese ferens, amissa propria, eius illam loco obtinuisse putandus est? Non opinor; nec est quisquam qui haec audiat, qui non peculiarem illi fuisse mentem arbitretur, praeter quam Christi quoque mente repleretur, qui se religionis, scientiae ac divinae cuiusdam et coelestis vitae ornamentis afficeret. Quapropter si cum propriam haberet, Christi insuper ille mentem complexus est, consequens est Christum ipsum verbum mentem esse; si quidem ita loqui licet. Quandoquidem nonnullis visum est mentem appellare deum. Ego vero mentem nostram hypostasin esse non arbitror, neque ex ecclesiae filiis alius quisquam, sed efficientiam quandam, quae in nobis a deo concessa resideat. Christum vero hypostasin esse dico, ut et fideles omnes confitentur; et deum esse profiteor, ac dominum a patre genitum, perfectum e perfecto, lumen de lumine, deum de deo. Verumtamen ex eadem ratione ille ipse, qui in sese mens erat, ut de illo sanctus apostolus docet, cum ait, *Nos autem Christi mentem habemus,* habebat tam ipse quam ii de quibus testificatur propriam sibi mentem. Ac rursum Christi mens illos implebat, cum hoc modo illius in ipsis gratia perfici posset. CAP. XXXV.

Nihil igitur a proposita similitudinum abhorret, idem ut ad Christum transferamus eumque statuamus, cum in sese deus esset, tametsi mentis esset humanae particeps, quemadmodum carnis ac san- CAP. XXXVI.

7. ἔδοξε *emendaverunt Cornarius (qui vertit* Nam quibusdam visum est mentem vocare deum) *et Petavius. Libri vulgo* ἔδειξε.

8. αὐτῷ *cod. Rhedig.*

9. αὐτοῖς *cod. Rhedig.*

Cap. XXXVI. — 1. εἰς *pro* εἰ *mendose est expressum in ed. Petav. Colon. repet.*

ψυχὴν εἶχε τὴν ἀνθρωπείαν, οὐ πάντως ἀπὸ τοῦ νοὸς ἠχμαλωτεύετο. Εἰ γὰρ ὁ κατὰ φύσιν ἴδιον νοῦν κεκτημένος ἀπόστολος τὸν ἀνθρώπινον, καὶ τὸν ἐκ συμμετοχῆς δωρεᾶς καὶ χαρίσματος καὶ χάριτος, οὐκέτι κατὰ τὸν νοῦν τὸν ἴδιον ἐπολιτεύετο, ἀλλ' ὑπερβαινούσῃ τινὶ φύσεως ἀγωγῇ τῷ Χριστοῦ νῷ κατεκοσμεῖτο, πόσῳ γε μᾶλλον ὁ θεὸς λόγος, ἐν ἑαυτῷ ἔχων τὴν πᾶσαν τελειότητα, αὐτοτέλειος ὤν, αὐτόθεος ὤν, αὐτοδύναμις, [2] αὐτόνους, [3] αὐτόφως, καὶ τοῦ νοῦ καὶ παντὸς [4] τοῦ σώματος πληρωτὴς ἐγένετο, μᾶλλον δὲ τελειωτὴς, καὶ ἐν ἅπασι διὰ τῆς αὐτοῦ ἐνσάρκου παρουσίας ἡμῖν τὸ σωτήριον ἐξειργάσατο; Παρενεκτέον τοίνυν τὸν τοιοῦτον λόγον, μὴ ἔχοντα ἔμφασιν περὶ τῆς τοιαύτης ὑποθέσεως, καὶ παρενεκτέον τὸ μὴ ὁμολογεῖν πάντα τέλεια ἐν Χριστῷ, ἄνευ ἁμαρτίας. Πάντα γὰρ ἀληθινῶς ἐποίησεν ἐλθὼν ὁ λόγος, τὰ προγεγραμμένα περὶ [5] αὐτοῦ τελειῶν, κατὰ τὸ γεγραμμένον, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τὰ ἑξῆς· ἐν ἀληθείᾳ ἐγκυμονηθεὶς, καὶ οὐκ ἐν δοκήσει, συλλαμβανόμενος ἐν γαστρὶ ἐν ἀληθείᾳ, ἐνδημῶν σαρκὶ ἐν ἀληθείᾳ, σάρκα ἔχων καὶ ψυχὴν ἐν ἀληθείᾳ, καὶ νοῦν ἐν ἀληθείᾳ, καὶ πάντα εἴ τί ἐστι ἄνθρωπος ἐν ἀληθείᾳ, χωρὶς ἁμαρτίας. Καὶ γεγεννημένος ἐκ παρθενικῆς μήτρας καὶ ἁγίας παρθένου ἐν ἀληθείᾳ, οὐκ ἐκ σπέρματος ἀνδρὸς, ἐν ἀληθείᾳ δὲ σάρκα ἔχων καὶ ψυχὴν καὶ νοῦν, ὡς ἔφην, καὶ διὰ τῶν τοκετικῶν πόρων ἐν ἀληθείᾳ [6] εὑρισκόμενος, καὶ ἐν φάτνῃ ἐν ἀληθείᾳ σπαργανούμενος, ὑπὸ Μαρίας βασταζόμενος, καὶ ἐν Αἰγύπτῳ κατερχόμενος, καὶ ἀπ' Αἰγύπτου μεταφερόμενος, καὶ εἰς Ναζαρὲτ ἀναστρεφόμενος, καὶ ἐν Ἰορδάνῃ παραγενόμενος, καὶ ὑπὸ Ἰωάννου βαπτιζόμενος, καὶ ὑπὸ Διαβόλου πειραζόμενος, καὶ μαθητὰς ἐκλεγόμενος ἐν ἀληθείᾳ, καὶ βασιλείαν οὐρα-
pag. 1030. *νῶν κηρύξας, ὡς τὰ πάντα ἐν ἀληθείᾳ εὑρίσκεται, ὑπό τε Ἰούδᾳ παραδιδόμενος, καὶ ὑπὸ Ἰουδαίων συλλαμβανόμενος, Ποντίῳ Πιλάτῳ προσφερόμενος, καὶ ὑπ' αὐτοῦ θανάτῳ κατακρινόμενος, σταυρῷ παραδιδόμενος, Διψῶ, λέγων, δότε μοι πιεῖν, ἐν ἀληθείᾳ, λαμβάνων ὄξος μετὰ χολῆς, γευόμενος, καὶ μηκέτι ποτὸν προσιέμενος, σταυρῷ προσπηγνύμενος, ἐν ἀληθείᾳ κράζων, Ἠλὶ, ἠλὶ, [7] λημᾶ σαβαχθανὶ, ἐν ἀληθείᾳ κλίνων τὴν κεφαλὴν, καὶ ἐκπνέων, ἐν ἀληθείᾳ τὸ σῶμα [8] καθαιρούμενος, καὶ λαμβανόμενον ἐν ἀληθείᾳ, καὶ ἑλισσόμενον ὑπὸ τοῦ Ἰωσὴφ, καὶ ἐν μνήματι τιθέμενον ἐν ἀληθείᾳ, λίθῳ ἠσφαλισμένον, κατερχόμενος ἐν θεότητι σὺν ψυχῇ εἰς ᾅδου, καὶ λύων πεπεδημένους ἐν ἀνδρείᾳ καὶ ἐν δυνάμει, ἀνερχόμενος θεὸς [9] λόγος σὺν ψυχῇ τῇ ἁγίᾳ,*

2. *Vulgo* αὐτονοῦς.
3. αὐτοφῶς *ed. princ.*
4. τοῦ *omiss. in ed. Petav. Colon. repet.*
5. αὑτοῦ *ed. Petav.*
6. *Suspicor* ἑλισσόμενος. *Petavius coniciebat* τικτόμενος, *Gatakerus Opp. Crit. p.* 812. ἐκπορευόμενος *vel* ἐκδιδόμενος.
7. λημᾶς ἀβαχθανὶ *codd. mss. uterque et ed. princ., uti solent.*

guinis fuit, et humanam haberet animam, nullo tamen modo ab ea mente in captivitatem, ut ita dicam, ac servitutem redactum. Nam si apostolus, cui propria quaedam mens a natura erat insita, humana videlicet ac praeter ipsam alia, quam ex coelestis doni ac gratiae beneficiique participatione traxerat, non iam ad mentis suae praescriptum vitam dirigebat suam, sed excellenti quodam naturae instituto ductuque Christi mente insignitus et ornatus erat, quanto magis dei verbum, quod in sese perfectionem omnem continet, imo ipsa perfectio est, ipse per sese deus, virtus ipsa, mens ipsa, lumen ipsum, mentem ac totum corpus complevit, vel perfecit potius, et sua nobis incarnatione cumulatam omni ex parte salutem attulit? Est igitur illorum iste sermo repudiandus, qui nullam dogmatis illius significationem habet, cavendumque ne non omnia in Christo perfecta, praeter peccatum, asseramus. Siquidem divinum illud verbum omnia re ipsa praestitit, et quae de se ipso diu ante scripta fuerant implevit; uti sacrum illud vaticinium demonstrat, *Ecce virgo* Esai. 7, 14.
concipiet etc. Tum vero re ipsa, non specie tenus gestatus in utero, in quo et revera genitus erat; secundum quae vere inter homines cum carne versatus est, carnem, animam ac mentem, et quicquid aliud homo est, praeter peccatum, in sese complexus. Idem ex virginis utero, e sacrosancta, inquam, virgine, non ex virili satu, revera genitus. Qui, ut dixi, carne, anima et mente re ipsa constans, per naturales parturientium meatus revera prodiit, et in praesepi fasciis obvolutus, a Maria gestatus, post haec in Aegyptum descendens indidem reportatus est; deinde Nazareti degens, atque hinc ad Iordanem accedens, a Ioanne baptizatus, et tentatus a Diabolo, vere sibi discipulos adscivit, ac coelorum regnum denuntiare coepit, quemadmodum et alia omnia re ipsa, non ficte suscepit. Velut cum et a Iuda proditus et a Iudaeis comprehensus, oblatus Pontio Pilato, et ab eo morte damnatus atque in cruce suffixus est. Perinde bona et illud fide dixit, *Sitio, date mihi bi-* Ioann.
bere, et quod oblatum erat acetum cum felle cepit, ac degustavit, 19, 28.
neque quicquam potus amplius admisit. Sed et affixus cruci revera sic exclamavit, *Eli, Eli, lamma sabactani:* inde, *caput inclinans ex-* Matth.
spiravit. Tum eiusdem corpus vere de cruce detractum, manibus 27, 48.
contrectatum, a Iosepho linteis involutum et in monumentum revera depositum, cui lapis ad custodiendum obductus est. Quinetiam et ad inferos ipsius divinitas cum anima descendit, eosque, qui vincti illic attinebantur, vi sua ac potentia liberavit; tum idem dei verbum cum anima sua sanctissima sursum emergens, et captivorum

8. καθαιρούμενον *placuit Petavii.* 9. λόγος *abest a cod. Rhedig.*

μεθ' ἧς ἐρρύσατο αἰχμαλωσίας, τὸ τριήμερον ἐν ἀληθείᾳ ἐγειρόμενος σὺν σώματι καὶ ψυχῇ, καὶ παντὶ τῷ ὀργάνῳ ἐν ἀληθείᾳ, εὑρισκόμενος μετὰ τῶν μαθητῶν τὴν τεσσαρακονθήμερον, εὐλογῶν τε αὐτοὺς ἐν τῷ Ὄρει τῶν ἐλαιῶν ἐν ἀληθείᾳ, ἀνερχόμενος εἰς οὐρανὸν ἐν ἀληθείᾳ, τῶν μαθητῶν αὐτὸν θεωρούντων ἕως τῶν νεφελῶν ἀναλαμβανόμενον ἐν ἀληθείᾳ, καθεσθέντα καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς ἐν ἀληθείᾳ, ἐν αὐτῷ τῷ σώματι καὶ τῇ θεότητι, ἐν αὐτῇ τῇ τελείᾳ ἐνανθρωπήσει, ᾗ συνήνωσε τὰ ὅλα εἰς ἓν καὶ μίαν πνευματικὴν τελείωσιν, θεὸς ὢν ἐν δόξῃ καθεζόμενος κρῖναι ζῶντας καὶ νεκρούς, ἐρχόμενος ἐν ἀληθείᾳ. Καὶ οὐδέν ἐστι παρηλλαγμένον, ἀλλὰ πάντα τέλεια τελείως ἐν αὐτῷ ἐν τελειότητι εἰργασμένα.

Κεφ. λζʹ. Καλῶς δὲ ἔχειν περὶ τούτων νομίσαντες ἕως τούτου περὶ τούτων εἰρῆσθαι ἐδικαιώσαμεν. Περὶ δὲ ὧν ἐνηχήθημεν πάλιν περιττολογιῶν τῶν τὰ τοιαῦτα λεγόντων ἀναγκαῖον καὶ αὐτὰ ὑποδεῖξαι. Οὐ πάνυ δὲ πεπιστεύκαμεν ὅτι οὕτως παρ' αὐτοῖς ᾄδεται. Ὅμως τὰ ἐνηχηθέντα οὐ σιωπήσομεν.

Τινὲς γὰρ καὶ ἐτόλμησαν λέγειν ὅτι πάλιν τινὲς ἐξ αὐτῶν λέγουσι περὶ Μαρίας, μετὰ τὸ γεγεννηκέναι τὸν Χριστὸν ἐπισυνῆφθαι ἀνδρὶ τῷ Ἰωσήφ. Θαυμάζω δὲ εἰ καὶ αὐτοὶ τοῦτο λέγουσιν. Εἰσὶ δὲ οἱ
pag. 1031. τοῦτο λέγοντες, οὓς καὶ αὐτοὺς ἐν τοῖς σχίσμασιν ἠριθμήσαμεν, αἰτηθέντες καὶ γράψαντες ἐπιστολὴν ἐν τῇ Ἀραβίᾳ πρός τινας κατὰ τῶν τοῦτο λεγόντων. Πολλὰ δὲ ἐκεῖσε περὶ τούτου εἰρήκαμεν ἐν τῇ κατ' αὐτοὺς ὑποθέσει. Καθεξῆς δὲ ἐν θεῷ καὶ αὐτὴν ἰδιάζουσαν καθυποτάξω.

Ἄλλοι δὲ ἔφασαν τὸν γέροντα εἰρηκέναι ὅτι ἐν τῇ πρώτῃ ἀναστάσει χιλιονταετηρίδα τινὰ ἐπιτελοῦμεν, τοῖς αὐτοῖς ἐμπολιτευόμενοι ὁποίοις καὶ νῦν, ὡς καὶ νόμον καὶ ἄλλα φυλάττοντες, καὶ πάντα τῆς χρήσεως τῆς ἐν τῷ κόσμῳ, γάμου τε καὶ περιτομῆς καὶ τῶν ἄλλων μετέχοντες, ὅπερ οὐ πάνυ περὶ αὐτοῦ πεπιστεύκαμεν. Ὡς δέ τινες διεβεβαιώσαντο, τοῦτο ἔφησαν αὐτὸν εἰρηκέναι.

Καὶ ὅτι μὲν γέγραπται περὶ τῆς χιλιονταετηρίδος ταύτης, ὅτι ἐν τῇ Ἀποκαλύψει Ἰωάννου, καὶ ὅτι παρὰ πλείστοις [1] ἐστὶν ἡ βίβλος πεπιστευμένη, καὶ παρὰ τοῖς θεοσεβέσι, δῆλον. Τὴν δὲ βίβλον ἀναγινώσκοντες οἱ πλεῖστοι, καὶ εὐλαβεῖς, [2] περὶ τῶν πνευματικῶν εἰδότες καὶ ἐν αὐτῇ πνευματικῶς ἔχοντα λαμβάνοντες ἀληθῆ μὲν ὄντα, ἐν βα-

Cap. XXXVII. — 1. ἐστὶν desideratur in edit. Petav. Colon. repet. 2. Suspicor καὶ περὶ τῶν πνευματικῶν εἰδότες, ἐν αὐτῇ κτλ.

quos eripuerat, comitatu septus post triduum revera cum corpore, anima, adeoque toto ipso velut instrumento surrexit a mortuis. Deinde quadraginta diebus cum discipulis versatus est; quibus cum Act. 1. in Olivarum monte revera benedixisset, in coelum subvectus est, eumque discipuli ad nubes usque subeuntem viderunt, et ad patris dexteram revera considentem, corpore ipso, divinitate, ac tota denique quam assumpserat hominis natura; quo in incarnationis mysterio in unum omnia et in eandem spiritalem perfectionem coniunxit, deus utique in gloria considens et ad vivos mortuosque iudicandos vere aliquando venturus. Nihil igitur in illo diversum ac discrepans est, sed omnia in ipso perfecta perfecteque prorsus elaborata.

Sed cum de his abunde hactenus egisse videamur, quae dicta CAP. XXXVII. sunt esse satis arbitramur. Quae vero de ceteris vanissimis illorum dogmatibus ex aliorum narratione didicimus, explicanda necessario sunt. Quamquam ita haec ab illis praedicari nondum omnino persuasum habemus. Utcumque vero se res habeat, quae ab aliis accipimus non dissimulanda putavimus.

Hoc enim affirmare plerique non dubitant, quosdam ex illis in ea esse sententia, Mariam post editum Christum cum Iosepho viro suo consuetudinem habuisse. Quod ab illis asseverari permirum mihi videtur. Nec desunt alii qui in eodem errore versantur, quos inter schismaticos numeravimus in ea epistola quam amicorum hortatu adversus illius dogmatis patronos ad nonnullos in Arabia scripsimus; in qua pluribus contra illos de hoc argumento disputavimus. Eam nos vero haeresin, opitulante deo, separatim ac suo loco postea proponemus.

Iam vero etiam hoc Apollinaris esse decretum nonnulli praedicant, in priori resurrectione mille nos annorum spatium iisdem in vitae institutis, quibus nunc utimur, esse confecturos, ut et legem cum aliis observemus omnibus, et quicquid est in mundo, quod ad usum quotidianum pertinet, velut nuptias, circumcisionem, ac cetera omnia, participemus. Cuiusmodi ab illo dogma defendi persuadere nobis omnino non possumus. Quamquam illum assertorem esse a nonnullis accepimus.

Ceterum de hoc millenario tempore alicubi, hoc est in Ioannis Apocalypsi, mentionem fieri, et eum librum a plerisque inter canonicos recipi, religiosi homines non ignorant. Verum ita complures, iidemque pii ac spiritalium rerum periti, in illius lectione versantur, ut quae in ipso spiritalem sensum continent accipientes, vera illa quidem, sed altiori quadam intelligentia explicata fateantur. Nam

θύτητι δὲ σαφηνιζόμενα πεπιστεύκασιν. Οὐ μόνον γὰρ ἐκεῖ τοῦτο βαθέως εἴρηται, ἀλλὰ καὶ ἄλλα πολλά.

Κεφ. λη'. Ἐν δὲ τῷ παρόντι καιρῷ διὰ τὴν συντομίαν μόνον ἐν ὑπομνήσει γεγένημαι τῷ λόγῳ, ὅπως γνῶσιν οἱ θεοσεβεῖς ὅτι παντὶ βουλομένῳ ὑπερβαίνειν τοὺς ὅρους τῆς ἁγίας θεοῦ ἐκκλησίας καὶ παραδόσεως τῆς προφητικῆς καὶ ἀποστολικῆς, πίστεώς τε καὶ διδασκαλίας τὴν ἐλπίδα, ἀπὸ τῆς μιᾶς ὑποθέσεως τοῦ μικροῦ καὶ βραχέως λόγου κατὰ τὸ ἀκαριαῖον καὶ τυχὸν ἐν παρεκβάσει γινόμενος φρονήματος εἰς πολλὰς λοιπὸν κενοφωνίας καὶ σφαλερὰς ὑπονοίας ὁ λογισμὸς, καὶ εἰς ἀναρμόστους καὶ ξένας ζητήσεις, καὶ ἀπεράντους γενεαλογίας, κατὰ τὰ ὑπὸ τοῦ ἀποστόλου εἰρημένα, τραπήσεται. Εἶναι γὰρ τοῦτο εὔηθες πολὺ, καὶ μήτε χρείαν ἔχον ἑρμηνείας, παντὶ σαφές ἐστι τῷ σύνεσιν κεκτημένῳ, ὅτι οὐδὲ ἐπιδέεται ζητήσεως ἡ τοιαύτη σοφία, καὶ ὑπόθεσις τοῦ λόγου. Εἰ γὰρ ἐγειρόμεθα πάλιν περιτέμνεσθαι, τίνι τῷ λόγῳ οὐ προειλήφαμεν τὸ περιτέμνεσθαι; Ἆρα οὖν κατὰ τοῦτο [1] ἀναγκαιότεροι pag. 1032. ἡμῶν τυγχάνουσιν οἱ ἀπεντεῦθεν τὸ τέλειον ἐπιγνόντες, καὶ προειληφότες τελειοῦσθαι ἐν τῇ τότε μελλούσῃ τελειότητι. Ποῦ οὖν τὸ παρὰ τῷ ἀποστόλῳ εἰρημένον ὅτι, Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει, καὶ, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε· καὶ πῶς τὸ παρὰ τῷ κυρίῳ εἰρημένον, Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλὰ ἰσάγγελοί εἰσι. Τὸ δὲ, Καθήσεσθε ἐπὶ τῆς τραπέζης τοῦ πατρός μου ἐσθίοντες καὶ πίνοντες, καὶ, Ὅταν αὐτὸ πίω καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μετὰ προσθήκης τοῦ Καινὸν, καὶ τὸ, Ἐπὶ τῆς τραπέζης τῆς βασιλείας, ἕτερον τὸν νοῦν σημαίνει. Καὶ γὰρ καὶ αὐτοί φαμεν, μεμαθηκότες ἀπὸ τῶν θείων λόγων, μετάληψίν τινα πόματος καὶ βρώματος ἀμβροσίου, περὶ ὧν εἴρηται ὅτι, Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἀλλά φησι ὅτι πρῶτον μὲν ἐν τῇ χιλιονταετηρίδι τῶν φυσικῶν μεταλαμβάνομεν ἡδέων ἄνευ καμάτου καὶ λύπης, μετὰ δὲ τὴν χιλιονταετηρίδα, τότε μεταλαμβάνομεν ὧν εἴρηται, κατὰ τὸ εἰρημένον, Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσεν.

Κεφ. λθ'. Ἀντίθετος δέ ἐστιν ὁ λόγος πρὸς τὴν πᾶσαν τῆς γραφῆς θεωρίαν. Εἰ γὰρ ὁ νόμος οὐδένα ἐτελείωσε, νόμον δὲ μετὰ ἀνάστασιν φυλάττειν προσταττόμεθα, καὶ ὅτι ἅγιος νόμος ὁ διὰ Μωσέως ὑπὸ κυρίου δοθεὶς παιδαγωγὸς εἰς Χριστὸν ἡμῖν γέγονεν, ὡς ὑποδεέστερος τῶν τελειουμένων τῷ μείζονι, καὶ τελειοτάτῳ προσάγειν πεπιστευμένος, Χριστοῦ δὲ τοῦ τελείου ἐλθόντος, καὶ δεσπότου, καὶ παρειληφότος ἐκ

Cap. XXXVIII. — 1. *Scripsi* ἀναγκαιότεροι *pro* ἀναγκαιότερον (ἀναγκαιότερος *mendose ed. Petav. Colon. repet.*), *quod vulgo habent libri.* ἀναγκαιοτέρων *suspicatus est Petavius.*

non illud solum quo de agitur, sed et alia permulta profundioribus sententiis enarrantur.

Nunc autem ad alia properantes breviter admonendi caussa istud aspersimus; quo religiosus quilibet animadverteret, quicumque semel constitutos in ecclesia terminos ac propheticae et apostolicae fidei, quam traditam accepimus, doctrinaeque spem egredi voluerit, eius animum ex levissimi alicuius occasione dicti in re modica ac nullius paene momenti a communi via deflectentem, ad vanissimas subinde assertiones periculosissimasque sententias, et ad absurdas ac peregrinas quaestiones atque, ut apostolus loquitur, *inextricabiles genealogias*, esse lapsurum. Quod quidem ad id, de quo in praesentia sermo est, attinet, stultissimum istud esse, neque explicatione opus habere, quisquis paululum sapit facillime cognoscit, nec in eiusmodi sapientia opinioneque quicquam esse quod inquisitionem desideret. Nam si denuo ut circumcidamur resurgimus, cur non circumcisionem antevertimus? Sane qui in hac vita idipsum quod perfectum habetur cognoverint, et tanto ante usurpare coeperint, luculentius ad futuram illam perfectionem obtinendam ius nacti sunt. Quorsum igitur ab apostolo dictum est? *Si circumcidamini, Christus nihil vobis proderit:* item, *Qui in lege iustificamini, a gratia excidistis.* Tum illud etiam salvatoris dictum, *In resurrectione enim neque ducunt uxores, neque nubunt, sed aequales sunt angelis.* Quod autem scriptum est, *Sedebitis ad mensam patris mei, comedentes et bibentes*, et, *Cum illud bibam novum vobiscum in regno coelorum*, ex eo quod additur, *novum*, et, *ad mensam regni*, alio sensu accipiendum illud videtur. Quippe et nos, id quod e sacris libris didicimus, potum ac cibum quendam illic ambrosium esse defendimus, de quibus scriptum est, *Quae oculus non vidit nec auris audiit neque in cor hominis ascenderunt, quae praeparavit deus diligentibus se.* Sed ita statuit: Primum in toto illo millenario curriculo naturalibus nos voluptatibus esse fruituros, labore omni ac dolore sublato. Quo quidem evoluto tempore, eorum quae dicta sunt, participes futuros; quod haec verba declarant, *Quae nec oculus vidit, nec auris audivit.*

[Cap. XXXVIII. — 1. Tim. 1, 4. — Gal. 2. 3. et 5, 4. — Matth. 22, 30. et Luc. 20, 35. — Luc. 22, 30. Marc. 14, 24. — 1. Cor. 2, 9.]

Verum hic illorum sermo omnibus scripturae sententiis repugnat. Cum enim lex neminem perfectum reddiderit, et eandem tamen legem post resurrectionem observare nos iubeant, cumque sancta illa lex, quam per Moysem dominus nobis edidit, *Paedagogi nos instar* ad Christum perduxerit, cui, quod longe absolutis illis ac perfectis esset inferior, datum negotium est ut nos ad excellentius illud ac velut caput summumque deduceret, cum post haec Christus perfectus ille ac dominus advenerit, ac de paedagogi manu alumnum ac

[Cap. XXXIX. — Gal. 3, 24.]

χειρὸς τοῦ παιδαγωγήσαντος τὸν εἰςαγόμενον, τουτέστι τῶν πιστῶν τὴν ἁγίαν παρθένον καὶ ἐκκλησίαν, καὶ ἡμῶν ἐπιγνόντων διὰ μὲν νόμου τοῦ παιδαγωγοῦ τὸν μείζονα καὶ τελειωτὴν Ἰησοῦν, πῶς οὐχὶ μᾶλλον βραχείας ἐννοίας καὶ εὐηθείας μᾶλλον δειχθήσεται ὁ λόγος τῶν τὰ τοιαῦτα λεγόντων, ὅτι μετὰ τὴν τοῦ Χριστοῦ τελείωσιν πάλιν παιδαγωγοῦ χρεία, ὅπως ἐπιστρέψωμεν ἐπὶ τὴν ἀρχὴν τῶν στοιχείων καὶ διδαχῆς καὶ ἐπιθέσεως χειρῶν, κατὰ τὸ γεγραμμένον; σαφῶς ἡμῖν
pag. 1033. τοῦ ἀποστόλου λέγοντος ὅτι, Πᾶν τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ γίνεται, ὡς περὶ παλαιᾶς διαθήκης καὶ νομοθεσίας· Μετατιθεμένης γάρ, φησὶ, τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. [1] Εἰ δὲ μετετέθη ἡ παλαιὰ καὶ ἀνεκαινίσθη ἡ νέα, τίς ἡμῖν πάλιν τολμηρῶς παρεισάγοι παλαιὰν εἰς χρῆσιν, τὴν καινὴν εἰς παλαίωσιν μετατιθέμενος, τῆς μὲν χάριτος ἀποπεσεῖν παρασκευάζων, καὶ ἀπὸ τῆς ὠφελείας Χριστοῦ ἡμᾶς ἐκτρέπειν πειρώμενος;

Συντόμως δὲ ταῦτα τῷ λόγῳ διελόντες, καὶ τὸ ἱκανὸν λογισάμενοι, διὰ τὸ πλάτος τῆς συντάξεως, ἐπὶ τὰ ἑξῆς ἴωμεν, ἀγαπητοὶ, θεὸν βοηθὸν συνήθως ἐπικαλούμενοι εἰς τὴν τῶν λοιπῶν [2] ὑπόθεσίν τε καὶ ὑπόδειξιν καὶ τούτων ἀνατροπήν.

ΚΑΤΑ ΑΝΤΙΔΙΚΟΜΑΡΙΑΝΙΤΩΝ,
πεντηκοστὴ ὀγδόη, ἡ καὶ ἑπτακοστὴ ὀγδόη.

Κεφ. α΄. Ἀπὸ ταύτης τῆς παρά τισι Διμοιριτῶν κεκλημένης, ἢ χωρὶς νοῦ ἐνσάρκου Χριστοῦ παρουσίας [1] ὀνομαζομένης, ἐφύη τινὰ ἕτερα πράγματα, μάλιστα ἐν τῇ Ἀραβίᾳ, ἀνηνέχθη δὲ τῇ ἡμῶν ταπεινότητι περὶ τούτων ὑπό τινων εὐλαβῶν. Καὶ πρῶτον μὲν ἐπιστολὴν περὶ τῆς ὑποθέσεως ταύτης γεγραφήκαμεν· ὅμως δὲ διὰ τῆς ἀκολουθίας τοῦ ἀριθμοῦ καὶ ἐνταῦθα αὐτὴν διόλου τὴν ἐπιστολὴν μετὰ καὶ τῶν εὐλόγως [2] ταύτῃ προςτεθειμένων, ἢ ἀπὸ [3] αὐτῆς ἐξαιρουμένων, εἰς τὴν αἵρεσιν ἐροῦμεν.

Ἀντιδικομαριανιτῶν γάρ τινες, ὥςπερ ἐχθρίαν πρὸς τὴν παρθένον ἔχοντες, καὶ βουλόμενοι κατευτελίζειν ἐκείνης τὸ κλέος, φθόνῳ τινὶ ἀρθέντες ἢ σφάλματι, καὶ χρᾶναι βουλόμενοι διανοίας ἀνθρώπων,

Cap. XXXIX. — 1. εἰ *scripsi ex emendatione Cornarii* (*in versione Latina*) *et Petavii.* ἡ *habent codd. mss.* ἢ *editi libri.*

2. ὑπόδειξίν τε καὶ ὑπόθεσιν *cod. Rhedig.*

Cap. I. — 1. *Corrigo* νομιζομένης, *et verto* de hac Dimoeritarum, quae apud quosdam appellatur, haeresi, hoc est quae Christum hominem fuisse mente non praeditum putat *cett. Cornarius* Ab hac Dimoeritarum a quibusdam appellata haeresi, hoc est quae duas tertias partes humanae naturae in Christo confitetur, corpus videlicet et animam, et

tironem, hoc est collectam e fidelibus ecclesiam, velut quandam virginem acceperit, adeo ut praestantiorem alium, nimirum consummatorem Iesum, legis, sic tanquam paedagogi, beneficio cognoverimus, nonne summa ex ingenii inopia ac stultitia profectum est, quod ab illius dogmatis patronis asseritur, post collatam illam a Christo perfectionem paedagogo iterum opus esse, ut ad priora illa *initia* Hebr. 5, 12. et 6, 2.
et elementa, doctrinamque ac manuum impositionem revertamur? ut alicubi scriptum est; cum tamen apostolus diserte nos doceat, *Quicquid inveteratum est, ac senio confectum, proxime ad interitum spectare:* Hebr. 8, 13. quod de vetere testamento ac lege pronuntiavit: *Translato* Hebr. 7, 12. *enim*, inquit, *sacerdotio*, *necessario fit et legis translatio*. Quare cum vetere testamento translato novum instauratum fuerit, quis est audacia tanta praeditus qui vetus ad usum denuo revocare contendat, novum autem ad situm vetustatemque transferre, ut et caussam nobis praebeat cur excidamus a gratia, et ab eo fructu qui per Christum nobis comparatus est avertere conetur?

His breviter ad eum modum explicatis, quae nos pro instituti operis ratione satis esse credimus, ad reliqua transeamus, ac dei inprimis opem imploremus, ut ad cetera tractanda, enarranda, evertendaque feliciter accedamus.

ADVERSUS ANTIDICOMARIANITAS, quae est haeresis LVIII., sive LXXVIII.

Cap. I. Idem illud dogma (cuius assertores etiam Dimoeritae vulgo nuncupantur) quod susceptae hominis a Christo naturae mentem detrahit, alias insuper molestias ac negotia peperit, atque in Arabia praesertim; de quibus a religiosis quibusdam viris sumus admoniti. Ac licet antea de eodem argumento epistolam scripserimus, tamen quod haec haeresis ordine suo numeroque succedat, hanc ipsam nos epistolam, quibusdam merito vel additis vel detractis, adversus illam subiiciemus.

Etenim ex Antidicomarianitarum grege nonnulli, quasi praecipuo quodam in virginem odio suscepto, ut eius gloriam obscurarent, sive invidia, sive erroris tenebris occaecati, quo mortalium animos inquinarent, eo temeritatis progressi sunt ut sanctissimam

tertiam partem, ipsam mentem in adventu Christi in carne negat *cett.*

2. ταύτῃ *emendarunt Cornarius (vertens* quae — ipsi addita sunt) *et Petavius, quam scripturam, siglo M. notatam, invenio etiam in margine exempli Schottiani, quod penes me habeo.* ταύτην *editi libri.* ταυτ' *cod. Ien.* ταῦτα *cod. Paris., et Rhedig. a. m. pr., in quo circumflexi accentus adhuc restant vestigia, superaddito postea acuto et syllaba finali mutata, sed ita ut quid voluerit librarius dinosci vix queat.*

3. ἀπ' αὐτῆς *cod. Rhedig.*

ἐτόλμησαν λέγειν τὴν ἁγίαν Μαρίαν μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν ἀνδρὶ συνῆφθαι, φημὶ δὲ αὐτῷ τῷ Ἰωσήφ. Φασὶ δὲ, ὡς ἄνω μοι εἴρηται, ὅτι ἀπ' αὐτοῦ τοῦ πρεσβύτου Ἀπολιναρίου ἐξήχηται ὁ λόγος, ἢ ἀπό τινων τῶν αὐτῷ μεμαθητευμένων· καὶ ἀμφιβάλλω. Περὶ δὲ τῶν ταῦτα λεγόντων ἀνάγκην ἔχω λέγειν. Ἵνα δὲ μὴ εἰς δεύτερον κά-
pag. 1034. ματον ἑαυτὸν περιβάλλοιμι, καθεξῆς ἣν προεῖπον γραφεῖσαν ἐπιστολὴν εἰς τὴν Ἀράβων χώραν ὑποτάξω. Καὶ ἔστιν ἥδε *.

Κεφ. β'. Κυρίοις μου τιμιωτάτοις καὶ ποθηνοτάτοις τέκνοις, καὶ ἀδελφοῖς γνησίοις, καὶ ὁμοπίστοις ὀρθοδόξοις ἀπὸ ἱερέως ἄχρι λαϊκοῦ, καὶ κατηχουμένοις τοῖς κατὰ τὴν Ἀραβίαν, Ἐπιφάνιος, ἐλάχιστος ἐπισκόπων, χαίρειν.

Θαυμάζειν ἔστιν ἐν τῷ παρόντι καιρῷ, καὶ μὴ θαυμάζειν. Θαυμάζειν μὲν, ὅτι ἐπὶ τῇ ἡμετέρᾳ γενεᾷ πάντα πληροῦται· καὶ μὴ θαυμάζειν, δεῖ γὰρ πληροῦσθαι. Ὁσημέραι γὰρ κατὰ [1] πρόθεσιν νῦν γίνεται ἡμῖν ἐκ λογισμῶν ἀνθρωπίνων καὶ διανοημάτων σοφιστικὴ ὑπόνοια, καὶ ἐπὶ τὸ χεῖρον προκόπτουσα, καταλιμπάνουσά τε τὴν ἀποστολικὴν διδασκαλίαν, καθὼς ὁ ἁγιώτατος ἀπόστολος προεῖπεν ὅτι, Ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προσέχοντες μύθοις καὶ διδασκαλίαις δαιμονίων, καὶ τὰ ἑξῆς. Εἴ τι γὰρ ἔνι ἀνερευνᾶν καὶ ἐπινοεῖν ὁδοὺς πονηρὰς, ταῦτα μᾶλλον σπουδάζουσιν οἱ ἄνθρωποι, ἤπερ πληροῦντες τὴν ἐντολὴν τὴν λέγουσαν καλὰ καὶ εὐπρόςδεκτα ζητεῖν, καὶ, Ὁ λόγος ἅλατι ᾖ ἠρτυμένος, ὅπως δῷ χάριν τοῖς ἀκούουσι. Καὶ εἰ ταῦτα διανοηθείημεν, ὅτι πόθεν συμβαίνει καθ' ἑκάστην ἡμέραν ἀνακαινίζεσθαι ἡμῖν τὰ φαῦλα ἐσόμεθα καὶ αὐτοὶ ὡς ἀπαίδευτοι, καὶ μὴ προσέχοντες τοῖς θείοις καὶ [2] προρρητικοῖς λόγοις. Δεῖ γὰρ ταῦτα πληροῦσθαι. Ἐν ἅπασι γὰρ μέρεσι τῆς πίστεως δεῖ τελεῖσθαι τὸ εἰρημένον, [3] Ἆρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; [4] Ποῦ γὰρ ἔφθασεν ἡ διάνοια τῶν ἀνθρώπων ἐγκειμένη ἐπὶ τὸ πονηρὸν ἐκ νεότητος; Ποῖα μέρη τῆς πίστεως οὐκ ἀπώλεσεν; Ἐν ποίοις δὲ λόγοις ἡ κακοβουλία τὸ χρήσιμον οὐκ ἐτάραξε; [5] τῶν δὲ πρεπωδεστάτων καὶ ἐν καταστάσει λογικῆς φύσεως, ἧς τὸ πρέπον ἦν τὰ σεμνὰ μᾶλλον διανοεῖσθαι, καὶ τούτοις προστιθέναι βιάζεσθαι, εἰ
pag. 1035. καὶ ἔδει παρὰ φύσιν, καὶ μὴ μᾶλλον τὰ ἀληθινὰ εἰς τὰ ἄσεμνα παρατρέπειν βιαζομένους ἐπὶ τὸ χεῖρον.

Κεφ. γ'. Λοιπὸν γὰρ, ἐπειδὴ πάντα ἡμῶν πεπλήρωται τῇ γενεᾷ, τά τε

* *Post* ἥδε *in marg. libri Ien. rubro adpictum legitur* ἐπιστ^ο.

Cap II. — 1. *Scribendum* πρόςθεσιν, *ex emendat. Cornarii, qui vertit* Quotidie enim per accessionem ampliorem contingit nobis sophistica opinio *cett.*

2. προσρητικοῖς *cod. Ien. et ed. princ.* προρητικοῖς *cod. Rhedig.*

Mariam post Christum in lucem editum cum viro suo Iosepho consuetudinem habuisse dicerent. Quam quidem opinionem, ut supra dixi, ab sene illo Apollinari, aut ab eius discipulis manasse praedicant; de quo nondum mihi liquido constat. Utcumque sese res habeat, cum necessario a nobis illi refutandi sint, ne eundem laborem denuo repetamus, subiiciam illam ipsammet epistolam, quam in Arabiam a me antea scriptam esse memoravi. Quae est eiusmodi.

EPIPHANII EPISTOLA ADVERSUS ANTIDICOMARIANITAS. Cap. II.

Dominis meis plurimum observandis ac carissimis filiis, et sinceris fratribus, eiusdem orthodoxae fidei professoribus, tam sacerdotibus quam laicis et catechumenis, Epiphanius episcoporum minimus S.

Est hoc tempore quod admirandum simul et non admirandum videatur. Admirandum quidem, quod aetate nostra impleantur omnia, minime vero mirandum, quod eadem illa impleri necesse sit. Etenim quotidie nobis sophistica aliqua cavillatio perperam affectata humanis ex ingeniis ac mentibus erumpit, atque in deterius progressa ab apostolica doctrina desciscit; quemadmodum apostolus Paulus praedixerat, *Deficient quidem a sana doctrina, attendentes fabulis et doctrinis daemoniorum* etc. (1. Tim. 4, 1.) Nam si qua sese perversarum viarum inquirendarum atque excogitandarum occasio et facultas obtulerit, in eo potius hominum studia versantur, quam ex praecepto illo exequendo quod honesta et approbatione digna quaerere iubet,. aut altero illo *sermo vester sale conditus, ut det gratiam audientibus*. (Philipp. 4, 8. Col. 4, 6.) Quod si haec attentius animo revolvamus, unde fiat ut pessima quaeque nobis in dies instaurentur, et nos ipsi imperitorum similes erimus, qui divinis verbis et vaticiniis animum minus adhibeamus. Haec enim impleri necesse est, atque in omnibus fidei partibus perfici quod dictum est, *Cum venerit filius hominis an fidem inveniet in terra?* (Luc. 18, 8.) Quo enim tandem *hominum mens prona in malum ab tenera aetate* processit? (Gen. 8, 21.) Quam non fidei partem pessumdedit? Quodnam vero dogma est in quo perditum illorum consilium quicquid fructus erat et utilitatis non perturbarit? cum illud semel neglexisset quod apprime decebat, et ratione praeditae naturae statui consentaneum erat, cui quidem illud potius conveniebat, ut honesta quaeque ac religiosa cogitaret animo, et ad ea sese vel invitam praeter naturam suam, si ita necesse foret, accommodaret, quam ut ad deteriora violenter enitens quae vera sunt ad profana ac ridicula detorqueret.

Cap. III.

Etenim posteaquam blasphemiarum genera omnia ac quaecum-

3. ἆρα *codd. mss.* ἄρα *editi libri.*
4. ποῦ παρέφϑασεν *cod. Rhedig.*
5. *Rescribendum fortasse* ὄντων δὲ. *Cornarius iunctis enunciatis vertit* in quibus vero sermonibus malum consilium non turbavit utilitatem eorum qui decentissimi sunt et in statu rationalis naturae? *Petavius deesse quippiam arbitratus est.*

βλάσφημα, καὶ τὰ ἐκτὸς ἁγίου πνεύματος, ἐφ' ἕτερα πάλιν καινὰ τρέπονται. Οἱ μὲν γὰρ τὸν πατέρα βλασφημοῦσι, τὸν τῶν ὅλων θεὸν καὶ δημιουργὸν, οἱ ἀμφὶ τὴν γνῶσιν λεγόμενοι. Οἱ δ' αὖ πάλιν Μαρκίωνες καὶ Ἀρχοντικοὶ καλούμενοι, καὶ τούτοις οἱ συνεπόμενοι Μανιχαῖοι, οἱ τὴν ὀνομασίαν δικαιότατα εἰληφότες ἐκ δικαίας τινὸς οἰκονομίας θεοῦ, τὸ μανιῶδες ὄνομα, — οὗτοι πάντες μετὰ πλειόνων αἱρέσεων, Καϊνῶν φημι, Σητιανῶν, [1] Μελχισεδεκιανῶν, Κολορβασίων, Κερδωνιανῶν, καὶ τῶν ἄλλων, [2] βλασφημεῖν εἰς τὸν τῶν ὅλων πατέρα, ἐν τῷ τοῦτον ἀρνεῖσθαι εἶναι θεὸν τὸν ἐν νόμῳ καὶ ἐν προφήταις λαλήσαντα, δικαίως τε προςκυνούμενον ὑπὸ πάντων κτισμάτων, ὡς κτιστὴν καὶ δημιουργὸν, οὗτοι μετὰ τοῦ σεβάσματος ἀναιρεῖν πειρῶνται καὶ τὴν δεσποτείαν, τὸν μὲν ὄντως ὄντα ἀρνούμενοι, ἕτερον δὲ τὸν μὴ ὄντα τῇ μυθώδει αὐτῶν ὑπονοίᾳ φανταζόμενοι, ἵνα ἐκ τοῦ ὄντος πέσωσι, καὶ ὃν ὑπονοοῦσι μὴ εὕρωσιν. Οὕτω γὰρ ἡ ληρωδία καὶ ἡ τοῦ διαβόλου σπορὰ τῶν λόγων τοιαύτην εἴωθε ταραχὴν ἐμποιεῖν καὶ θόλωσιν, διὰ λογισμῶν βλασφήμων ἐπεγείρουσα τὴν τῶν κεκτισμένων ἀνθρώπων διάνοιαν, περὶ τοῦ αὐτῶν δεσπότου στρατεύεσθαι ταῖς κακαῖς ὑπονοίαις καὶ ἐπαρνησιθεΐαις. Ἀλλά γε πάλιν ἐκ τούτου ἐκτραπέντες τινὲς ἐφ' ἕτερα βαδίζειν τετολμήκασι, τὸν μόνον ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, τὸν μονογενῆ παῖδα Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, τὸν ὄντως ὄντα ἐκ πατρὸς γεγεννημένον ἀνάρχως καὶ ἀχρόνως, τὸν ἀεὶ ὄντα ἐκ τοῦ πατρὸς καὶ σὺν πατρὶ ὄντα, γεγεννημένον δὲ ἀκαταλήπτως καὶ ἀχράντως, ὁμοούσιον τῷ πατρὶ ὄντα, καὶ οὐκ ἀλλοῖον παρὰ τὸν πατέρα, [3] οἱ μὲν αὖθις μανέντες, δίκην λυσσητήρων κυνῶν, ἐπὶ τὸν ἴδιον αὐτῶν δεσπότην ὑλακτοῦσι· καθάπερ ἐξ ὑπαρχῆς Ἰουδαῖοι τοῦτον ἀγνοήσαντες κέκληνται Κύνες ἐννεοὶ, εἰκότως παρὰ τοῦ προφήτου ταυτησὶ τῆς ἐπωνυμίας
pag. 1036. κατηξιωμένοι τοὔνομα, [4] τῆς αὐτῶν περὶ τὸν κύριον καὶ τὴν αὐτοῦ παρουσίαν ἀναισχύντου ὁρμῆς, ὡς ἔστιν ἀληθὲς ἰδεῖν. Φασὶ γὰρ τοὺς λυσσῶντας κύνας ἐννεοὺς καλεῖσθαι, διὰ τὸ νωδοὺς ἀποτελεῖσθαι ἐκ τῆς καταλιμπανούσης αὐτοὺς διανοίας.

Κεφ. δ'. Οὕτω γὰρ τῶν κυνῶν ἡ φύσις, ἐπὰν εἰς λύσσαν ἐκτραπείη. Οἵ ποτε δεσπότην γινώσκοντες καὶ τοὺς αὐτοῦ υἱεῖς, οἰκείους τε καὶ τοὺς ἄλλους πάντας τοῦ οἰκοδεσπότου γνησίους, ὅταν λάβῃ αὐτοὺς ἡ μανία, ἀλλοιοῦνται τὰ πρόσωπα ἐνώπιον τῆς αὐτῶν ὁράσεως, καὶ ἐπ' αὐτοὺς ἐγείρονται τοὺς γνησίους, οὕς ποτε τιμῶντες τῇ μὲν κέρκῳ ἔσαινον,

CAP. III. — 1. μελχεσεδεκιανῶν *codd. mss.* Μελκισεδεκιανῶν *ed. Petav.* 2. *Scribendum puto* βλασφήμων. *Petavio videbatur* βλασφημοῦσι.

que a spiritu sancto aliena sunt, in hac aetate nostra sunt exhausta, ad alia se quaedam nova convertunt. Quidam enim in patrem universorum deum ac conditorem contumelias iaciunt, quales sunt qui Gnostici dicuntur. At Marciones et Archontici, nec non et illorum asseclae Manichaei, qui non sine divina quadam providentia furiosum illud nomen sortiti videntur, igitur omnes isti cum plerisque aliis haeresibus, Cainorum, Setianorum, Melchisedecianorum, Colorbasiorum, Cerdonianorum, ac ceteris id genus, eundem illum universorum patrem contumeliis afficiunt, dum ipsum negant deum illum extitisse qui in lege ac prophetis locutus est, quique iure a creatis rebus omnibus, tanquam creator et opifex adoratur; cuius illi cultum una cum dominatu ac potestate conantur evertere, ut et illum, qui revera est, eiurent deum et alterum, qui nusquam est, falsa ac fabulosa opinione sua confingant, atque et verum illum amittant, et, quem falso sibi proponunt, nequaquam assequantur. Nam haec est nugacis istius doctrinae, quae ex diaboli satu proficiscitur, vis et natura, ut tumultationem ac perturbationem immittat, et procreatorum hominum mentes contumeliosis in deum cogitationibus excitet, ut depravatis quibusdam opinionibus, quae cum dei negatione coniunctae sunt, contra dominum suum hostile bellum suscipiant. Sed rursum velut quodam hinc divortio facto nonnulli aliam in partem deflectere non dubitarunt, ut unicum redemptorem suum ac dominum abnegarent, unigenitum viventis dei filium Iesum Christum, qui ab eodem patre revera est sine ullo initio ac tempore genitus, quique ab eo et cum eo semper existit, qui ratione quadam quae omni comprehensione superior est sine ulla inquinatione genitus est eiusdem cum patre substantiae, nec ab eo ullo modo discrepans. Contra hunc igitur insanientes alii, velut rabidi canes, dominum suum allatrantes, quemadmodum olim Iudaei, quod illum ignorarent, merito *muti canes* a propheta vocantur. Quae in illos appellatio pro- **Esai. 56, 10.** pter impudentem ac temerarium illorum in dominum, et susceptam ab eo naturam impetum et insultum iure confertur, ut ex eo constare potest quod rabiosos canes ob id mutos esse narrant, quoniam ipsa illos rabies edentulos facit.

Est enim haec natura canum, postquam rabie tentati sunt, ut, Cap. IV. qui dominum antea, eiusque liberos ac domesticos, ceterosque illius propinquos et familiares cognoverant, simulatque morbo illo correpti sunt, omnium istorum vultus illorum oculis commutati videantur, atque in notos insiliant, quos antea partim cauda blan-

3. *Suspicor* οἱ μὲν. ἕνεκα τῆς.
4. *Fortasse* ἐκ τῆς, *vel* κατηξιωμένοι

τοῖς δὲ τρόποις ὑπετάσσοντο. Αὐτίκα οἱ προςδοκῶντες Χριστοῦ τὴν παρουσίαν, οἱ ἑτοιμαζόμενοι δέξασθαι τὸν νυμφίον, οἱ προφήτας εὐχόμενοι κατιδεῖν, οἱ πείθεσθαι θείοις λόγοις ὑποσχόμενοι, οἱ τῷ Μωϋσῇ ἐν συνθήκῃ [1] συνεληλυθότες, ὅτι, Γενοῦ σὺ τὰ πρὸς κύριον, καὶ, Πάντα ὅσα ἐὰν εἴποι σοι ὁ [2] κύριος, ἀκουσόμεθα καὶ [3] ποιήσομεν, ὅτε εἶδον τὸν αὐτῶν δεσπότην παραγενόμενον, ἀγνοήσαντες τὴν μορφὴν καὶ τοὺς τύπους τῆς ἀληθείας οὓς οἱ προφῆται πρὸ αὐτοῦ ἐν σαρκὶ [4] γενομένου διετύπουν, διεχάραττον, κατήγγελλον, ἐσήμαινον, πρῶτον μὲν οὖν αὐτῷ ἔλεγον, Τίς οὗτος ὃς λαλεῖ βλασφημίας; ἄλλοτε δὲ δαιμόνιον αὐτὸν ἔχειν, οὐκ αἰσχυνόμενοι, τετολμήκασιν εἰπεῖν· ἔτι δὲ καὶ Σαμαρείτην αὐτὸν ἀποκαλεῖν οὐκ ἠρυθρίων. Πέρας οὖν, καθάπερ μοι προδεδήλωται, ὡς μεμηνότες κύνες, ἐπανέστησαν, καὶ τὰς μὲν χεῖρας [5] προςέπηξαν, ὡς ἀεὶ μετὰ τῆς μανίας ὁ κύων, ἀνακρεμάσας αὐτοῦ τὰς χεῖρας, ἐπέρχεται καὶ τὰ πρόςωπα τῶν ἰδίων αὐτοῦ δεσποτῶν καταγλύφειν οὐκ αἰσχύνεται, παρέδωκαν ἐκεῖνοι τὸν αὐτῶν κύριον εἰς τὸ σταυρωθῆναι, προφήτας τε τοὺς οἰκειακοὺς τοῦ αὐτοῦ δεσπότου τὸν μὲν ἔπρισαν, τὸν δὲ λίθοις κατέλευσαν, ἄλλον δὲ φόνῳ μαχαίρας διεχρήσαντο. Μετὰ τούτους δὲ ὡσαύτως νῦν οἱ νέοι Ἰουδαῖοι ἀλλεπαλλήλως τῇ αὐτῇ κεχρημένοι ἀγωγῇ οἱ μὲν φυσικοὶ Ἰουδαῖοι κατὰ σάρκα μὲν ἠρνήσαντο, οἱ δὲ νῦν ἀρνούμενοι τὴν τοῦ υἱοῦ τοῦ θεοῦ τελείαν πρὸς πατέρα γνησιότητα, κτίσμα αὐτὸν καὶ ποίημα, καὶ ἀλλότριον πατρὸς παντάπασι, μεμηνότες καὶ βεβροντημένοι ἀδιαλείπτως διϊσχυρίζονται.

Κεφ. ε'. pag. 1037. Ἐκ τούτων δὲ πάλιν ἄλλοι ἀφέντες τὰς προειρημένας βλασφήμους διδασκαλίας, καθὼς εἰπεῖν, αὐτὴν τὴν κατὰ φύσιν θεασάμενοι ἐπουράνιον θεωρίαν, καὶ τὰ ἄνω ἐμβατεύσαντες, καὶ πολυπραγμονήσαντες, ὡς ἄνωθεν ἥκοντες, αὐθαδείᾳ [1] ἀπαγγέλλουσι καὶ ἰσχυρῶς διϊσχυρίζονται ἐκβάλλοντες ἐκ τῆς θεότητος τὸ ἅγιον πνεῦμα. Καὶ τὸν μὲν πατέρα οὐκ ἤρνηνται, οὔτε τὴν τοῦ υἱοῦ πρὸς αὐτὸν γνησιότητα, ἐφ' ἑτέραν δὲ πάλιν ὁδὸν βαδίζουσιν, ἵνα πάντοθεν πληρωθῇ τὸ, Ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν. [2] Τί γὰρ ἀλλ' ἢ εἰς τὸ πνεῦμα τὸ ἅγιον, λοιπὸν, τὸ οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ, τὸ ἐκ τῆς αὐτῆς

Cap. IV. — 1. συνεληλυθότες *ed. Petav.* εἰςεληλυθότες *codd. mss. et edit. princ.*

2. κύριος *codd. mss.* ὁ κύριος *editi.*

3. ποιήσομεν *codd. mss.* ποιήσωμεν *editi libri.*

4. γενομένου *correxerunt Cornarius et Petavius. Libri habent* γενόμενον.

5. *Gatakerus Adverss. Miscell. pag.* 818. *„Mendas si non prorsus sustulerimus, sensum tamen plenius paulo exhibituros speramus. Sic ergo ex coniectura legendum existimo* — προςέπηξαν. ὡς δ' ἀεὶ κατὰ μανίας ὁ κύων ἀναχειρίσαντος (*vel* ἀνακηλήσαντος, *vel* ἀνακελαίνοντος) αὐτὸν τὰς χεῖρας ἐπέρχ., κ. τὰ πρ. τῶν ἰδ. αὐτοῦ δεσπ. καταδρύπτειν (*sive* καταδρύφειν) οὐκ αἰσχύνεται. παρέδωκαν κτλ., et manus quidem eius confixerant: sicut autem canis rabie affectus solet demulcentis, sive tractantis eum, manus invadere, nec dominorum suorum faciem lacerare veretur, ita et illi dominum suum crucifigendum tradiderunt. *Atque hanc fuisse Epiphanii mentem (verba enim ipsa praestare non au-*

diendo, partim sese subiiciendo, velut honore prosequebantur. Ecce tibi Iudaei illi, qui et domini adventum expectabant, et ad excipiendum sponsum sese comparabant, qui prophetas videre cupiebant, qui divinis vocibus obtemperaturos se esse profitebantur, qui cum Moyse pactionem eiusmodi fecerant, *Esto nobis in his quae sunt apud dominum*, item, *Omnia, quaecumque dixerit tibi dominus, audiemus et faciemus*, illi, inquam, cum praesentem dominum intuerentur, veritatis expressas species ac notas ignorantes, quas prophetae, qui illum antecesserunt, describendo, delineando, nuntiando, significandoque praescripserant, primum haec in illum iecerunt, *Quis est hic, qui loquitur blasphemias?* alias vero, *Daemonium habere* illum impudenter ac praefracta quadam audacia iactarunt. Sed nec ipsos Samaritanum eundem appellare puduit. Postremo ut dixi, sic tanquam rabidi canes in eum insilierunt, ac manus affixerunt, id quod furiosi canes factitare solent, qui dominorum suorum manus ac vultus incurrentes laniare nihil verentur, sic illi dominum ad crucis supplicium tradiderunt, prophetas eiusdem domesticos partim serra consecuerunt, partim lapidibus obruerunt, partim gladio interfecerunt. Secundum illos vero perinde et hodie novi illi Iudaei iisdem invicem institutis ac disciplina formati, uti veri illi Iudaei, dominum cum carne praesentem abnegarunt, ita ipsi filii dei perfectam cum patre germanitatem inficiantes, creaturam esse illum et opificium, et a patre penitus alienum furiosi ac vecordes identidem affirmant.

Deut. 5, 27. Luc. 5, 21. Matth. 11, 18. Ioann. 7, 20. et 48. Hebr. 11.

Cap. V.

Alii porro contumeliosa illa in deum dogmata relinquentes, quasi divinam ipsam in coelo naturam, ut ita dicam, aliquando contemplati fuerint, et altius in arcana illa ac coelestia penetrarint, ac diligenter introspexerint (ut e coelo putes esse delapsos) arroganter illud praedicant, ac vehementer affirmant, spiritum sanctum a divinitatis communione separandum. Qui cum neque patrem abnegent, nec ab germana cum illo coniunctione filium abiudicent, ad aliud viae diverticulum deflectunt, ut omnino dictum illud impleatur, *Periit fides ex ore ipsorum.* Quid enim aliud faciunt, nisi perinde ac si in spiritum sanctum ius ac potestatem haberent (qui quidem a

Hier. 7, 28.

sim) nihil ambigo.“ Aliter, quamquam minus feliciter, corrigit I. B. Cotelerius Eccl. Gr. Monum. tom. III., pag. 669., *scribens* ἀναχρ. αὐτὸν, τὰς χεῖρας ἐπέρχεται, *et vertens*, sicut semper furiosus canis suspendens se, manus invadit ac vultus *cett. Cornarius transtulit* velut rabiosi canes insurrexerunt, et manus iniecerunt, velut semper cum rabie canis immissis antea manibus invadit, et personas propriorum *cett. Mihi videntur transponenda haec ita, et corrigenda,* προσέπηξαν, ἀνακρεμάσαντες αὐτὸν, ὡς ἀεὶ κατὰ τὴν μανίαν (*vel* μετὰ τῆς μανίας) ὁ κύων τὰς χεῖρας ἐπέρχεται, καὶ — — αἰσχύνεται, καὶ παρέδωκαν κτλ.

Cap. V. — 1. ἐπαγγέλλουσι *cod. Rhedig.*

2. *Scribendum puto* Τί γὰρ ἄλλο εἰς τὸ πνεῦμα τὸ ἅγιον, λοιπὸν τὸ οὐχ κτλ.

θεότητος ὄν, καὶ μὴ ἐνδεχόμενον εἶναι ἀλλότριον τῆς θεότητος, βούλονται, ὡς αὐτοὶ ἐξουσίαν ἔχοντες κελεύειν μᾶλλον θεῷ ἤπερ κελεύεσθαι; Οὐκ αἰσχυνόμενοι γὰρ ἀλλότριον τὸ πνεῦμα λέγουσι, καὶ δοῦλον, καὶ κτίσμα, καὶ πρόσφατον, καὶ ποιητὸν, καὶ εἴ τι ἕτερον αἰσχρὸν πρὸς ὑπόνοιαν περὶ αὐτοῦ ἑαυτοῖς μᾶλλον ἐπινοοῦσι προςπορίσασθαι. [3] Ἐπεὶ οὖν ὁ κόσμος νυνὶ οὕτως μᾶλλον πληγεὶς πληγὴν ἀνίατον ἀπιστίας, ἵνα μηδέν τι παραλείψῃ ἡ ἀνομία ἡ τοὺς ἀνθρώπους ἀπολλύουσα τῇ κακονοίᾳ, καὶ ἀπιστίᾳ, καὶ ἀγνωσίᾳ, οἷα τοὺς ἀποδράσαντας τῆς περὶ τὴν ἁγίαν τριάδα βλασφημίας εἰς ἕτερα πάλιν ἡ ἀργὴ καὶ κακόβουλος ἔννοια περιέσπασεν, ἵνα μηδεὶς λάθοι ἁμαρτάνων. Κενὸν γάρ τι ἀκούω περὶ τῆς ἁγίας Μαρίας τῆς ἀειπαρθένου τινὰ διανοεῖσθαι, καὶ τολμᾶν βλάσφημόν τινα ὑπόνοιαν ἐπ᾽ αὐτὴν ἐνσκήπτειν, εἰς τὸ ἐκ πανταχόθεν εἶναι τὸν χρόνον ἡμῶν δίκην κακοῦ ὄφεως [4] καὶ θηρὸς ἰοβόλου ἐν σκότῳ ἐμφωλεύοντος, καὶ τοῖς δήγμασι πάντας πειράζοντος, τὸν μὲν περὶ τὸ πρόσωπον, ἄλλον περὶ τὴν πτέρναν, ἕτερον περὶ τὴν χεῖρα· ἵνα μηδένα λάθοι τὸ δῆγμα τῆς ἀπιστίας, ἀλλὰ ὁ δοκῶν ἐν τούτῳ ἀποδρᾶναι, ἑτέρως τὸν ἰὸν μὴ λάθῃ, ὁ δὲ ἐν ἄλλῳ ὑγιῆ ἔχων τὴν πίστιν, ἄλλως πως βλάπτεσθαι ἑαυτὸν προξενήσειεν.

Κεφ. ϛ΄. Πόθεν αὕτη ἡ κακόνοια; Πόθεν ἡ τοσαύτη τόλμα; [1] Αὐτὸ τὸ ὄνομα οὐ μαρτυρεῖ, οὐ πείθει σε, ὦ φιλόνεικε; Τίς ποτε, ἢ ἐν ποίᾳ
pag. 1038. γενεᾷ τετόλμηκε καλεῖν τὸ ὄνομα Μαρίας τῆς ἁγίας, καὶ ἐρωτώμενος οὐκ εὐθὺς ἐπήνεγκε τὸ, Παρθένον; Ἐξ αὐτῶν γὰρ τῶν ἐπιθέτων ὀνομάτων καὶ τῆς ἀρετῆς ὑποφαίνει τὰ τεκμήρια. Ἀξιώματα μὲν γὰρ ὀνομασιῶν εἰλήφασιν οἱ δίκαιοι ἑκάστῳ πρεπόντως, καὶ ὡς ἥρμοζε. Καὶ τῷ μὲν Ἀβραὰμ προςετέθη τὸ Φίλος θεοῦ, καὶ οὐ διαλυθήσεται, τῷ δὲ Ἰακὼβ τὸ Ἰσραὴλ καλεῖσθαι, καὶ οὐκ ἀλλοιωθήσεται, καὶ τοῖς ἀποστόλοις τὸ Βοανεργὲς, τουτέστιν Υἱοὶ βροντῆς, καὶ οὐκ ἀποκαταλειφθήσεται, καὶ τῇ ἁγίᾳ Μαρίᾳ τὸ Παρθένος, καὶ οὐ τραπήσεται. Ἄχραντος γὰρ διέμεινεν ἡ ἁγία. Αὐτὴ ἡ φύσις οὐ διδάσκει ὑμᾶς; Ὢ καινῆς μανίας, ὢ καινῶν πραγμάτων. Πολλὰ δέ ἐστιν ἕτερα ἃ ἐν τοῖς παλαιοῖς χρόνοις οὐκ ἐτολμήθη τοῖς πατράσι· νῦν δὲ ἄλλος μὲν βλασφημεῖ εἰς τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, ἕτερα λαλῶν εἰς αὐτὴν τὴν θεότητα, ἄλλος δὲ ἐλλιπῆ ποιεῖται ἐν ἑαυτῷ τὴν τῆς πάσης ἐνσάρκου παρουσίας πραγματείαν, ἕτερος δὲ ἐν τῇ ἀναστάσει ἀσχάλλει

3. *Cornarius haec ita interpretatur* Quandoquidem igitur mundus nunc sic magis immedicabili incredulitatis plaga percussus est, et ignorantia, vana et mali consilii intelligentia velut fugitivos a blasphemia in sanctam trinitatem rursus ad alia traxit, ut ne quis peccans lateat.

1. καὶ *omiss. in edit. Petav. Colon. repet.*

Cap. VI. — 1. *Malim distinguere cum edit. princ.* Πόθεν αὕτη ἡ κακόνοια, πό-

patre filioque nequaquam alienus ex eadem est divinitate, nec ab ea separari potest), ita deo praescribere quam eius praescriptis obtemperare malunt? Non enim illos pudet alienum spiritum sanctum, servum, creaturam, recentiorem ac factum dicere, ac si quid aliud de illo confingi turpe potest, eo in ipsum libentius excogitare. Sic igitur mundus iste vehementiori et insanabili infidelitatis vulnere confossus est, ut iniquitas, quae humanum genus funditus perdit, nihil ad summam nequitiam, perfidiam ignorantiamque praetermittat. Qua ratione miseros istos, qui priorem illam in sacrosanctam trinitatem contumeliam effugerant, otiosa ac nequissima sua cogitatio ad alia quaedam transversos abripuit, ne quis peccatum suum dissimulare possit. Etenim nescio quem audio adversus sanctissimam perpetuamque virginem Mariam meditari nonnihil, ac contumeliosa quadam opinione illius honorem incessere. Ex quo illud apparet, nostram hanc tempestatem letifero cuidam serpenti ac venenato esse simillimam, qui in tenebris delitescens, infestis omnes morsibus appetat, atque in huius vultum illius calcem, manum alterius incurrat, ut ne quis infidelitatis morsum penitus possit evadere, sed qui in uno genere virus effugerit, in altero se ab eo subducere ac devitare nequeat, ac qui in aliis incorruptam fidem retinet, alio modo fraudem sibi perniciemque consciscat.

Undenam vero haec improbitas emersit? Unde tanta prorupit Cap. VI.
audacia? Nonne vel ipsum nomen abunde testificatur? Non tibi, homo pervicacissime, istud ipsum persuadet? Quis ullo tempore unquam extitit qui sanctae Mariae nomen appellare auderet, et non rogatus subinde virginis vocabulum adiiceret? Nam in adiunctis istiusmodi vocibus virtutis indicia collucent. Quippe iustis omnibus, pro eo ac singulos decebat, sua cuique sunt dignitatis attributa nomina. Ita Abraamo *amici dei* titulus accommodatus est, neque is Iac. 2, 23.
unquam intercidet. Iacob vero *Israelis* cognomen sine ulla mutatione Gen. 32, 28.
concessum. Apostoli quoque *Boanerges*, hoc est, *tonitrui filii*, no- Marc. 3, 17.
minati sunt, nec ulla dies nomen istud obliterabit. Sic sancta Maria virgo nuncupatur, nec appellatio ista aliquando commutabitur. Haec enim perpetuo incorrupta permansit. Cur igitur vos natura ipsa non docet? O inauditam insaniam! o praeposteram novitatem! Multa sunt praeterea quae priscis temporibus maiores nostri nequaquam aggressi sunt. Hodie vero alius in assumptam a Christo naturam contumeliosus est, et inusitata quaedam de divinitate ipsa praedicat. Alius ipsum illud incarnationis negotium mancum atque imperfectum constituit, alius resurrectione mortuorum offenditur,

θεν ἡ τοσαύτη τόλμα, αὐτὸ τὸ ὄνομα οὐ μαρτυρεῖ; οὐ πείθει σε, ὦ φιλόνεικε;

τῶν νεκρῶν, ἕτερος δὲ μέρος. [2] Καὶ ἁπαξαπλῶς, ὢ τῆς ἡμῶν τεθολωμένης γενεᾶς, ἧς ἡ ζωὴ ἐν κινδύνῳ διάκειται, ἐκ πανταχόθεν περιαντλουμένη κακαῖς ὑπὸ διαβόλου ἐπισποραῖς διανοημάτων τε καὶ λογισμῶν κακοπιστίας. Πῶς [3] τολμῶσι τὴν ἄχραντον παρθένον, καὶ τὴν οἰκητήριον καταξιωθεῖσαν γενέσθαι τοῦ υἱοῦ [4] θεοῦ, τὴν εἰς ταὐτὸ τοῦτο ἐκλεχθεῖσαν ἐκ τῶν μυριάδων [5] τοῦ Ἰσραὴλ, ὅπως σκεῦος καὶ οἰκητήριον [6] ἠξιωμένον εἰς σημεῖον μόνον ὑπάρξῃ τοκετῶν;

Κεφ. ζ. Ἤκουσα γὰρ παρά τινος ὥς τινες τολμῶσι περὶ ταύτης λέγειν ὅτι μετὰ τὸ γεγεννηκέναι τὸν σωτῆρα συνήφθη ἀνδρί. Καὶ οὐ θαυμάζω. Ἀεὶ γὰρ ἡ ἄγνοια τῶν μὴ τὰ ἀκριβῆ ἐγνωκότων τῶν θείων γραφῶν, μηδὲ ἱστορίαις προσεγγισάντων, ἀφ' ἑτέρων εἰς ἕτερα τρέπει καὶ περισπᾷ [1] τὸν ἀπ' ἰδίου νοὸς βουλόμενόν τι περὶ τῆς ἀληθείας ἰχνηλατεῖν. Πρῶτον γὰρ ὅτε ἡ παρθένος παρεδίδοτο τῷ Ἰωσὴφ, [2] κλήρων εἰς τοῦτο ἀναγκασάντων αὐτὴν ἥκειν, οὐ παρεδόθη αὐτῷ εἰς συνάφειαν, εἰ δεῖ τὰ ἀληθῆ λέγειν, ἐπειδὴ χῆρος ἦν. Ἀλλὰ διὰ τὸν νόμον μὲν ἀνὴρ κέκληται τῆς αὐτῆς· κατὰ δὲ τὴν ἀκολουθίαν ἐκ τῆς
pag. 1039. τῶν Ἰουδαίων παραδόσεως δείκνυται ὡς οὐχ ἕνεκεν τοῦ ζευχθῆναι αὐτῷ παρεδίδοτο αὐτῷ ἡ παρθένος, ἀλλ' ὅπως διαφυλαχθείη εἰς μαρτύριον τῶν ἐσομένων, ὅτι οὐ νόθος ἡ τῆς ἐνσάρκου παρουσίας οἰκονομία ἐπεδήμησεν, ἀλλὰ μεμαρτυρημένη ἐν ἀληθείᾳ, ἐκτὸς μὲν σπέρματος ἀνδρὸς ἐν πνεύματι ἁγίῳ οἰκονομηθεῖσα ἐν ἀληθείᾳ. Πῶς γὰρ ἠδύνατο ὁ τοσοῦτος γέρων παρθένον ἕξειν γυναῖκα, ὢν ἀπὸ πρώτης γυναικὸς χῆρος τοσαῦτα ἔτη; [3] Οὗτος μὲν γὰρ ὁ Ἰωσὴφ ἀδελφὸς γίνεται τοῦ Κλωπᾶ, ἦν δὲ υἱὸς τοῦ Ἰακὼβ, ἐπίκλην δὲ Πάνθηρ καλουμένου. Ἀμφότεροι οὗτοι ἀπὸ τοῦ Πάνθηρος ἐπίκλην γεννῶνται. Ἔσχε δὲ οὗτος ὁ Ἰωσὴφ τὴν μὲν πρώτην αὐτοῦ γυναῖκα ἐκ τῆς φυλῆς Ἰούδα, καὶ κυΐσκει αὐτῷ αὕτη παῖδας τὸν ἀριθμὸν ἕξ, τέσσαρας μὲν ἄρρενας, θηλείας δὲ δύο, καθάπερ τὸ εὐαγγέλιον τὸ κατὰ Μάρκον

2. *Distinguendum procul dubio* μέρος καὶ ἁπαξαπλῶς. Ὦ τῆς κτλ. *Cornarii versio verba* ἕτερος δὲ μέρος *omisit.*

3. *Gatakerus Opp. Critt. pag.* 813. *supplet* ἐπέρχεσθαι, *vel simile verbum infinitum in quod illud* τολμῶσι *transeat. Ego potius mutarem* τολμῶσι *in* κοινοῦσι *vel* ἀτιμῶσι.

4. θεοῦ, *quod desideratur in libris, repetendum erat ex vocabulo* υἱοῦ, *quod absorpserat.*

5. τοῦ *desideratur in edit. Petav. Colon. repet.*

6. ἠξιωμένον *cod. Rhedig.* ἠξιώμενον *cod. Ien. et edit. princ.* ἠξιώμενος *ed. Petav. Gatakerus l. l. suspicatus est* ἠξιωμένη τῶν σεμνῶν μόνον, *vel* ἀξιώτατον εἰς σημείου μόνου ὑπάρξῃ τοκετόν. *Cornarius transtulit* quo vas et habitaculum dignum esset, in signum solum partus? *Corrigerem* τοκάδων, *et verterem,* ut vas et habitaculum electum sola insignis esset inter genetrices? *Petavius cogitavit* εἰς θεῖον μόνον ὑπάρξῃ τοκετόν.

Cap. VII. — 1. τὸν ἀπ' ἰδίου *correxerunt Cornarius (in versione Latina) et Petavius, et ita mihi legere sum visus correctum etiam in cod. Rhedig. Libri vulgo habent* τὸν ἀσπιδίου.

2. *Contra Casaubonum (Exercitt. Eccles. c. Baron. I,* 13.) *et Grotium (Annot. in Matth. I,* 16. *et Luc.* 3, 23.), *qui haec verba ita acceperunt ac si virgo sanctissima hoc ideo diceretur quia esset* ἐπίκληρος, *vertentes* cum iura heredita-

alius denique aliud sibi ad oppugnandum arripit. O turbulentum nostrum saeculum! in quo hominum vita summum in discrimen adducitur, quae undique pessimis a daemone propagatis opinionum erroribus, ac perfidiae commentis obruitur. Quanam vero fronte incorruptam illam virginem aggrediuntur, quae dei filii domicilium esse meruit? quae ex infinito Israëlitarum numero ad id unum est electa, ut vas quoddam et habitatio uni esset divino partui consecrata.

Hoc enim certo ex auctore cognovi, nonnullos id de illa affirmare ausos esse, postquam salvatorem pepererit, cum viro consuetudinem habuisse. Quod equidem minus admiror. Nam eorum inscitia qui neque sacras literas accurate callent, neque in veterum historiarum lectione triti sunt, hos ipsos ab aliis ad alia transfert et abripit, cum ex ingenio suo ac mente veritatis vestigia consectantur. Inprimis itaque cum beata virgo Iosepho tradita est, quo illam sortis necessitas adduxerat, nequaquam ei ad copulationem est concessa, si quod res est asseverare volumus, cum utique viduus esset. Sed propter legem tamen vir illius appellatur; porro ex Iudaica traditione consequenter istud ostenditur, non, ut cum illo copularetur, virginem ei fuisse traditam, sed ut ad futurorum testimonium servaretur, palamque fieret susceptam hominis a deo naturam non adulterinam ac spuriam fuisse, sed certissimis suffragantibus testimoniis, sine virili satu, spiritus sancti vi et efficientia constitutam. Quomodo enim tam affectae senex aetatis virginem habere uxorem potuit, qui tot annis antea priori coniuge esset orbatus? Siquidem hic ipse Iosephus Cleophae frater, Iacobi filius cognomento Pantheris, fuit, ambo, inquam, illi Panthere patre nati sunt. Ceterum Iosephus primam e tribu Iudae coniugem habuit, e qua sex liberos suscepit, mares quatuor, feminas duas; id Cap. VII.

tis quam possidebat, eo ipsam adegissent, *recte monuit Th. Gatakerus Adverss. Miscell. p.* 813. *Epiphanium ipsum sui extitisse interpretem meliorem in Ancorato cap.* 60. „Οὗτος ὁ Ἰωσὴφ, γέρων ὢν καὶ χῆρος, κατ᾽ ἀνάγκην τῶν κλήρων βαλλομένων ἐπὶ χήρους καὶ ἀγάμους καθ᾽ ἑκάστην φυλὴν εἰς τὰς ἀπὸ ναοῦ παρθένους, διὰ τὸ ἀφιερωθῆναι ἐν τῷ ναῷ τοὺς πρωτοτόκους παῖδας, ἄρρενάς τε καὶ θηλείας, ἔλαβε κατὰ κλῆρον τὴν ἁγίαν παρθένον Μαρίαν.“ *Ad haec Gatakerus* „Sunt ista revera, *inquit,* mera nugamenta; neque enim primogeniturae ratione nisi mares soli erant deo sacri, neque qui deo erant sacri, in templo educabantur, sed redemptione ex iure usuque peracta, ad suos liberi referebantur; nec aut virgines ullas in loco sacro asservari solitas, aut de nupturientibus sortitiones istiusmodi institutas historia ulla monumentumve fide dignum denarrat. Veruntamen patet hinc eam fuisse in loco altero illo Epiphanii mentem, etiamsi tam a rei veritate alienam eam quam mente ipsius fuit viri doctissimi utriusque opinatio. Quod ego eo magis monui quia V. Cl. Fried. Spanheimius in Dub. Evangel. 14, sect. 5. Casaubonum in hac opinatione falsa secutus, idem ex Epiphanio probare contendit.“

3. *Excerpsit hunc locum Anastas. Sin. Quaestt. pag.* 618. *Grets.*

καὶ κατὰ Ἰωάννην ἐσαφήνισαν. Ἔσχε μὲν οὖν πρωτότοκον τὸν Ἰάκωβον τὸν ἐπικληθέντα Ὠβλίαν, ἑρμηνευόμενον Τεῖχος, καὶ Δίκαιον ἐπικληθέντα, Ναζωραῖον δὲ ὄντα, ὅπερ ἑρμηνεύεται Ἅγιος. Καὶ πρῶτος οὗτος εἴληφε τὴν καθέδραν τῆς [4] ἐπισκοπῆς, ᾧ πεπίστευκε κύριος τὸν θρόνον αὐτοῦ ἐπὶ τῆς γῆς πρώτῳ· ὃς καὶ ἐκαλεῖτο ὁ ἀδελφὸς τοῦ κυρίου· καθάπερ καὶ ὁ ἀπόστολος συνᾴδει τούτοις, ὧδέ που λέγων, Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, καὶ τὰ ἑξῆς. Ἀδελφὸς δὲ τοῦ κυρίου [5] οὕτως καλεῖται διὰ τὸ ὁμότροφον, οὐχὶ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν. Μαρία [6] μὲν γὰρ ἁρμοσθεῖσα τῷ Ἰωσὴφ ἐδόκει γυνὴ εἶναι τοῦ ἀνδρὸς, μὴ ἔχουσα πρὸς αὐτὸν σωμάτων συνάφειαν. Ἐκ ταύτης δὲ τῆς ὑποθέσεως ἡ γειτνίασις ἀγχιστείας τῶν υἱῶν Ἰωσὴφ πρὸς τὸν σωτῆρα ἐν ἀδελφῶν τάξει κέκληται· μᾶλλον δὲ καὶ ἐλογίσθη. Ὡς γὰρ καὶ αὐτὸς ὁ Ἰωσὴφ, μὴ σχὼν κοινωνίαν πρὸς τὴν γέννησιν τὴν κατὰ σάρκα τοῦ σωτῆρος, ἐν τάξει πατρὸς λογίζεται κατ' οἰκονομίαν, καθὼς λέγει Λουκᾶς εὐαγγελιστὴς περὶ αὐτοῦ τοῦ σωτῆρος, ὅτι, Ὢν υἱὸς, ὡς ἐνομίζετο, Ἰωσὴφ, ὡς καὶ αὐτὴ ἡ Μαριὰμ ἔφη πρὸς αὐτὸν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ, Ἰδοὺ, ἐγὼ καὶ ὁ πατήρ σου ἐζητοῦμέν σε ὀδυνώμενοι. Τίς οὖν ἂν εἴποι τὸν Ἰωσὴφ πατέρα τοῦ κυρίου, ὃς οὐδὲν πρὸς αὐτὸν εἶχον αἴτιον, μάλιστα τῆς ἐνσάρκου παρουσίας ἐκτὸς σπέρματος ἀνδρὸς ὑ-
pag. 1040. *παρχούσης· ἀλλὰ διὰ τῆς οἰκονομίας τοῦτον εἴληφε τὸν κλῆρον τὰ πράγματα.*

Κεφ. η'. *Τίκτει μὲν τοῦτον τὸν Ἰάκωβον ἐγγύς που περὶ ἔτη γεγονὼς τεσσαράκοντα πλείω ἐλάσσω. Μετ' αὐτὸν δὲ γίνεται παῖς Ἰωσῆ καλούμενος, εἶτα μετ' αὐτὸν Συμεὼν, ἔπειτα Ἰούδας· καὶ δύο θυγατέρες, ἡ Μαρία, καὶ ἡ Σαλώμη καλουμένη. Καὶ τέθνηκεν αὐτοῦ ἡ γυνή. Καὶ μετὰ ἔτη πολλὰ λαμβάνει τὴν Μαρίαν χῆρος, κατάγων ἡλικίαν περί που ὀγδοήκοντα ἐτῶν καὶ πρόσω ὁ ἀνήρ. Καὶ μετὰ ταῦτα λαμβάνει τὴν Μαρίαν, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ λέγει, Μνηστευθείσης γὰρ, φησὶ, τῆς Μαρίας, καὶ οὐκ εἶπε, Γαμηθείσης. Καὶ πάλιν ἄλλοτε, Οὐκ ᾔδει αὐτήν. Θαυμάσαι δὲ ἔστιν ἐπὶ πᾶσιν [1] οἷς αἱ προφάσεις θηρῶνται αἱ πονηραὶ, καὶ ὧν οὐκ ἔστι χρείᾳ ἐρευνᾶν τὰς αἰτίας, καὶ ζητεῖν τὰ μὴ ζητούμενα, ἀπὸ δὲ τῶν ἀναγκαίων τρέπεσθαι ἐπὶ μωρὰς ζητήσεις, ἵνα πάντως που ἐκ πανταχόθεν συναφθῇ ἡμῖν ὄλεθρος ἀπιστίας καὶ βλασφημίας, διὰ τὰς πρὸς τοὺς ἁγίους ἀτιμίας. Καὶ πρῶτον μὲν οὖν ἐλέγχει αὐτοὺς πανταχόθεν ἡ ἀκολουθία, ὅτι πρῶτον*

4. *Cf. Chron. Pasch. pag.* 382. *ed. Bonn. cum adnot.*

5. οὗτος *Cornarius, vertens* Frater autem domini hic appellatur.

6. μὲν *omiss. in cod. Rhedig.*

Cap. VIII. — 1. *Rescribendum puto* ὡς αἱ προφάσεις *cum Gatakero l. l. p.* 813., *qui vertit* Omnium vero maxime

quod Marci ac Ioannis evangelia declarant. Primus ex omni stirpe natus illi filius est Iacobus, cognomento *Oblias* (quod murum, vel castellum interpretari licet), qui et Iustus appellatus est, et Nazaraeus fuit, quod vocabulum Sanctum significat. Idem ille primus episcopalem cathedram cepit, cum ei ante ceteros omnes suum in terris thronum dominus tradidisset. Qui quidem *domini frater* est vulgo nominatus. Quibus omnibus adstipulatur apostolus his verbis, *Alium autem ex apostolis vidi neminem, nisi Iacobum fratrem* Gal. 1, 19.
domini etc. Verum domini ille frater ob communem educationem, non natura, sed gratia vocatur. Nam Maria cum Iosepho coniuncta viri uxor esse videbatur, cum nullum inter ipsos corporum commercium interesset. Ex quo illa Iosephi filiorum cum salvatore propinquitatis affinitas est nata, quae fraternam appellationem obtineret, vel ea potius necessitudine censeretur. Ut enim Iosephus ipse, licet nihil haberet cum salvatoris secundum carnem origine commune, certa tamen providentiae ratione loco patris est habitus; quemadmodum Lucas evangelista de salvatore ipso testatur, *Qui* Luc. 3, 23.
erat, inquit, *filius, ut credebatur, Ioseph.* Sed et Maria ipsa illum alloquens in evangelio Lucae idem asserit, *Ecce ego et pater* Ib. 2, 46.
tuus dolentes quaerebamus te. Quis igitur Iosephum domini patrem audeat dicere, quo cum nullam principii, aut caussae rationem habebat, cum incarnatio ipsa sine virili semine perfecta administrataque fuerit? Sed, quod providentiae ratio postulabat, ea rebus est sors atque conditio tributa.

Redeo ad Iacobum illum, quem Iosephus annos plus minus na- Cap. VIII.
tus XL genuit. Post hunc alius ei filius nascitur, cui Iose nomen fuit. Inde Symeon ac Iudas, filiae vero duae, Maria et Salome. Tum mortua uxore multis post annis viduus Mariam duxit, cum octogesimum, atque eo amplius annum attigisset. Mariam, inquam, id aetatis accepit, ut evangelium narrat. *Cum esset*, inquit, Matth. 1, 18.
desponsata Maria. Non dicit, Cum nupsisset. Idem alio loco, *Non cognovit illam.* Subit vero illos omnes admirari, qui pravas quasdam occasiones ac species captantes eorum quae nihil scire attinet caussas investigant, ac quae minime perscrutanda sunt inquirunt, et a necessariis rebus ad stultas quaestiones sese convertunt, ut ex ea quae sanctis imponitur ignominia infidelitatis ex omni parte ac blasphemiae perniciem atque exitium importent. Quocirca primum illos rei series atque ordo ipse convincit. Quod inprimis

id admiratione dignum est quomodo pravae captantur occasiones, quodque eorum caussas scrutantur homines, quorum nullus est usus, et in ea inquirunt quae inquirenda non sunt *cett.* Petavius suasit οἷς αἱ προφ. ϑ. οἱ πονηροὶ, καὶ κτλ.

μὲν γέρων ὑπὲρ ὀγδοήκοντα ἔτη γεγονὼς οὐκ ἔλαβε παρθένον εἰς χρῆσιν, ἀλλὰ μᾶλλον ᾠκονομήθη αὐτῷ εἰς τὸ φυλάττειν· δεύτερον δὲ πάντως που καὶ αὐτοὶ ὑπῆρχον δίκαιοι. Καὶ οὐκ ἐτόλμα ὁ ἀκούσας ὅτι ἐκ πνεύματος ἁγίου ἐστὶ τὸ ἐν αὐτῇ, ἔτι ἐπιβάλλεσθαι μετὰ τοιαύτην οἰκονομίαν χρῆσθαι τῷ σκεύει τῷ καταξιωθέντι χωρῆσαι ὃν οὐρανὸς καὶ γῆ οὐκ ἐχώρει, δι' ὑπερβολὴν τῆς αὐτοῦ δόξης, εἰ γὰρ καὶ νῦν εἰς ὄνομα αὐτοῦ παρθένοι διατελεῖν ἀγωνίζονται, καὶ ἁγνεύειν, καὶ ἐγκρατεύεσθαι, πῶς μᾶλλον οὐκ ἦν πιστότερος Ἰωσὴφ καὶ αὐτὴ ἡ Μαρία, πάντα συμβάλλουσα εἰς καρδίαν αὐτῆς, ὡς γέγραπται; Ἀλλὰ μετὰ τοσαύτην καὶ τοιαύτην καὶ τηλικαύτην οἰκονομίαν συναφθῆναι πάλιν γέροντα παρθένῳ ἁγνῇ καὶ τετιμημένῃ, καὶ σκεύει χωρήσαντι τὸν ἀχώρητον, καὶ ὑποδεξαμένῳ τοιοῦτον μυστήριον σημείου ἐπουρανίου καὶ ζωῆς ἀνθρώπων;

Κεφ. Θ'. Πόθεν γὰρ οὐ δείξωμεν ὅτι ἁγνὴ διετέλεσεν ἡ παρθένος; Δειξάτωσαν ἡμῖν εὐθὺς ὅτι μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν κύησίν τινας ἐγέν-
pag. 1041. νησεν ἡ Μαρία. Εἴπωσι τὰ ὀνόματα πλάττοντες, οἱ πλαστουργοὶ καὶ ῥαψῳδοὶ τῆς ἀπάτης καὶ κακομηχανίας, καὶ οὐκ ἔχουσι δεῖξαι. Οὐ γὰρ [1] συνήφθη ἔτι παρθένος, μὴ γένοιτο. Εἰ γὰρ ἐγέννησεν, ἀεί ποτε σὺν αὐτῷ ὑπάρχουσα τῷ σωτῆρι, ἅμα ἔλεγον καὶ τὰ τέκνα αὐτῆς συνεῖναι. Πλανᾷ δὲ αὐτοὺς τὸ εἰρημένον, Ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ἔστηκαν ζητοῦντές σε. Καὶ οὐκ οἴδασιν ὃ πρὸ τούτου ἦν γεγραμμένον ὅτι, Οἱ ἀδελφοὶ αὐτοῦ [2] ἐπίστευον εἰς αὐτόν. Προβαίνοντες γὰρ καὶ ἡμεῖς τῷ χρόνῳ, καὶ θαυμάζοντες ἐπὶ τοῖς ἐν ταῖς θείαις γραφαῖς ὡς εὐτελῶς γεγραμμένοις, ἰδοὺ κατὰ πᾶν ἐν αἰσθήσει γινόμενοι εὐχαριστοῦμεν θεῷ τῷ προασφαλισαμένῳ διὰ τῶν δοκούντων βραχέων ῥημάτων ἐν τῇ θείᾳ γραφῇ παριστᾶν πάσης γραφῆς τὴν ἀλήθειαν. Ἀεὶ γὰρ ἀκούοντες περὶ Ἰακώβου, ὅτι οὗτος ἀδελφὸς ἐκαλεῖτο τοῦ κυρίου, θαυμάζοντες ἐλέγομεν, Τίς ἡ χρεία; νῦν δὲ ἔγνωμεν δι' ἣν αἰτίαν, ὡς προεῖπεν ἡ θεία γραφὴ, ἀλλὰ πάντως ἵνα, ὅταν ἀκούωμεν ὅτι, Ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι ζητοῦντές σε, μάθωμεν ὅτι περὶ Ἰακώβου λέγει καὶ τῶν ἄλλων υἱῶν Ἰωσὴφ, καὶ οὐ περὶ υἱῶν Μαρίας τῶν μὴ γινομένων. Δῆλον γὰρ [3] ἦν ὅτι μείζων ἦν ὁ Ἰάκωβος τῇ ἡλικίᾳ, κατὰ τὴν ἔνσαρκον τοῦ [4] κυρίου παρουσίαν. Ἀδελφοὺς δὲ αὐτοὺς λέγει [5] διελέγχουσα ἡ γραφὴ, καὶ ὀνομαστὶ καλοῦσα Ἰάκωβον, καὶ Ἰωσῆ, καὶ [6] Συμεῶνα, καὶ Ἰούδαν, καὶ Σαλώμην, καὶ Μαρίαν· ἵνα μάθωσι τοίνυν τίνος

Cap. IX. — 1. συνῆφθαι cod. Paris., teste Petavio. συνήφθαι cod. Rhedig.
2. „Deest οὐκ." Petavius.
3. ἦν non habet cod. Rhedig.
4. Χριστοῦ cod. Rhedig.
5. ἐλέγχουσα cod. Rhedig.
6. σιμεῶνα καὶ ἰούδα cod. Rhedig.

homo senex supra LXXX annos natus virginem ad usum corporis non acceperit, sed divina potius providentia ad illam custodiendam est appositus. Deinde ambo erant utique iusti; neque qui hoc semel audiisset foetum illum, quem in utero ipsa gestabat, e spiritu esse sancto, post tantam dei administrationem vase illo auderet uti, quod eum capere meruerat quem ob excellentem gloriam coelum ac terra continere non possunt. Nam si hoc ipso tempore virgines in eius nomine perseverare in illo statu ac castimoniam, et continentiam servare contendunt, quanto maior Iosephi religio erat ac Mariae, quae ut scriptum est, *omnia in corde suo conferebat?* Cuius- Luc. 2, 15.
modi vero erat illud, post tale tantumque divinae providentiae mysterium decrepitum senem cum virgine castissima et honoratissima consuescere, cum eo inquam vase quod eum qui capi non potest ceperat ac tam stupendum prodigii coelestis et humanae salutis mysterium complexum fuerat?

Nam quae rationes ad illud ostendendum non suppetant bea- Cap. IX.
tam virginem in castimonia perstitisse? Doceant nos illi post salvatorem in lucem editum ullos Mariam peperisse liberos. Dicant horum nomina, ac si placet confingant, fraudis ac versutiae omnis architecti. Sed illud demonstrare nunquam poterunt. Non enim ullam virgo viri consuetudinem habuit. Absit ut habuisse putemus. Si enim aliquos liberos peperisset, quae cum salvatore ipso versabatur assidue, una et ipsius filios vixisse dicerent. Sed hoc illis evangelii dictum imposuit, *Ecce mater tua et fratres tui foris stant,* Luc. 8, 20.
quaerentes te. Nec illud animadvertunt quod antea scriptum est, *Quoniam fratres eius non credebant in illum.* Enimvero nos pro- Ioann. 7, 5.
gressu temporis instructiores redditi, cum aliquando sacras literas tam simpliciter scriptas esse miraremur, postquam penitus omnia pervidimus, deo gratias agere coepimus, qui paucissimis quibusdam verbis eorum omnium quae in sacris literis scripta sunt munitam ac stabilitam veritatem exhibere voluit. Cum enim de Iacobo assidue illud audiremus, fratrem ipsum domini vocatum fuisse, qui istud toties necesse foret repetere admirabundi quaerebamus. Nunc autem cur id in sacris literis ante sit inculcatum intelligimus. Videlicet ut cum audimus, *Ecce mater tua et fratres tui foris stant quaerentes te,* de Iacobo ac ceteris Iosephi filiis, non Mariae, qui nulli sunt, dictum illud esse doceamur. Neque enim dubium est quin Iacobus, quo tempore Christus in hoc mundo versabatur, esset aetate provectior. Ceterum fratres ipsos scriptura vocat, contrarias haereses tacite redarguens, ac nomina illorum exprimens, Iacobum, Iose, Symeonem, Iudam, Salomen, et Mariam. Ex quo declara-

υἱὸς τυγχάνει, καὶ ἐκ ποίας μητρὸς ὁ Ἰάκωβος, νοήσωσι δὲ κατὰ τὴν ἡλικίαν τίς ἐστι μείζων. Ὁ γὰρ Ἰησοῦς σταυροῦται ἐν ἔτει τριακοστῷ τρίτῳ τῆς αὐτοῦ ἐνσάρκου παρουσίας. Τοῦ δὲ Ἡρώδου ἦν κατ' ἐκεῖνο καιροῦ, υἱοῦ δὲ Ἀρχελάου, ἔτος εἰκοστόν.

Κεφ. ι'. Ἐν γὰρ τῷ τριακοστῷ τρίτῳ ἔτει τοῦ πρώτου Ἡρώδου, υἱοῦ Ἀντιπάτρου, γεννᾶται ὁ σωτὴρ ἐν [1] Βηθλεὲμ τῆς Ἰουδαίας, ὅπερ ἦν τεσσαρακοστὸν δεύτερον Αὐγούστου βασιλέως. Καὶ ποιήσας ἔτη δύο λαμβάνεται ὑπὸ τοῦ Ἰωσὴφ εἰς Αἴγυπτον, διὰ τὰ ὑπὸ τῶν Μάγων τῷ Ἡρώδῃ εἰρημένα, τοῦ Ἡρώδου ζητοῦντος τὸν παῖδα. [2] Κάτεισι δὲ εἰς Αἴγυπτον, καὶ τελεῖ ἐκεῖσε ἄλλα δύο ἔτη. Καὶ τελευτᾷ Ἡ-
pag. 1042. ρώδης ὁ βασιλεὺς ἔτει τριακοστῷ ἑβδόμῳ. Διαδέχεται δὲ τοῦτον Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ, ἐπὶ ἔτεσιν ἐννέα. Καὶ οὕτως ἡ πραγματεία τελειοῦται, καὶ παραδίδοται σταυρῷ, ὀκτωκαιδεκάτῳ μὲν ἔτει Τιβερίου Καίσαρος, τοῦ δὲ Ἀγρίππα ἐπικληθέντος Μεγάλου, Ἡρώδου [3] δὲ νεωτέρου, υἱοῦ δὲ Ἀρχελάου, ἔτος ἦν εἰκοστόν. Οὐδαμοῦ δὲ ἠκούσαμεν τὸν Ἰωσὴφ υἱοὺς πεποιηκότα. Ἀλλ' οὔτε μετὰ τὸ ἐλθεῖν ἀπὸ τῆς Αἰγύπτου ὁ αὐτὸς ἐβίωσεν ἐπὶ πολλοῖς ἔτεσι. Τέταρτον γὰρ ἦν ἔτος τῷ σωτῆρι, τῷ δὲ Ἰωσὴφ ὑπὲρ ἔτος ὀγδοηκοστὸν τέταρτον, ὅτε ἐκ τῆς Αἰγύπτου χώρας παρεγένετο. Καὶ [4] διέμενεν ἄλλα ἔτη ὀκτὼ [5] ὁ Ἰωσὴφ περιών, καὶ ἐν [6] τῷ δεκάτῳ ἔτει ἀνιόντων ἐπὶ Ἱερουσαλὴμ, ἐζητήθη, ὅτε οὐχ εὑρίσκετο ἐν τῇ ὁδοιπορίᾳ, ὡς ἔχει τὸ κατὰ Λουκᾶν εὐαγγέλιον. Μέσον δὲ τούτων τῶν ἐτῶν τελευτᾷ Ἰωσὴφ, καὶ ἀνετράφη οὐκέτι ὑπὸ τὸν Ἰωσὴφ, ἀλλ' εἰς τὸν οἶκον τοῦ Ἰωσήφ. Ὅθεν οὐκέτι τὸ εὐαγγέλιον [7] φάσκει λέγων ὅτι, Ἦλθεν ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ, ἀλλ', Ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν. Ἀλλ' οὔτε ὅτε ἔλεγον αὐτῷ ἐν τῇ [8] Ἰδουμαίᾳ, Οὐδεὶς ταῦτα ποιῶν θέλει ἐν κρυπτῷ εἶναι· εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν, οὐκ εἶπεν ὅτι, Εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλ', Οἱ ἀδελφοὶ αὐτοῦ, ὡς τοῦ Ἰωσὴφ μηκέτι ὑπάρχοντες κατὰ τὸ σῶμα. [9] Εἶτα δὲ ἐπ' αὐτῇ τῇ τελειώσει, ὅτε ὁ σωτὴρ ἐν τῷ σταυρῷ ἕστηκεν, ὡς ἔχει τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, Στραφεὶς, φησὶ, εἶδε τὸν μαθητὴν ὃν ἠγάπα ὁ κύριος, καὶ εἶπεν αὐτῷ περὶ Μαρίας, Ἰδοὺ ἡ μήτηρ σου· καὶ τῇ αὐτῇ λέγει, Ἰδοὺ ὁ υἱός σου. Εἰ ἦσαν δὲ τέκνα τῇ Μαρίᾳ, καὶ εἰ ὑπῆρχεν αὐτῇ ἀνὴρ, τίνι λόγῳ παρεδίδου τὴν Μαρίαν τῷ Ἰωάννῃ, καὶ τὸν Ἰωάννην τῇ Μαρίᾳ; τίνι δὲ τῷ λόγῳ Πέτρῳ μᾶλλον οὐ παραδίδωσι; τίνι δὲ τῷ λόγῳ [10] Ἀνδρέᾳ, Ματθαίῳ τε καὶ Βαρθολομαίῳ; Ἀλλὰ δῆλον ὅτι Ἰωάννῃ διὰ τὴν παρθενίαν. Ἰδοὺ γὰρ ἡ μήτηρ σου· καί τοί γε οὐκ

Cap. X. — 1. ἐν τῇ Βηθλεὲμ. — De re cf. Montacut. Apparat. ad Origg. Eccles. p. 191 sq., et p. 205 sqq. 2. κάτεισι emendavit Petav., ex marg. exempli Schottiani, ni fallor, in quo eam scripturam deprehendo, addito siglo M.

tum illud voluit, cuius filius, et ex qua matre Iacobus esset genitus; tum uter natu grandior foret. Etenim Iesus anno aetatis suae XXXIII. in crucem actus est, qui erat Herodis Archelai F. vigesimus.

Anno quippe Herodis senioris Antipatri F. tertio ac tricesimo Christus Bethleemi Iudaeae nascitur, Augusti vero XLII. Deinde post annos duos in Aegyptum ab Iosepho transportatus est, cum Herodes ob ea quae Magi renuntiaverant puerum ad necem requireret. Quare in Aegyptum profectus biennio illic moratus est. Post haec Herodes obiit anno regni sui XXXVII. Cui successit Archelaus filius, qui IX annis regnavit. Ita postmodum Christus eo omni, cuius gratia venerat, absoluto negotio, in crucem tollitur, anno Tiberii Caesaris XVIII., qui erat Agrippae Magni, sive Herodis iunioris Archelai F., annus XX. Nusquam vero Iosephum suscepisse liberos accepimus. Sed neque posteaquam ex Aegypto rediit, diu supervixit. Agebat tum Christus annum aetatis quartum. Iosephus LXXXIV. excesserat, cum ex Aegypto reversus est. Post haec aliis VIII vixit. Nam Christus annum agens XII., cum Hierosolymam profecti essent, quaesitus est, quod in itinere non esset repertus, ut Lucae testatur evangelium. Porro nondum evolutis annis illis Iosephus moritur, ac Iesus non amplius sub illo, sed in eius domo duntaxat educatus est. Hinc est quod in evangelio non iam illud dicitur, Venit pater ipsius, et mater, et fratres eius, sed, *Ecce mater tua et fratres tui foris stant.* Sed neque cum in Galilaea sic illum alloquerentur, *Nemo haec agens in occulto versari cupit; si haec facis, praebe te manifestum,* non dixit, Pater ipsius et fratres, sed Fratres ipsius; eo quod Iosephus in corpore esse desiisset. Quinetiam in ipso vitae exitu, cum Christus in cruce penderet, ut in Ioannis evangelio scriptum est, *Conversus,* inquit, *vidit discipulum, quem diligebat dominus,* eique de Maria dixit, *Ecce mater tua,* tum matri, *Ecce filius tuus.* Atqui si Maria liberos habuisset, aut superstes vir eius fuisset, cur illam Ioanni, Ioannem illi commendaret? Verum cur non Petro potius, vel Andreae, vel Matthaeo, Bartholomaeove commendat? Nimirum Ioanni propter virginitatem hoc tribuit. *Ecce,* inquit, *mater tua.*

Cap. X. — Luc. 2. — Luc. 8, 20. — Ioann. 7, 4. — Ioann. 20, 26.

κάτισι codd. mss. uterque et ed. princ.
3. *δὲ om. cod. Rhedig.*
4. *διέμενεν codd. mss. διέμεινεν editi libri.*
5. *ὁ Ἰωσὴφ codd. mss. uterque. Ἰωσὴφ editi libri.*
6. *Scribendum δωδεκάτῳ, quemadmodum etiam verterunt Cornarius atque Petavius.*
7. *λέγει φάσκων cod. Rhedig.*
8. *Γαλιλαίᾳ coniecit Petavius.*
9. *εἶ δὲ cod. Rhedig.*
10. *Ἀνδρείᾳ edit. Petav.*

ἦν μήτηρ αὐτοῦ τοῦ Ἰωάννου κατὰ σάρκα, ἀλλ' ἵνα δείξῃ αὐτὴν μητέρα ἀρχηγὸν τῆς παρθενίας, ἐπειδὴ ἐξ αὐτῆς ἡ ζωὴ ἦν· καὶ τῷ Ἰωάννῃ, καί τοί γε ὄντι κατὰ σάρκα ἀλλοτρίῳ, ἔλεγεν, ἵνα διδάξῃ τιμᾶν τὴν ἰδίαν αὐτοῦ μητέρα, ὅτι τῷ μὲν ὄντι κατὰ σάρκα ἐξ αὐτῆς αὐτὸς ὁ κύριος γεγέννηται, ἵνα μή τις νομίσῃ δόκησιν εἶναι τὴν πραγ-
pag. 1043. ματείαν, καὶ οὐκ ἀλήθειαν. Εἰ μὴ γὰρ ἦν αὐτοῦ ἀληθῶς μήτηρ κατὰ σάρκα κυήσασα αὐτὸν, οὐκ ἂν περὶ αὐτῆς τὴν ἐπιμέλειαν [11] ἐποιεῖτο τὸ παραδοῦναι τὴν ἀειπάρθενον, μητέρα μὲν γεγονυῖαν διὰ τὴν οἰκονομίαν, ἄχραντον δὲ διὰ τὴν πρὸς τὸν αὐτὸν τιμὴν, καὶ τὸ σκεῦος τὸ θαυμαστόν. Λέγει δὲ τὸ εὐαγγέλιον, Καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης ἔλαβεν αὐτὴν πρὸς ἑαυτόν. Εἰ δὲ εἶχεν ἄνδρα, εἰ εἶχεν οἶκον, εἰ εἶχε τέκνα, εἰς τὰ ἴδια ἀνεχώρει, [12] καὶ οὐ πρὸς τὸν ἀλλότριον.

Κεφ. ια'. Ἀλλὰ μὴ τοῦτο στραφῇ εἰς βλάβην τισὶ, καὶ δόξωσιν ἐν τούτῳ λαμβάνειν πρόφασιν, συνεισάκτους καὶ ἀγαπητὰς [1] ἐπικαλουμένας ἑαυτοῖς ἐπινοεῖν, διὰ κακομήχανον ὑπόνοιαν. Ἐκεῖσε γὰρ τὰ πράγματα ἐτελεῖτο κατ' οἰκονομίαν, [2] διῃρημένων τῶν πραγμάτων ἀπὸ τῆς ἄλλης ἁπάσης κατὰ θεὸν ὀφειλούσης φυλάττεσθαι ἀκριβείας. Καὶ γὰρ ὅτε τοῦτο γεγένητο, καὶ παρείληφεν αὐτὴν πρὸς ἑαυτὸν, οὐκέτι παρέμεινε παρ' αὐτῷ. Ἀλλὰ καὶ εἰ δοκοῦσί τινες ἐσφάλθαι, ζητήσωσι τὰ ἴχνη τῶν γραφῶν, καὶ εὕρωσιν ἂν οὔτε θάνατον Μαρίας, οὔτε εἰ τέθνηκεν, οὔτε εἰ μὴ τέθνηκεν, οὔτε εἰ τέθαπται, οὔτε εἰ μὴ τέθαπται. Καί τοί γε τοῦ Ἰωάννου περὶ τὴν Ἀσίαν ἐνστειλαμένου τὴν πορείαν, καὶ οὐδαμοῦ λέγει ὅτι ἐπηγάγετο μεθ' ἑαυτοῦ τὴν ἁγίαν παρθένον. Ἀλλ' ἁπλῶς ἐσιώπησεν ἡ γραφὴ, διὰ τὸ ὑπερβάλλον τοῦ θαύματος, ἵνα μὴ εἰς ἔκπληξιν ἀγάγῃ τὴν διάνοιαν τῶν ἀνθρώπων. Ἐγὼ γὰρ οὐ τολμῶ λέγειν, ἀλλὰ διανοούμενος σιωπὴν ἀσκῶ. Τάχα γάρ που [3] καὶ ἴχνη εὕρομεν τῆς ἁγίας ἐκείνης καὶ [4] μακαρίας, ὡς οὔτε εὑρεῖν ἔστι τὸν θάνατον αὐτῆς. Πῇ μὲν γὰρ ὁ Συμεὼν φάσκει περὶ αὐτῆς, Καὶ σοῦ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως [5] ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ, πῇ δὲ τῆς Ἀποκαλύψεως Ἰωάννου φασκούσης ὅτι, Καὶ ἔσπευδεν ὁ δράκων ἐπὶ τὴν γυναῖκα τὴν γεννήσασαν τὸν ἄρρενα, καὶ ἐδόθησαν αὐτῇ πτέρυγες ἀετοῦ, καὶ ἐλήφθη εἰς τὴν ἔρημον, ὅπως ἂν μὴ λάβῃ αὐτὴν ὁ δράκων. Τάχα δὲ δύναται ἐπ' αὐτῇ πληροῦσθαι· οὐ πάντως δὲ ὁρίζομαι τοῦτο, καὶ οὐ λέγω

11. ἐποιεῖτο τὸ codd. mss. uterque, et edit. Petav. ἐμποιεῖ τὸ edit. princ. Cornarius vertit non sane de ipsa curam habuisset.

12. καὶ omiss. in edit. Petav. Colon. repet.

Cap. XI. — 1. καλουμένας cod. Rhedig.

2. Libri vulgo habent κατ' οἰκονομίαν δὲ διῃρημένων. Delevi voculam δὲ, utpote repetitam per errorem ex vocabulo proximo, sensumque ita plane turbantem.

3. καὶ om. cod. Rhedig.

4. μαρίας cod. Rhedig.

Quamquam si corpus consideres, Ioannis mater non erat, sed eam ipsam virginitatis esse principem significare voluit, quoniam ab illa vita processit. Ad haec Ioannem, licet alienus ac minime propinquus esset, verbis illis affatus est, uti matrem honorandam esse monstraret. Siquidem ex illa dominus, quod ad corpus attinet, revera natus est; ne quis fortasse totum incarnationis negotium putet externa specie, non veritate constare. Nam nisi vere mater eius extitisset, a qua carnem acceperat, quaeque ipsum pepererat, non tantam ei curam adhiberet, ut perpetuam virginem commendaret, quae et mater ob susceptum ex ipsa corpus fuisset, et ob illius honorem atque admirabile corporis sui vas nullam labem admisisset. Sed pergit evangelium et, *Ex illa*, inquit, *die accepit eam discipulus ad sese.* Atqui si et virum haberet, et domum, et liberos, ad sua potius quam ad alienum sese conferret.

Vereor ne hoc ipsum quod dicimus fraudi sit aliquibus, ut ad Cap. XI. contubernales ac dilectas, quas vocant, feminas retinendas, quod genus pessimo sibi animi errore machinati sunt, fucum inde aliquem et colorem arcessisse videantur. Verum illic certa quadam providentiae ratione administrata sunt omnia, ita ut totum hoc negotium ab aliorum omnium, quae ex dei mandato praestanda sunt, officiorum lege esset ac necessitate seiunctum. Praeterea posteaquam illud ita gestum est, et ad sese illam accepit, non amplius apud ipsum permansit. Quod si falso iactari quispiam a nobis existimet, licet sacrarum literarum vestigia consectari, in quibus nullam de Mariae obitu mentionem reperiet, mortua sit, necne, sepulta, an non sepulta fuerit. Ac cum Ioannes interim in Asiam profectus sit, nusquam tamen b. virginem itineris comitem secum illum habuisse significat, sed de ea re penitus scriptura conticescit, id quod propter admirationis vehementiam factum arbitror, ne hominum animos maiorem quendam in stuporem coniiceret. Ego enim pronuntiare illud vereor, et tacita apud me cogitatione reputans mihi silentium indico. Quippe haud scio an de sanctissima illa ac beatissima virgine obscura quaedam inveniri vestigia possint, quae incertam nobis illius mortis fidem faciant. Nam ex una parte illud occurrit, quod de illa pronuntiat: *Et tuam ipsius animam pervadet gladius, ut re-* Luc. 2, 35.
tegantur ex multorum cordibus cogitationes. Aliunde vero in Apoca- Apoc. 12, 13.
lypsi Ioannis legimus, *Draconem adversus mulierem properasse, quae marem pepererat, et datas ei esse pennas aquilae, et translatam esse in desertum, ne eam draco comprehenderet.* Quod quidem in illa esse potest impletum. Quamquam illud non affirmo penitus, neque aut

5. ἂν omiss. in edit. Petav.

ὅτι ἀθάνατος ἔμεινεν· ἀλλ' οὔτε διαβεβαιοῦμαι εἰ τέθνηκεν. Ὑπερέ-
pag. 1044. βαλε γὰρ ἡ γραφὴ τὸν νοῦν τὸν ἀνθρώπινον, καὶ ἐν μετεώρῳ εἴασε, διὰ τὸ σκεῦος τὸ τίμιον καὶ ἐξοχώτατον, ἵνα μή τις ἐν ὑπονοίᾳ γένηται περὶ αὐτῆς σαρκικῶν πραγμάτων. Κἄν τε οὖν τέθνηκεν, οὐκ ἔγνωμεν. Καὶ εἰ τέθαπται, οὐ συνῆπται σαρκί· μὴ γένοιτο. Τίς δὲ φρενοβλάβειαν ἑαυτῷ συναγαγὼν θελήσει ἐνσκῆψαι βλάσφημόν τινα ὑπόνοιαν, καὶ [6] ἐπᾶραι στόμα, χαλάσαι τε γλῶτταν, διελεῖν δὲ χείλη ἐκ διανοίας κακῆς; μᾶλλον δὲ ἀντὶ ὕμνων, καὶ δόξης, ὕβρεις τινὰς ἐπινοεῖν, καὶ ἐμπαροινεῖν εἰς τὴν ἁγίαν παρθένον, καὶ μὴ τιμᾶν τὸ τετιμημένον σκεῦος.

Κεφ. ιβ'. Εἰ δὲ καὶ ἀπὸ ἄλλης τινὸς θεωρίας χρὴ λαβεῖν τὰ πράγματα, ψηλαφήσωμεν καὶ φυσιολογιῶν σχέσεις. Φασὶ τὴν λέαιναν μὴ τίκτειν πλὴν μιᾶς γαστρὸς μόνης, ἔχειν δὲ τὴν αἰτίαν τοιάνδε. Τὸ ζῶον μέν ἐστι [1] τραγότατον, χαρωπὸν δὲ τῷ εἴδει, ἐμβριθέστατον τῇ ἀλκῇ, ὡς εἰπεῖν, βασιλικώτατον γένος ἐπὶ τὰ ἄλλα ζῶα. Ἔχειν δὲ τὴν σύλληψιν ἐξ ἑνὸς συζύγου, τελεῖν δὲ τὸ καταβαλλόμενον σπέρμα εἰκοσιὲξ μῆνας ἐν τῇ νηδύϊ, ὥςτε τὸν σκύμνον ἔνδον ἐπὶ τελειότητα φέρεσθαι διὰ τὸν χρόνον, εἰς τὸ [2] καὶ τοὺς πάντας ὀδόντας ἔχειν ἤδη, πρὶν ἢ ἐκ τῆς γαστρὸς προέλθοι, καὶ τοὺς ὄνυχας ἐν ἡλικίᾳ στασίμῳ, τούς τε πασσαλίσκους καλουμένους, καὶ κυνόδοντας, τάς τε μύλας, καὶ τὰ ἄλλα, ὅσα περίεστι τῷ ζώῳ. Ἐν τῷ οὖν εἶναι αὐτὸν ἐν τῇ κοιλίᾳ ἐν ταῖς σκιρτήσεσι, κινήσεσί τε καὶ τοῖς ἄλλοις τρόποις διὰ τῶν ὀνύχων κατασπᾶν, ξέειν τε τὰς ἐγκυμονικὰς μήτρας τε καὶ ὑστέρας. Ἐν τῷ οὖν ἐπὶ [3] τὸ τίκτειν τὴν μητέρα ἥκειν, κατ' ἐκείνην τὴν ἡμέραν παντὸς ἀργαλέου κυοφορικῆς φύσεως ἀλλοτρίαν τὴν γαστέρα γίνεσθαι. Μετὰ γὰρ τοῦ τοκετοῦ καὶ τὰς ὑστέρας καὶ τὰς μήτρας ἐκκρίνεσθαι ἅμα φασὶν οἱ φυσιολόγοι, ὥςτε μηκέτι τὴν θήλειαν ὀρέγεσθαι, εἰ μή τις ἄρα βία γένοιτο, μήτε μὲν, εἰ καὶ τύχοι συναφείᾳ τινὶ ἀναγκασθῆναι, ἔτι δύνασθαι κυΐσκειν, μὴ οὐσῶν τῶν μητρῶν, εἴτ' οὖν ὑστερῶν. Ἆρα γοῦν δέδωκεν ἡμῖν καὶ αὕτη ἡ ἀκολουθία πορίσασθαι εἰς τὴν ἐπιζητουμένην πραγματείαν ἔννοιάν τινα σχέσεως ἐπὶ τὸ συμφέρον μᾶλλον ἢ ἐπὶ τὸ βλάπτον. Εἰ γὰρ, [4] Σκύμνος λέοντος Ἰούδας, αἰνίττεται Ἰακὼβ λέγων τὸν Χριστὸν, [5] καὶ τοὺς ἐν τῇ Ἀποκαλύψει
pag. 1045. Ἰωάννου, Ἰδοὺ, ἐνίκησεν ὁ λέων, φησὶ, ὁ ἐκ φυλῆς Ἰούδα, καὶ ἐκ σπέρματος Δαβὶδ, λέοντι ἄρα παρεικασμένου τοῦ κυρίου, οὐχὶ κατὰ

6. ἐπᾶραι *corrigendum esse viderunt Cornarius (vertens* et os tollere) *et Petavius. Libri vulgo* ἐπάραι. *Etiam in marg. exempli Schottiani legitur emendatum* ἐπᾶραι, *addito siglo M.*

Cap. XII. — 1. *Scribendum* γοργότατον, *id quod margo exempli Schottiani (siglo M. addito) suadet.*
2. κετοῦς *cod. Rhedig.*
3. τω *cod. Ien.* τῷ *cod. Rhedig. et*

immortalem perseverasse definio, aut utrum mortua sit confirmare possum. Quippe scriptura sacra mentis humanae captum praetergressa rem in incerto reliquit, propter vas illud eximium ac praestans, ne quis carnis propriam ullam ei foeditatem adscribat. Sive igitur mortua sit, nescimus, sive consepulta sit, non tamen ullam est coniunctionem corporis experta; absit ut illud existimemus. Quis est autem qui furorem sibi et insaniam asciscens tantam beatae virgini contumeliam velit imponere, et os suum adversus illam attollere, laxare linguam, ad pestiferam illam pronuntiandam sententiam labra diducere? pro laudibus, ac praeconiis probra contumeliasque comminisci? sacrosanctae insultare virgini? vas illud denique omni honore dignum nullo honore prorsus afficere?

Quod si et aliunde rationes transferre liceat, quid rerum na- Cap. XII.
Quocirca cum otium nacti simus, post enixas ad deum preces, ut disputatione brevem, sic maiorum traditione certam veritatis defensionem deinceps instituemus. Quae quidem non tempore posterior, imo vero prior omnibus extitit; nosque de ea ante haereses omnes, cum de Christi incarnatione dissereremus, mentionem initio fecimus. Eadem porro nunc cum omnes antecedit, tum Christo domino post eius incarnationem, velut sponsa quaedam sanctissima coniuncta est. Quae et olim cum Adamo formata, et in illis qui Abraamum praecesserunt praedicata patribus, et post Abraamum fidem merita, et per Moysem patefacta, et apud Isaiam praedicta, et in Christo demonstrata, cum eoque simul existens, posteriore a nobis loco commendabitur. Nam athletam oportet primum omnium in certamine ac labore ceterisque generibus exerceri, ut postea coronam auferens in laetitia ac voluptate degat. In quo quidem corona ipsa non postrema omnium est, sed luctae ac certamini proposita postremo ei qui in arenam descenderit, ad voluptatem delectationemque tribuitur. Quae cum ita se habeant, ad institutum sermonem redeamus, idque demonstremus ipsum, quomodo cum octoginta pellices sint ac sexaginta reginae, unica virgo sit, et casta, eademque sponsa, columba, agna, sancta dei civitas, fides, *ac firmamentum veritatis, firma petra, contra quam portae inferi non praevalebunt.* Nam huc usque divina, quam imploravimus, ope ac praesidio freti hoc assecuti sumus ut susceptam a nobis de omnibus haeresibus disputationem absolveremus; quam ad Massalianorum haeresin usque perduximus. Hac itaque velut quodam evangelii calceo proculcata, perinde ac chamaeleonte multipede, turpi ac deformi, et graviter olente, ob haec omnia dei gratias agamus, ac patrem in filio, filium in patre cum sancto spiritu celebremus in saecula saeculorum, Amen.

Cap. XI.

1. Timoth. 3, 15. Matth. 16, 18.

4. παρέλθομεν *codd. mss. et edit. princ.*
5. οὐ κατισχύσουσιν *cod. Rhedig.* οὐκ ἀτισχύσουσιν *cod. Ien.* οὐκ ἀντισχύσουσιν *editi libri.*
6. ὑποδήγματι *cod. Rhedig.*
7. *Subscriptio in codd. mss. est* Τέλος τὰ κατὰ μασσαλιανῶν (σαμαλιανῶν *cod. Ien.*) δόγματα.

pag. 1078.

Σύντομος ἀληθὴς λόγος περὶ Πίστεως Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας.

Κεφ. α'. *Τὰ μὲν πολυειδῆ καὶ πολύτροπα καὶ πολυσχεδῆ τῶν σκολιῶν [1]βουλευμάτων τῶν ἐναντίων διαλαβόντες προπετῆ διδάγματα, καὶ πρὸς εἶδος καὶ γένος διελόντες, φροῦδα καὶ ἕωλα δυνάμει θεοῦ διηλέγξαμεν, τόν τε ἄπειρον τὸν ἀπὸ ἑκάστης αἱρέσεως βλασφημιῶν καὶ αἰσχρολογιῶν καὶ ἀηδεστάτων αὐτῶν μυστηρίων κλύδωνα διανηξάμενοι, μάλα μόλις τῶν ζητημάτων πάντη [2]ἐπιλυσάμενοι, καὶ τὴν τούτων μοχθηρίαν ὑπερβεβηκότες, τοῖς τῆς ἀληθείας γαληνίοις ἐπλησιάσαμεν χωρίοις, πάντα μὲν τόπον δυςθάλαττον διαπεράσαντες, καὶ πᾶσαν ζάλην καὶ ἀφρισμὸν καὶ κυμάτων [3]κύρτασιν ὑπομεμενηκότες, σάλον δὲ, ὡς εἰπεῖν, καὶ ἴλιγγας, βράχη τε οὐ τὰ τυχόντα, καὶ θηριοβόλους τόπους θεασάμενοι, ἐν πείρᾳ τε τούτων διὰ τῶν λόγων γεγενημένοι, τὸν τῆς εἰρήνης λιμένα νυνὶ θεώμενοι, εἰς ὃν καταῖραι σπεύδοντες, δι' εὐχῆς πάλιν τὸν κύριον ἀξιοῦμεν· ἤδη μὲν παντὸς φόβου καὶ θορύβου καὶ ναυτιάσεως [4]ὑπολωφῶντες, ἕξει δὲ καλλίστῃ [5]τὰς [6]ἀπὸ τῆς στερεᾶς [7]αὔρας ἐμπνεόμενοι, καὶ ἀσφαλείας, καὶ τοῦ τε εὐδίου λιμένος, ἐνισχυόμενοι τῷ πνεύματι ἤδη γεγήθαμεν, πολλὰ μὲν, εἰ δεῖ τἀληθῆ λέγειν, μοχθηρὰ ἐπὶ τούτοις καὶ ὕβρεις οὐ τὰς τυχούσας ὑποστάντες, καὶ γῆν καὶ θάλατταν, ὡς εἰπεῖν, πεζεύσαντές τε καὶ ποντοπορήσαντες, τῆς μὲν γῆς τὰ τραχῆ, καὶ τῆς ἐρήμου τὰς δυςχωρίας, καὶ τῶν προειρημένων πελαγῶν τοὺς κινδύνους, ὁμοῦ τε πόλιν ὁρῶντες, ἐπ' αὐτὴν σπεύσωμεν, τὴν ἁγίαν Ἱερουσαλὴμ, καὶ τὴν παρθένον Χριστοῦ, καὶ νύμφην, ἀσφαλῆ τε βάσιν, καὶ πέτραν, σεμνήν τε μητέρα ἡμῶν, Χριστοῦ νύμφην, εὐκαιρότατα καὶ αὐτοὶ λέγοντες, Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰάκωβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ τὰ ἑξῆς.*

Κεφ. β'. pag. 1079. *Ἄγε τοίνυν οἱ Χριστοῦ παῖδες, υἱοὶ τῆς ἁγίας θεοῦ ἐκκλησίας, οἱ τόδε τὸ σύνταγμα τῶν ὀγδοήκοντα αἱρέσεων ἡμέρως αὐτὸ διερχόμενοι, καὶ σὺν ἐμοὶ τὸν τοιοῦτον ὄγκον τῶν προειρημένων μοχθηρῶν διδασκαλιῶν διανηξάμενοι, διαπεζεύσαντές τε τὴν τοσαύτην ἔρημον, φοβεράν τε, καὶ ἐν δίψει κατατεταγμένην, ἐπικαλεσώμεθα τὸν τῶν*

Cap. I. — 1. βουλεύματα *cod. Ien. et ed. princ. In cod. Rhedig. eadem manus restituit* βουλεύματα *ex* βουλευμάτων.

2. *Cornarius transtulit* vix tandem a quaestionibus undiquaque extricati.

3. κύρτασιν *codd. mss. et edit. princ.* κύρτωσιν *edit. Petav. Similiter haec coniunxit haer.* 69, 79. ἄγριά τε κυμάτων κυρτώματα, ἀφρισμοὺς δὲ (*repone* τε) καὶ σάλους δεινούς.

Brevis ac vera Catholicae et Apostolicae Ecclesiae Fidei Expositio.

Posteaquam varia ac multiplicia e pravis exorta consiliis, ac temeraria inimicorum dogmata disputatione nostra complexi sumus, et per formas generaque distribuentes quam cassa et inania forent dei virtute patefecimus, tum vero ex immensis illis uniuscuiusque sectae contumeliarum in deum ac vocum turpissimarum acerbissimorumque mysteriorum fluctibus enatavimus, cumque omnibus quaestionum nodis aegre dissolutis, et illorum improbitate superata, ad tranquillam veritatis stationem appulerimus, difficili ac tempestuoso omni loco transmisso et procellis ac spumosis undarum vorticibus defuncti, ubi iactationem ac vertiginem experti saepius, tum brevia vadosaque et infesta beluis loca quamplurima prospeximus, quae quidem iis in disputationibus commentariisque periclitati sumus, cum postremo pacis portum eminus intueamur, ad eum navem applicare cupientes divini numinis opem rursus implorabimus. Ac metu quidem omni et trepidatione nauseaque cessante, optimo in statu positi, iucundissimoque certioris aurae ac securitatis afflatu perfruentes, tranquillum iam in portum subducti spiritu animoque gestimus. Etenim iis in omnibus, si verum fateri volumus, pluribus incommodis et maximis iniuriis conflictati ac terrestri maritimoque itinere confecto, quorum in illo impeditas ac difficiles salebras et solitudinis asperitates, in hoc varia pericula fuimus emensi, cum iam civitatem prospiciamus, ad ipsam properemus sanctam Hierusalem, Christi virginem ac sponsam, basin et petram solidissimam, venerandamque matrem nostram et eandem Christi sponsam. In quo opportune istud usurpare possumus, *Venite, ascendamus ad montem domini, et ad domum dei Iacob, et annuntiabit nobis viam suam* etc. (Cap. I.; Esai. 2, 3.)

Agite itaque Christi filii ac sanctae dei ecclesiae liberi, qui hoc nostrum de LXXX haeresibus opus benigne percurristis, quique mecum altissimum illum pravorum dogmatum, quae hucusque percensuimus, gurgitem tranastis, ac vastam et formidabilem siticulosamque solitudinem peragrastis, rerum omnium dominum implore- (Cap. II.)

4. ὑπελωφῶντες *cod. Rhedig.*

5. *Ineptiit Petavius voculam* τὰς *uncinis includens, tanquam delendam iudicaret.*

6. πρὸ *pro* ἀπὸ *mendose legitur in edit. Petav. Colon. repet.*

7. *Vulgo libri* ἄβρας. *Quam recepi scripturam* αὔρας, *ea Petavio debetur. Verte* securitatis ex terra firma auris afflati.

ὅλων κύριον, πάλαι μὲν ἐν ἐπιθυμίᾳ τούτου ὄντες, καὶ [1] καθ' ἕκαστον τόπον τῶν αἱρέσεων τούτων, ὥσπερ ἐν Μερρᾷ τόπῳ, καὶ ἐν δίψει τῆς φοβερᾶς ἀβάτου ἐρήμου, ἀεὶ συναντῶντες τοῖς σκολιοῖς αὐτῶν λόγοις, ἐπιφωνήσωμεν καὶ αὐτοὶ, Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ θεός· καὶ πάλιν, Πότε ἔλθω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ; Διὰ τοῦτο τάχιον καὶ αὐτοὶ ἐπικαλεσώμεθα, οὐχ ὡς ἐκεῖνος ἐκάλει τὴν νύμφην, νυμφίος αὐτῆς τυγχάνων, καὶ κύριος, καὶ δεσπότης, καὶ βασιλεὺς, καὶ θεὸς, καὶ ὑπέρμαχος, ἀλλ' ὡς δοῦλοι αὐτοῦ ἡμεῖς ἐπικαλεσώμεθα, συνῳδὰ τῷ αὐτῷ καὶ αὐτοὶ λέγοντες, Δεῦρο ἀπὸ Λιβάνου νύμφη, ὅτι ὅλη καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί· ὁ παράδεισος τοῦ μεγάλου τεχνίτου, ἡ πόλις τοῦ ἁγίου βασιλέως, ἡ νύμφη τοῦ ἀσπίλου Χριστοῦ, ἡ παρθένος ἡ ἁγνὴ, μόνῳ ἑνὶ ἀνδρὶ ἐν πίστει μεμνηστευμένη, ἡ διαφανὴς, καὶ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ὡς ἥλιος ἐκλεκτὴ, θάμβος ὡς τεταγμένη, ἡ μακαριζομένη ἀπὸ τῶν βασιλίδων, καὶ ἐξυμνουμένη ὑπὸ τῶν παλλακίδων, ἡ ὑπὸ τῶν θυγατέρων ἐπαινουμένη, καὶ ἀπὸ τῆς ἐρήμου ἀνερχομένη, καὶ λελευκανθισμένη, καὶ ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς ἐπιστηριζομένη, ἡ μύρων πνέουσα, ἣ ἀπὸ τῆς ἐρήμου ἀνερχομένη, ὡς στελέχη καπνοῦ τεθυμιαμένη, σμύρναν καὶ λίβανον ἀπὸ κονιορτῶν μυρεψοῦ, τοῦ δεδωκότος ἑαυτοῦ τὴν εὐοδμίαν· ὃν προορῶσα ἔλεγε, Μύρον ἐκκενωθὲν ὄνομά σοι· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε· ἡ ἑστηκυῖα ἐκ δεξιῶν τοῦ βασιλέως, ἐνδεδυμένη κροσσωτὰ, διαχρύσοις πεποικιλμένη, ἡ μηδὲν σκοτεινὸν ἔχουσα, ποτὲ δὲ μεμελανωμένη, νυνὶ δὲ καλὴ καὶ λευκανθισμένη, ἵνα ἐν σοὶ γενόμενοι λωφήσωμεν τῶν προδιελθόντων ἡμᾶς στυγερῶν τῶν αἱρέσεων πραγμάτων, καὶ ἡσυχάσωμεν ἀπὸ σάλων τῆς τῶν αὐτῶν τρικυμίας, καὶ ἀναψύξωμεν ἐν σοὶ, ἁγία μήτηρ ἡμῶν ἐκκλησία, καὶ ἐν τῇ ἁγίᾳ ἐν σοὶ
pag. 1080. διδασκαλίᾳ, καὶ ἁγίᾳ καὶ μόνῃ πίστει θεοῦ ἐν ἀληθείᾳ. Ἀλλὰ ἄρξομαι περὶ ταύτης τῆς ἁγίας πόλεως θεοῦ τὰ θαυμαστὰ διηγεῖσθαι. Τὰ γὰρ δεδοξασμένα ἐλαλήθη περὶ αὐτῆς, ὥς φησι ὁ προφήτης, Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ, ἀνθρώποις μὲν πᾶσιν ἀνέφικτα, ἀπίστοις δὲ ἀλλότρια, πιστοῖς δὲ ἀνθρώποις καὶ ἀληθινοῖς ἐν μέρει, ἐν ὑποσχέσει δὲ τελειώσεως, [2] ὡς παρὰ τοῦ αὐτῶν δεσπότου παρασχεθησόμενα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅπου αὐτὴ ἡ ἁγία παρθένος καὶ κληρονόμος σὺν τῷ ἰδίῳ νυμφίῳ ἐν οὐρανῷ ἔσχε τὸν κλῆρον καὶ τὴν κληρονομίαν.

Κεφ. γ'. Καὶ πρῶτον μὲν, ὅτι ὁ θεὸς ὁ ἐπὶ πάντων ἡμῖν θεὸς ὑπάρχει τοῖς ἐκ τῆς ἁγίας ταύτης ἐκκλησίας γεννηθεῖσιν· ἀπόδειξις γὰρ [1] αὐτὴ πρώτη περὶ [2] ἀληθείας καὶ ἑδραίωμα πίστεως τῆς μόνης ταύτης παρ-

Cap. II. — 1. καθέκαστον τόπον *codd. mss. uterque.* καθέκαστον τόπων *editi libri.* 2. *Spurium iudicasse videtur hoc* ὡς, *quod uncinis inclusit, Petavius.*

Cap. III. — 1. *Scribendum* αὕτη, *ni*

mus. Quod quidem iamdudum in votis habuimus, cum in quolibet
sectarum istiusmodi loco, sic tanquam in Marrha, et in formidolosa Exod. 15.
ac squallida et inaccessa solitudine, in obliquos ac tortuosos illorum
sermones incurreremus. Nunc illud iure nostro pronuntiemus,
Quemadmodum desiderat cervus ad fontes aquarum, ita desiderat anima Psalm 42, 1.
mea ad te, deus; item, *Quando veniam, et apparebo ante faciem dei?*
Quin et nos eiusdem scripturae verbis sponsam vocemus, non ut ille
ipsius sponsus ac dominus, rex, deus, et protector, sed ut eius
servi iisdem quibus ipse verbis illam appellemus, *Veni de Libano* Cant. 4, 8.
sponsa, quoniam tota pulchra es, et macula non est in te: Paradise
summi artificis, sancti regis civitas, puri illibatique Christi sponsa,
castissima virgo, uni ac singulari viro desponsa per fidem, splen-
dida et *diluculi instar emergens, pulchra ut luna, electa ut sol, terri-* Cant. 6, 9.
bilis ut castrorum acies ordinata, quam *reginae beatam praedicant*, et
pellices celebrant, et puellae collaudant, *quae ascendis e deserto,* Cant. 3, 6.
splendidissimo candore collucens, et *innixa patrueli; quae unguento-*
rum fragrantiam redoles, quae ascendis e deserto, tanquam virgula fumi
ex myrrhae turisque suffitu, atque ex aromatarii pulvisculo, qui suavis-
simum odorem exhalavit. Quem illa praevidens dicebat, *Unguentum* Cant. 1, 2.
effusum nomen tuum: propterea et adolescentulae dilexerunt te: quae ad Psalm.
dexteram regis assistis, fimbriatis induta vestibus et intextis auro, va- 44, 14.
riisque perpolita, quae tenebricosum nihil habes, aut obscurum, *quae* Cant. 1, 5.
nigrore quondam infecta, pulchra nunc es, et candida: ut cum ad te
pervenerimus a tristissimis illis haereseon molestiis, quas hactenus
obivimus, aliquando cessemus, et a tempestatum decumanorumque,
qui illic sunt, fluctuum iactatione conquiescentes in te, sancta mater
ecclesia, et in sancta doctrina tua ac sancta pariter, solaque dei
fide et veritate respiremus. Sed quae in hac ipsa sanctissima dei
civitate admiratione digna sunt narrare iam aggrediar. Gloriosa
enim de illa dicta sunt, ut propheta loquitur, *Gloriosa dicta sunt de* Psalm. 86, 3.
te, civitas dei! Quae sunt eiusmodi ut cum nemo ea mortalium pe-
nitus assequi possit, tum ab infidelibus aliena, fidelibus ac veritatis
studiosis ex parte liceat attingere, ostensa iisdem interim promissa-
que illorum perfecta possessione, quam in coelesti regno ipsorum
dominus exhibebit, ubi sancta illa virgo et heres cum sponso suo
hereditatem ac patrimonium obtinuit.

Principio tenendum illud est, moderatorem omnium deum ad Cap. III.
nos pertinere proprie, qui e sancta illa sumus ecclesia geniti.
Haec est enim omnium in tradenda veritate primo demonstratio, et

fallor, et ita verterunt Cornarius atque Petavius.

2. ἀληθείας (ἀληθ cod. Ien.) *codd. Ien. et Rhedig.* ἀλήθειαν *editi.*

θένου, καὶ ἁγίας περιστερᾶς, καὶ ἀκάκου· περὶ ἧς ὁ κύριος ἐν πνεύματι τῷ Σαλομῶντι ἀπεκάλυπτεν ἐν Ἄισματι τῶν ᾀσμάτων, καὶ ἔλεγεν, Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶ περιστερά μου, τελεία μου, μετὰ προςθήκης [3] τὸ Μοῦ, καὶ Μοῦ. Αὐτοῦ γὰρ περιστερὰ, καὶ αὐτοῦ τελεία· ὡς τῶν ἄλλων λεγομένων, καὶ μὴ οὐσῶν, αὐτῆς δὲ διττῆς ὀνομαζομένης. Ἐπὶ γὰρ ταῖς ἄλλαις οὐκ εἶπεν, ὀγδοήκοντά εἰσι παλλακαί μου, ἀλλὰ ταῖς μὲν βασιλίσσαις διὰ τῆς ἐνδόξου ὀνομασίας τὴν συνάφειαν τῆς τιμῆς ἀπένειμεν· ἐπὶ δὲ ταῖς παλλακαῖς τὸ ἀλλότριον τέλεον ἀπεφήνατο. Ὧν τοὺς ἀριθμοὺς εἰς ὄνομα λαμβάνοντες, κατὰ τὴν ἀναγωγὴν τῆς θεωρίας ἐπεργάσασθαι ἐν τῷ τόπῳ ἀναγκαζόμεθα, διὰ τὸ μὴ ὑπερβαίνειν, ὅτι ψυχρολογοῦντες, ἀλλ' ἐν ἀληθείᾳ λόγους διὰ τῶν ἀληθινῶν γραφῶν ταῖς ἀληθιναῖς θεωρίαις ἀντεξετάζοντες. Ὅτι μὲν γὰρ καὶ ὁ ἀριθμὸς γεγραμμένος ἀπαράβατός ἐστιν ἑκάστης ὑποθέσεως, καὶ οὔτε δύναται τὸ ἐν ἀριθμῷ κατατεταγμένον ἕωλόν τι εἶναι, οὔτε εἰς ἀργότητα ἐν τῇ γραφῇ ἐπιμετρεῖσθαι. Βασίλισσαι δέ εἰσιν αἱ ἤδη πρότερον εἰς γενεαλογίαν ὠνομασμέναι ψυχαί. Ὡς γὰρ βασιλεῖ συνέπονται πλήθη πολλὰ, τοῦ δὲ βασιλέως κεφαλῆς οὔσης, ὥςπερ ἐπὶ σώματος πολλῶν μελῶν ὄντων, ἀπὸ τῆς κεφαλῆς ὁ εἷς ἄν-
pag. 1081. θρωπος ἀριθμηθήσεται, οὕτως ἀπὸ τοῦ ἑνὸς βασιλέως τὸ πᾶν πλῆθος, τὸ ὑπὸ τὸν βασιλέα, εἰς ἕνα ἀναλογισθήσεται.

Κεφ. δ'. Βασίλισσα τοίνυν ἡ γενεὰ ἐν Χριστῷ κέκληται· οὐ τῆς πάσης γενεᾶς βασιλευσάσης, ἀλλὰ τῆς μιᾶς τῆς ἐπιγνούσης τὸν κύριον δι' ὀνομασίας τοῦ ἀνδρὸς [1] αἰτία τὸ βασιλικὸν ἀξίωμα καὶ τάξιν [2] φερομένης, ὡς οἷον εἰπεῖν, Ἀδὰμ καὶ πᾶσα αὐτοῦ γενεὰ, βασίλισσα αὕτη ἀριθμηθήσεται, ἥ τε αὐτοῦ ἀρχὴ καὶ ἡ πατριαρχία βασιλεύσασαι μετὰ τῶν μετ' αὐτοῦ διὰ τὴν πρὸς τὸν θεὸν γνῶσιν καὶ ἣν κατηξίωται πρώτην πλάσιν πλασθῆναι, καὶ ὡς μετάνοιαν πρῶτος ἐνεδείξατο, ὡς ἔχει ἡ ἀκολουθία. Εἶτα μετὰ τοῦτον Σὴθ, καὶ ἡ πᾶσα μετ' αὐτοῦ ἀνθρωπότης, καὶ Ἐνὼς, καὶ Καϊνᾶν, καὶ Μαλελεὴλ, καὶ Ἰάρεδ, καὶ Ἐνὼχ, καὶ Μαθουσάλα, καὶ Λαμὲχ, καὶ Νῶε· τούτων τῶν ἁγίων τῶν καταλογάδην ἐν ἀριθμῷ κατὰ γενεὰν καταριθμηθέντων, ὧν ὁ ἀριθμὸς παρὰ Ματθαίῳ δείκνυται. Ἑξήκοντα γὰρ καὶ δύο γενεαί τε καὶ πατριαρχίαι παρ' αὐτῷ ἐμφέρονται διὰ τῶν ὀνομάτων τῶν ἐντελεστέρων ἀνδρῶν, πρὸς τὸν θεὸν τὴν γνῶσιν ἐσχηκότων, ἢ δι' ἑτέραν τινὰ ἀριστείαν τὴν βασιλικήν τε δόξαν καὶ ἐμβρίθειαν μετεσχηκότων· [3] ὁ κατάλογος

3. *Scribendum* τοῦ, *nisi fallor.*

Cap. IV. — 1. αἰτία *recte suspectum habuit Petavius, qui id vocabulum uncinis damnavit. Corrigendum videtur* αὐτὸ *vel* αὐτῆς.

2. φερομένης *emendavit Petavius.* φερομένου *editi cum cod. Ien.* φερομένην *cod. Paris., teste Petavio.* φερουμένην *an*

unicae virginis illius ac sanctissimae et innocentis columbae fidei firmamentum; de qua dominus sancti spiritus afflatu per Salomonem haec in Canticorum Cantico significavit: *Sexaginta sunt reginae, et octoginta pellices, et adolescentulae quarum nullus est numerus: una est columba mea, perfecta mea.* Ubi bis illa repetita vocabula *mea* et *mea.* Huius enim columba, huius est illa perfecta, ut ceterae appellentur ita quidem, minime tamen sint, ipsa vero eo nomine dupliciter insignita sit. Quare cum de aliis loqueretur, non dixit, Octoginta sunt pellices meae, verum reginis eximia illa appellatione proximum quendam honorem attribuit, pellices vero prorsus alienas esse declaravit. Amborum porro numerum cum nominatim habeamus expressum, contemplatione nostra altiorem ad sensum evecta nonnihil expolire istud hoc loco cogimur, ut ne tanquam frigidum ineptumque praetereamus, sed quae dicuntur, ex rei veritate ac verarum auctoritate scripturarum vera animi contemplatione perpendamus. Etenim ubicumque numerus concipitur, oscitanter praetermitti non debet, neque quod ita comprehenditur, vanum quiddam et inane videri aut otiosum existimari. Reginae porro sunt quae iam antea stirpis in serie numeratae sunt animae. Ut enim regem innumera multitudo comitatur, cumque rex capitis instar sit, perinde atque in corpore, cum plura membra sint, capite ipso censeri unus homo numerarique solet, sic ab uno rege multitudo omnis subiecta regi ad eundem illum referetur. Cant. 6, 7.

Quamobrem reginae nomine generatio in Christo continetur; non quod omnis generatio regnaverit, sed quod una duntaxat domini cognitione praedita ex viri unius appellatione regiam dignitatem sit ordinemque consecuta. Exempli gratia Adamus cum tota progenie regina una censebitur, illiusque principatus, et ab eo deductum stirpis initium, penes quos regia dignitas extitit, cum iis qui cum illo coniunguntur propter dei cognitionem, quodque primus omnium a deo fingi formarique meruerit, tum quod poenitentiae primus exemplum dederit, ut ex eius historia constat. Post Adamum Sethus, et universi ad eum adscripti mortales. Item Enos, Caïnan, Maleleel, Iared, Enoch, Mathusala, Lamech, Noë. Horum omnium sanctorum virorum, qui singillatim per generationes recensentur, quorumque numerus apud Matthaeum initus est, a quo LXII generationes ac patrum origines praestantiorum virorum nominibus expressae sunt, qui dei notitiam adepti sunt, aut quod in aliqua alia re insigniter atque eximie sese gesserunt, regium et splendorem et Cap. IV. Matth. 1.

φερουμένων *habeat cod. Rhedig. dignoscere non potui.*

3. *Fortasse* ὧν ὁ κατάλογος.

τοῦ ἀριθμοῦ ἐμφέρεται ἄχρι τῆς τοῦ Χριστοῦ παρουσίας. Καὶ γὰρ γενεαὶ παρεληλύθασιν ἀπὸ Ἀδὰμ ἕως τοῦ Νῶε δέκα, καὶ ἀπὸ τοῦ Νῶε ἄχρι τοῦ Ἀβραὰμ ἄλλαι δέκα, ἀπὸ δὲ τοῦ Ἀβραὰμ ἄχρι Δαβὶδ γενεαὶ ιδʹ, ἀπὸ δὲ Δαβὶδ ἕως τῆς αἰχμαλωσίας γενεαὶ ιδʹ, καὶ ἀπὸ τῆς αἰχμαλωσίας ἕως τοῦ Χριστοῦ γενεαὶ ιδʹ, ὡς εἶναι ἀπὸ τοῦ Ἀδὰμ ἄχρι Χριστοῦ ἑξήκοντα δύο γενεάς. Αἵτινες ἑξήκοντα διὰ τὴν συντομίαν ἠρίθμηνται. Καὶ γὰρ ἐν τῇ ἐρήμῳ ἑβδομηκονταδύο στελέχων φοινικῶν ὑπαρχόντων, ἑβδομήκοντα ἡ γραφὴ ὠνόμασε. Καὶ εἰς τὸ ὄρος προςκεκλημένων ἑβδομήκοντα, ἑβδομήκοντα δύο εὑρίσκονται σὺν τῷ Ἐλὰδ, καὶ Μωδάδ. Καὶ ἑβδομήκοντα δύο [4] ἑρμηνεύσαντας ἐπὶ Πτολεμαίου, διὰ δὲ τὴν συντομίαν εἰώθαμεν λέγειν τῶν ἑβδομήκοντα τὴν ἑρμηνείαν. Οὕτω καὶ νῦν ἑξήκοντα βασίλισσαι, οἶμαι, εἴρηνται, ἐξαιρουμένου τοῦ τε ἄνωθεν ἀριθμοῦ καὶ τοῦ κάτωθεν διὰ τὸ μεσαίτατον
pag. 1082. τῶν ἑξήκοντα πρὸς τύπους καὶ ἀναγωγὴν τῆς τελείας θεωρίας· ἐπειδὴ γὰρ δι' ἓξ δεκάδων τὴν τῆς ἑξαημέρου πληροῦσθαι περίοδον συμβαίνει, [5] εἰς τὸ συνάπτεσθαι ἀπὸ ἑκάστης γενεᾶς ὁσίων ψυχῶν ἐν θεῷ βασιλευουσῶν κατὰ τὴν πίστιν. Ἔνθεν γὰρ καὶ ἓξ ὑδρίαι εὑρίσκονται ἐν Κανᾷ τῆς Γαλιλαίας λίθιναι, αἵτινες λείψασαι πάλιν ἐπληροῦντο, χωρήσασαι ἐν αὐταῖς ἀνὰ μετρητὰς δύο ἢ τρεῖς, περὶ τοῦ μέτρου τῆς παλαιᾶς καὶ νέας διαθήκης καὶ τριάδος τοῦ πληρώματος· αἵτινες ἀπὸ τοῦ ὕδατος εἰς οἶνον ἄκρατον μεταβέβληνται, πληρωθεῖσαι εἰς εὐφρασίαν γάμων καὶ υἱῶν τῶν ἀνθρώπων. Ἔνθεν γὰρ τὸ ἑξαγωνιαῖον καλεῖται παρὰ τοῖς ἔξωθεν λόγοις διὰ τριάδος καὶ ἑβδομάδος εἰς εἰκοσιένα ἀριθμὸν γεωμετρούμενον, οὗ ἑξαγωνιαίου σημασία ἐστὶ πληρώσεως τοῦ παντὸς ὁρωμένου κύτους, διὰ τὸ τετραχῇ ἔχειν, ὡς εἰπεῖν, τὸ τετραγώνιον, ὑποβάθραν τε καὶ τὴν ἄνωθεν τῆς ὀροφώσεως σκέπην ἕκτον ἀριθμὸν τελεῖν.

Κεφ. εʹ. Ἀλλ' ἵνα μὴ εἰς πλάτος μηκύνω τὸν λόγον, πάλιν ἱκανῶς ἔχειν νομίζω περὶ τῶν ἑξήκοντα βασιλισσῶν ἕως τῆς τοῦ Χριστοῦ παρουσίας γενεῶν ἀριθμηθεισῶν τὰ εἰρημένα· μετὰ δὲ τὸν Χριστὸν καὶ δεῦρο τυγχανουσῶν λοιπὸν γενεῶν καθὼς αὐτῷ τῷ κυρίῳ [1] μόνῳ ἔγνωσται. Οὐκέτι γὰρ κατὰ γενεὰν οἱ ἀριθμοὶ παρά τισιν ἀνηνέχθησαν, ἢ κατετάχθησαν, διὰ τὸ ἐπισφραγίσθαι τὸν ἀριθμὸν τῆς τοιαύτης ὑποθέσεως, καὶ ἀποκεκλεῖσθαι διὰ τοῦ τῶν βασιλισσῶν ἀριθμοῦ ἕως αὐτοῦ τῆς ἐνσάρκου παρουσίας ἠριθμημένου. Λοιπὸν γὰρ οἱ μετέπειτα συγγραφεῖς, ἢ λογογράφοι, ἢ χρονογράφοι, ἢ [2] ἱστοριογράφοι, οὐκέτι γενεὰς ἀριθμοῦσιν, ἀλλ' ἢ βασιλέων τὰς διαδοχὰς καὶ χρόνους κατὰ τὸν τῶν ἐτῶν ἀριθμὸν ἑκάστου βασιλέως. Ὥστ' ἐξάπαντος εὖ μάλα τὸν συνε-

4. ἑρμηνεύσαντας *codd. Ien. Rhedig. princip.* ἑρμηνεύσαντες *suspicatus est Petavius, non videns accusativum* ἑρμηνεύ- *Paris.* ἑρμηνεύσανται *vitium est edit.*

maiestatem obtinuerunt, horum, inquam, catalogus ad usque Christi domini natalem pertexitur. Nam ab Adamo ad Noëmum usque generationes praeteriere decem. Totidem a Noëmo ad Abraamum. Ab hoc ad Davidem XIV. A Davide ad captivitatem XIV. Hinc ad Christum similiter XIV. Colliguntur ab Adamo usque ad Christum generationes LXII, quae brevitatis gratia LX solummodo numerantur. Nam et in solitudine cum LXXII palmarum caudices Exod. 15, 27. forent, LXX tantum scriptura memoravit. Ita cum ad montem Num. 11, 27. LXX vocati fuissent, accedentibus Elad et Modad LXXII sunt reperti. Praeterea cum LXXII Ptolemaeo regnante sacros libros interpretati sint, nos tamen compendii gratia LXX virorum editionem nominare consuevimus. Sic et LXX modo reginae mea quidem sententia commemoratae sunt, ut extremis utrimque sublatis medius ille sexagenarius ad figuram et imaginem ac perfectam contemplationem evehendam superesset. Senis quippe decadibus sex dierum circuitus absolvitur, ut sanctarum animarum, quae ex fide in deo regnant, fiat ex qualibet generatione coniunctio. Unde et sex hy- Ioann. 2. driae Canae in Galilaea lapideae fuisse dicuntur, quae cum essent exhaustae, rursus implentur, singulae metretas duas tresve capientes, qui modus ad vetus novumque testamentum et trinitatis complementum refertur. Eaedem porro hydriae ex aqua in merum vinum conversae sunt, cum ad nuptiarum hilaritatem et filiorum hominum oblectationem impletae fuissent. Hinc etiam sexangula a mathematicis figura nominatur, quae per ternarium septenariumque ad XXI. geometrica modulatione perducitur. Qua quidem hexagonus totius universitatis impletam vastitatem significat. Nam qui in eo est quadrangulus quaternarium numerum, basis vero ac superior pars, sive fastigium, senarium perficiunt.

Sed ne longior sim, satis hactenus de reginis illis LX dictum Cap. V. arbitror, hoc est generationibus quae ad Christum usque numerantur. Post Christum vero ad hoc tempus quot generationes deinceps successerint solus novit dominus. Non enim amplius per generationes temporum est ab ullo deducta digestaque series, pro eo quod numerus iste per illam ipsam reginarum enumerationem, quae ad Christum dominum recensentur, velut obsignatus ac conclusus est. Nam qui postmodum extitere scriptores ac commentatores aut chronologi vel historici nullas amplius generationes numerant, sed regum successiones ac tempora, quorum singillatim annos describunt. Ex

σαντας, *quamvis interposita particula* δὲ, *ad* λέγειν *verbum una esse adstruendum.*

5. „Haec leviter depravata“ *in margine adscripsit Petavius.*

Cap. V. — 1. ἔγνωσται μόνῳ *cod. Rhedig.*

2. *Libri vulgo* ἱστορογράφοι.

τὸν γινώσκειν ὅτι καὶ ἀπὸ τούτου τοῦ ζητήματος τὸ πᾶν τοῦ χρόνου συνετμήθη εἰς τὸν τῶν ξβʹ γενεῶν ἕως Χριστοῦ ἀριθμὸν, διὰ τὸ μηκέτι μετὰ Χριστὸν κατὰ τὴν ὑπόθεσιν ταύτην διὰ γενεαλογιῶν τοὺς τοῦ κόσμου χρόνους ἀριθμεῖσθαι, τελειουμένου ἐν μιᾷ συνενώσει [3] τε σημαινομένῃ κατὰ τὸ τῆς εὐδοκίας θεοῦ ἀμετάστατον ἔρεισμα· ὡς ἀπὸ τῆς αὐτῆς τὴν τοῦ αἰῶνος συντέλειαν συντεμνομένην [4] καὶ ἐπὶ τὸ μεταβατικὸν
pag. 1083. τοῦ μέλλοντος αἰῶνος πληρουμένην. Διὸ λέγει, Μία ἐστι περιστερά μου, τελεία μου, ὡς ἕως αὐτῆς τῶν πάντων τελειουμένων, κἄν τε χρόνοι καὶ καιροὶ ἐνιαυτοί τε καὶ διαστήματα γενεῶν, κατά τε βασιλέας, ἢ ὑπάτους, ἢ Ὀλυμπιάδας, ἢ ἡγεμονίας, ὁ αἰὼν ἑαυτὸν ἀριθμήσειεν. Ὀγδοήκοντα δὲ παλλακαὶ, αἵτινες ἐν μέσῳ τῶν βασιλίδων καὶ πρὸ τῆς ἐνσάρκου βασιλείας, τουτέστι τῆς πίστεως, καὶ αὐτῆς ταύτης τῆς νύμφης καὶ παρθένου, καὶ ἀσπίλου τε καὶ περιστερᾶς, τῆς μόνης τῇ μητρὶ καὶ τῇ τεκούσῃ.

Κεφ. ςʹ. Ἐκκλησία γάρ ἐστιν ἀπὸ μιᾶς πίστεως γεγενημένη, τεχθεῖσα δὲ διὰ πνεύματος ἁγίου, μία τῇ μόνῃ, καὶ μίᾳ τῇ γεγεννηκυίᾳ. Καὶ ὅσαι μετὰ ταύτην ἦλθον, καὶ πρὸ αὐτῆς, παλλακίδες ὠνομασμέναι, αἵτινες τὸ πᾶν οὐκ ἀλλότριαι γεγένηνται διαθήκης καὶ κληρονομίας, μὴ πεπροικισμέναι δὲ ὑπὸ τοῦ λόγου, καὶ μὴ δεξάμεναι ὑποδοχὴν τοῦ ἁγίου πνεύματος, μόνον δὲ συνάφειαν ὑπὸ συνείδησιν πρὸς τὸν λόγον ἐσχηκυῖαι. Καλῶς γὰρ ὁ Ἑβραῖος τὴν παλλακίδα ἔφρασε, φήσας [1] αὐτὴν Φελεγέσθα. Φελὲγ, ὃ ἑρμηνεύεται ἥμισυ, Ἔσθα, γυνή· ἵνα εἴπῃ, Ἥμισυ γυναικός. [2] Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸν κύριον, πάντας κέκληκεν εἰς ἐλευθέριον φῶς, φήσας, Ὡς ἔχετε τὸ φῶς μεθ' ἑαυτῶν, ἐν φωτὶ περιπατεῖτε, καὶ ὁ ἅγιος ἀπόστολος λέγων, Ὑμεῖς δὲ ἡμέρας ἐστὲ τέκνα, καὶ τέκνα φωτός. Καὶ πάλιν ἐν τῇ θείᾳ γραφῇ, Ὁποιῶν τὰ φαῦλα μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. Οὕτω καὶ παλλακίδες, οὐκ ἐν τῷ προφανεῖ, οὐκ ἐν τῇ τελειώσει, οὐδὲ ἐν προικὶ ἄγονται τοῖς ἀνδράσιν, εἰ καὶ συνάφειαν σχοῖεν αἱ αὐταὶ πρὸς τὰ σώματα τῶν ἀνδρῶν, οὐ μέν τοί γε τὴν τῆς ἐλευθέρας γυναικὸς τιμὴν καὶ ὀνομασίαν καὶ βεβαίωσιν καὶ φερνὴν καὶ ἕδνα καὶ προικισμὸν καὶ γνησιότητα ἔχειν δύνανται. Παλλακίδες γοῦν αἱ καθεξῆς ἀριθμηθεῖσαι αἱρέσεις, ὡς ἄνω ἔφην, ὀγδοήκοντα μὴ θαυμαζέτω δέ τις εἰ καὶ ἄλλοις ὀνόμασιν ἑκάστη τούτων κικλήσκεται ἐν ἑκάστῃ χώρᾳ. Ἀλλὰ καὶ ἐκεῖνο παρατηρητέον, ὅτι πολλάκις καθ' ἑαυτὴν πάλιν ἑκάστη αἵρεσις σχίσασα εἰς πολλὰ μέρη καὶ ὀνόματα διέστη. Οὐ γάρ ἐστι θαῦμα· ἔστι γὰρ καὶ οὕτως. Ὀγδοήκοντα δὲ καὶ ἕνα ἀριθμὸν εὑρίσκομεν, ἕνα μὲν

3. Scribendum forlasse τῇ, vel γε.
4. Explendum fortasse εἶναι καὶ ἐπὶ κτλ.

Cap. VI. — 1. αὐτὴν φελεγέσθα Ios. Scaliger. Libri vulgo habent αὐτῇ φελέγεσθαι.
2. De formula ὅσον ἧκεν εἰς vide eru-

quibus prudens illud quisque facile potest animadvertere et ex ea quaestione indicare, tempus omne in LXII generationes ad Christum usque redactum fuisse, propterea quod deinceps post Christum, ut ex iis quae disputata sunt apparet, mundi tempora non amplius per genealogias digesta sunt. Qui quidem mundus in una illa annorum collectione perfectionem adeptus est, quam immutabilis ac solida dei voluntas obsignavit. Quare ab hac eadem abrupta terminataque saeculi consummatio, et ad aevum futurum ut impleatur traducta. Ob id dicitur, *Una est columba mea, perfecta mea;* quasi in ipsam universa desinant, tempora videlicet, anni ac generationum intervalla, sive per reges, sive per consules, sive per Olympiadas aut magi- Cant. 6, 8.
stratus temporum spatia numerentur. Octoginta porro pellices sunt inter reginas interiectae, etiam Christi, qua homo est, regno priores, hoc est fide ipsaque sponsa pariter ac virgine et illibata columba, quae unica matri est atque genitrici.

Siquidem ecclesia ab una fide genita, ac per spiritum sanctum Cap. VI.
in lucem edita, unica est uni genitricique suae. Tum vero quotcumque post illam, vel ante prodierunt, pellices nominantur. Quae licet a testamento, et hereditate non prorsus alienae fuerint, nullam tamen a verbo dotem obtinuerunt, nec infundentem se spiritum sanctum in seipsis exceperunt, sed solam cum verbo in conscientia sua necessitudinem habuerunt. Praeclare enim apud Hebraeos *pellicis* appellatio concipitur, cum *Phelegesestha* dicitur. Est autem *Pheleg* latine *dimidium; estha* mulierem significat, ut idem sit pellex, ac dimidiata mulier. Nam quod ad dominum spectat, universos ille liberam ad lucem vocavit, his verbis, *Dum lucem habetis in* Ioann. 12, 35.
vobis, ambulate. Cui adstipulatur apostolus, *Vos*, inquit, *diei estis* 1. Thess. 5, 5.
filii, et lucis filii. Item alio in scripturae loco, *Qui male agit, odit* Ioann. 3, 20.
lucem, nec accedit ad lucem. Sic igitur pellices non palam perfecteque, nec dotatae ducuntur a viris, ac tametsi nonnullam cum virorum corporibus necessitudinem contrahant, liberae nihilominus honore coniugis et appellatione, ac firmitate, dote, nuptialibus donis ac muneribus, legitima denique coniunctione carent. Eiusmodi sunt octoginta illae singillatim a me percensitae haereses. In quibus mirum illud videri nemini debet, si in unaquaque regione singulae aliis quibusdam nominibus affici soleant. Quin et illud observatione dignum est, saepenumero quamlibet per sese haeresin scissam ac divisam varias in partes et vocabula distrahi. Quod, ut dixi, admirari non oportet; ac plane ita sese res habet. Ceterum LXXXI

dite, ut solet, exponentem V. Cl. Hase in Leonis Diac. Hist. pag. 430 *sq., ed. Bonn., ubi etiam hunc citavit Epiphani locum.*

διὰ τὴν μίαν τῶν πασῶν διωρισμένην, μόνῳ δὲ τῷ νυμφίῳ κεκληρωμένην, ὑπ' αὐτοῦ δὲ ὁμολογουμένην τῇ τοιᾷδε ὀνομασίᾳ ὅτι, Μία
pag. 1084. ἐστὶ περιστερά μου, καὶ πάλιν, Τελεία μου· ὡς τῶν πασῶν παλλακίδων ἀγεννῶν οὐσῶν, καὶ οὐκ ἐν ἀκακίᾳ ἐπιμετρουμένων, οὐδὲ ἐν ἁγνείᾳ καὶ ἡμερότητι. Εἰσὶ μὲν οὖν ἀπαρχῆς συναπτόμεναι τῷ καλουμένῳ Βαρβαρισμῷ καὶ Σκυθισμῷ ἄχρι τῶν προειρημένων Μασσαλιανῶν οέ τὸν ἀριθμὸν, καὶ Ἑλληνισμὸς, ἐξ οὗ αἱ Ἑλληνικαὶ αἱρέσεις, καὶ Ἰουδαϊσμὸς, ἐξ οὗ Ἰουδαϊκαὶ, καὶ Σαμαρειτικὴ, ἐξ ἧς αἱ Σαμαρειτικαὶ, τῶν τριῶν ἐπὶ τὸν ἑβδομηκοστὸν ἕβδομον ἀριθμὸν προστιθεμένων, εἰς ὀγδοηκοντάδα ἀριθμὸν πληρουμένων, καὶ τῆς μιᾶς περιλειπομένης, τουτέστιν ἡ ἁγία καθολικὴ ἐκκλησία, καὶ Χριστιανισμὸς ὄντως ὠνομασμένος ἀπαρχῆς, καὶ σὺν τῷ Ἀδὰμ καὶ πρὸ τοῦ Ἀδὰμ καὶ πρὸ πάντων τῶν αἰώνων σὺν Χριστῷ, θελήματι τοῦ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ μετὰ πάντων τῶν κατὰ γενεὰν θεῷ εὐαρεστησάντων πιστευόμενος, καὶ ἐν τῇ αὐτοῦ παρουσίᾳ ἐν κόσμῳ σαφῶς ἀποκαλυφθεὶς, καὶ νῦν μετὰ τὰς αἱρέσεις ταύτας πάσας, τὰς δὴ παλλακίδας, ὑφ' [3] ἡμῶν πάλιν [4] ἐξυμνούμενος, ὡς κατὰ τὴν ἀκολουθίαν τοῦ λόγου.

Κεφ. ζ. Αὐτὸς γὰρ ὁ λόγος ἐν τοῖς Ἄισμασιν οὕτως ἠρίθμησεν, Ἑξήκοντα βασιλίσσας φήσας, καὶ ὀγδοήκοντα παλλακίδας, καὶ νεάνιδας, ὧν οὐκ ἔστιν ἀριθμός. Μία δὲ, φησὶ, ἐστὶ περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. Καὶ ὕστερον δείκνυσι πῶς παρὰ πᾶσιν εὑρεθήσεται, ὡς ἐντιμοτέρα πασῶν οὖσα, καὶ πάντων δεσπόζουσα, καὶ [1] αὐτῷ μόνη ἐκλελεγμένη, ἧς τὰ τέκνα κληρονόμα τοῦ βασιλέως, καὶ τέκνα ἀληθινὰ, ὡς τέκνα τῆς ἐπαγγελίας, καὶ οὐ τέκνα τῆς παιδίσκης, οὔτε παλλακίδος, οὔτε τῶν ἄλλων τῶν ἀναρίθμως ἑρμηνευομένων. Εἰ γὰρ καὶ ἀπὸ Χεττούρας τῆς παλλακίδος ἔσχεν ὁ Ἀβραὰμ τέκνα, οὐ συγκληρονόμα τυγχάνει τὰ τέκνα τῆς Χεττούρας τῷ Ἰσαάκ· δόματα δὲ ἔλαβεν, ὡς ληγάτου χάριν· ἵνα ὁ τύπος μένοι εἰς ἀναγωγὴν τοῦ λόγου, εἰς τὸ μὴ ἀπελπίσαι τινὰς τῆς τοῦ Χριστοῦ κλήσεως. Καὶ γὰρ τὰ δόματα, ἃ ἔδωκε τῷ Ἰσμαὴλ καὶ τοῖς υἱοῖς Χεττούρας, τύπος ἦν τῶν μελλόντων ἔσεσθαι [2] ἀγαθῶν εἰς ἐπιστροφὴν ψυχῶν πρὸς τὴν πίστιν καὶ τὴν ἀλήθειαν. Τῇ μὲν γὰρ Ἄγαρ παιδίσκῃ οὔσῃ καὶ ἀπὸ τοῦ Ἀβραὰμ ἐκβληθείσῃ (ὡς ἡ δουλεύσασα κάτω Ἱερουσαλὴμ μετὰ τῶν τέκνων αὐτῆς, περὶ ἧς εἴρηται, Ἀπέρριψα τὴν μητέρα [3] ὑμῶν, καὶ
pag. 1085. πάλιν, Ἔδωκα βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς), ταύτῃ γὰρ τῇ παιδίσκῃ, Ἄγαρ τε, φημὶ, συμβολικώτερον δι' ἐλπίδα ἐπιστροφῆς, ἀσκὸν δίδωσιν ὕδατος· ἵνα δείξῃ τοῦ λουτροῦ τῆς παλιγγενεσίας τὴν

3. ἥμων *codd. mss.* ὑμῶν *editi.*
4. ἐξυμνούμενος *rescripsi ego. Vulgo* ἐξυμνουμένας, *invita sententia. Iam Cornarius verterat* rursus a nobis iuxta orationis consequentiam celebratus.

Cap. VII. — 1. αὐτοῦ *mendum est*

numerum invenimus. Unum quibus propter unam illam a reliquis divulsam, et uni sponso tributam, de qua istiusmodi appellatione testificatur, *Una est columba mea,* et rursus, *Perfecta mea.* Quibus indicat pellices omnes ignobiles et obscuras esse, nec innocentia aut castitate ac lenitate censeri. Et quidem ab initio ad Barbarismum ac Scythismum ad postremos usque Massalianos LXXV haereses adscriptae sunt. Ad quas Hellenismo, unde gentilium sectae, et Iudaïsmo, a quo Iudaïcae Samaritanorumque factione, unde Samariticae manarunt, accedentibus, hoc est tribus omnino sectis ad LXXVII superiores, LXXX numerus efficitur. Superest una, nimirum sancta et catholica, ecclesia, quae vere Christiana religio dicitur, quaeque iam tum olim, et cum Adamo, imo ante Adamum ipsum, adeoque ante omnia saecula cum Christo floruit, de patris ac filii et spiritus sancti voluntate. Cui quidem eorum omnium qui in qualibet generatione deo placuerunt tempore fides est habita et adveniente in hunc mundum Christo domino manifeste est patefacta, nunc autem post superiores omnes haereses, sive pellices, oratione nostra praedicanda, quemadmodum instituti sermonis ordo postulat.

Quippe verbum ipsum in Canticis hoc modo numeravit: *Sexaginta reginas, et octoginta pellices, et adolescentulas quarum numerus non est: una est,* inquit, *columba mea, perfecta mea, unica est matri suae, electa genitrici suae.* Tum illud demonstrat, quemadmodum reperiri ab omnibus possit, utpote quae omnibus honoratior sit, imperet omnibus, atque ipsi sola velut eximia sit et electa, cuius filii reges heredes sunt ac legitimi, hoc est *promissionis liberi, non ancillae,* neque pellicis, ceterarumve, quae nullo numero comprehenduntur. Quamvis enim ex Chettura concubina sua liberos Abrahamus susceperit, nullam tamen isti cum Isaaco in patrimonii communionem veniunt, sed munera duntaxat, quasi legata quaedam, accipiunt; ut altioris nos sensus figura ipsa commoneat ne quis de Christi vocatione desperet. Nam illa dona, quae Ismaëli Chetturaeque filiis Abrahamus distribuit, futurorum bonorum imaginem adumbrabant, quae conversis ad fidem et veritatem animis erant obventura. Etenim Agar ancillae, quam Abrahamus eiecit, quae est inferioris Hierusalem figura cum liberis suis una servientis, de qua scriptum est, *Abieci matrem vestram,* item, *Dedi libellum repudii in manus illius.* Huic inquam Agar ancillae, ad spem conversionis adumbrandam, uter aquae datus est, quo lavacri regenerationis

Cap. VII. — Gal. 4. 31. — Gen. 25, 6. — Gal. 4, 22. — Osc. 2.

edit. Petav. Colon. repet. *etiam Cornarius.*

2. ἀγαθῶν *cod. Rhedig.* ἀγαθοῦ *cod. Ien. et editi;* futurorum bonorum *vertit*

3. ὑμῶν *codd. mss.* ἡμῶν *editi libri.*

δύναμιν εἰς δόμα ζωῆς τοῖς ἀπίστοις ἀποδοθεῖσαν, καὶ εἰς ἐπιστροφὴν πάντων τῶν ἐθνῶν πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας. Τοῖς δὲ υἱοῖς Χεττούρας τὰ δόματα ἦν χρημάτων ὕπαρξις, χρυσὸς καὶ ἄργυρος καὶ ἱματισμὸς, καὶ ἅτινα ἐν μυστηρίῳ Ἀβραὰμ ἀπέκλεισεν ἐν ταῖς πήραις, λίβανον καὶ σμύρναν καὶ χρυσὸν, τῶν διὰ τῶν βασιλέων Σοδόμων καὶ Γομόρρας, τῶν περὶ Χοδολλογόμορ καὶ Βαρσὰ, καὶ λοιπῶν τῶν τὴν αἰχμαλωσίαν ἀπὸ Σοδόμων καὶ Γομόρρων καὶ λοιπῶν λαβόντων, καὶ σκυλευσάντων τήν τε ἵππον καὶ αἰχμαλωτισάντων τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ ἀφαρπαξάντων τὰς ἀπὸ ἑκάστου περιουσίας τε καὶ χρημάτων καὶ τῶν ἄλλων πλῆθος, [4] ὃ αὐτὸς [5] ἀπέστρεψεν ἀπὸ τῆς κοπῆς τῶν βασιλέων τότε, καὶ οὔτε ἀποστρέψαι τὰ ἤδη κυρίῳ θεῷ ἀποταχθέντα τολμήσαντος αὐτοῦ, [6] ἀλλὰ δεδωκότος [7] αὐτὰ δόματα μετὰ τῶν ἄλλων τοῖς υἱοῖς αὐτοῦ τοῖς ἀπὸ Χεττούρας, ὡς εὕρομεν ἐν ταῖς παραδόσεσι τῶν Ἑβραίων.

Κεφ. η΄. Ἐν δὲ τῇ τοῦ Χριστοῦ παρουσίᾳ τῶν αὐτῶν τέκνων τοῦ Ἀβραὰμ τῶν ἀπὸ Χεττούρας ἐκβληθέντων ἀπὸ τοῦ Ἀβραὰμ, καὶ ἀπελθόντων καὶ κατοικησάντων εἰς τὰ μέρη τὰ Ἀραβικὰ τῆς Μαγωδίας χώρας, τῶν ἐλθόντων Μάγων ἀπὸ τῆς διαδοχῆς τῶν σπερμάτων ἐκείνων, προςενηνεγμένα δόματά τε καὶ δῶρα εἰς συμμετοχὴν τῆς αὐτῆς ἐλπίδος τῷ Χριστῷ ἐν Βηθλεὲμ τὰ αὐτὰ δῶρα, ὅτε τὸν ἀστέρα θεασάμενοι ἦλθον· ὧν δώρων τὴν σαφῆ παράστασιν ὁ προφήτης παρίστησι λέγων ὅτι, Πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκύλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. Ταῦτα γὰρ ἀπὸ Δαμασκοῦ ἐν χρόνοις Ἀβραὰμ, ὡς προεῖπον, ὑπὸ τῶν βασιλέων τῶν ἐλθόντων εἴληπται, καὶ ἀπὸ Σαμαρείας. Πότε οὖν ἔλαβεν αὐτὰ, πρὶν ἢ γνῶναι καλεῖν πατέρα ἢ μητέρα, ἀλλ' ὅτε ἦλθον οἱ Μάγοι, καὶ ἤνοιξαν τὰς πήρας ἑαυτῶν, ἢ τοὺς θησαυροὺς, ὡς ἔχει ἔνια τῶν ἀντιγράφων, καὶ προςήνεγκαν σμύρναν καὶ λίβανον καὶ χρυσόν; Καὶ ὁρᾷς πῶς [1] ἔχουσι αἱ τῆς ἀληθείας φράσεις, καὶ ἀκολουθίαι; Ὡς καὶ αὗται αἱ αἱρέσεις παλλακίδες ὑπάρχουσι, καὶ τὰ αὐτῶν τέκνα pag. 1086. ἔλαβε δόματα, τὸ ὄνομα μόνον λαβοῦσαι, ὀνόματι μόνον Χριστοῦ κληθεῖσαι, καὶ τοὺς ὀλίγους ἀπὸ τῆς θείας γραφῆς λόγους ὑποδεξάμεναι, ἵνα δι' αὐτῶν συνῶσι τὴν ἀλήθειαν, ἐὰν θέλωσιν· εἰ δὲ μὴ θέλοιεν, ἀλλὰ ἀνακάμψωσι πρὸς τὸν Ἡρώδην (παραγγέλλονται γὰρ μὴ ἀνακάμπτειν πρὸς Ἡρώδην, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀφικνεῖσθαι εἰς τὴν ἑαυτῶν πατρίδα)· ἐὰν δὲ μὴ ποιήσωσι τὰ προστεταγμένα, μάτην ἑαυτοῖς τὰ δόματα, ὡς ἐκείνοις ἡ ἔλευσις, εἰ ἀνέκαμψαν πρὸς τὸν Ἡρώδην, διὰ τὸ ὁμοίως τὰς αὐτὰς αἱρέσεις παραχαράσσειν τῶν θείων λόγων τὰ διδάγματα.

4. ὧ *mendum est edit. Petav. Colon.* 5. ἀπέστρεψεν *cod. Ien.* (*cum rasurae repet.*

vis et efficacitas ostendatur, quod tanquam vitale munus infidelibus et ad nationum omnium conversionem atque ad agnitionem veritatis est oblatum. Igitur Chetturae liberis collata illa munera pecuniae erant, aurum videlicet, argentum et vestis, et quae non sine mysterio Abraamus in illorum peris inclusit, thus, myrrha et aurum; quae ab Sodomorum et Gomorrhae regibus accepit, quo tempore Chodollogomor et Barsa, ceterique reges Sodomitas et Gomorrhaeos captivos abduxerunt ac praedati sunt, tam equos quam homines, et uniuscuiusque fortunas diripuerunt. Quae cum Abraamus ex illa regum depraedatione recuperasset, nec quae iam deo consecrata fuerant auderet avertere, inter alia dona liberis suis, quos e Chettura susceperat, ultro concessit, ut in Hebraeorum traditionibus legimus.

Posteaquam vero Christus in hunc mundum venit, iidem illi Abraami et Chetturae filii, qui a patre reiecti in Magodia, quae Arabiae regio est, habitaverant, hoc est Magi ex illius generis successione propagati, eadem illa dona eiusdem ad communionem significandam Christo Bethleemi obtulerunt, cum ad aspectum sideris eo profecti fuissent. Cuiusmodi dona diserte propheta declarat his verbis, *Quoniam antequam sciat puer appellare patrem aut matrem, capiet potentiam Damasci et spolia Samariae, coram rege Assyriorum.* Nam haec omnia Abraami temporibus e Damasco et Samaria a supervenientibus illis regibus capta, ut ante dixi, fuerant. Quod est igitur tempus illud, quo antequam patrem, aut matrem appellare sciret, dona illa cepit, nisi cum ad ipsum accedentes Magi peras suas, vel thesauros, ut quaedam exemplaria prae se ferunt, aperuerunt, obtuleruntque myrrham, thus et aurum? Vides quam apte veritatis secum sermo seriesque consentiat? utque haereses ipsae concubinae sint, quarum liberis aspersa munera sint? Quae quidem haereses solum nomen obtinentes, id est sola Christi appellatione censitae paucas e sacris literis sententias accipiunt, per quas veritatem, si velint, intelligere possint. Sin minus velint, et ad Herodem redeant (mandatum autem illis est, ne ad Herodem redeant, sed per aliam viam revertantur in patriam suam): sed si imperata facere detrectent, inania et infructuosa haec illis dona fuerint, perinde ac Magis profectio, si ad Herodem revertissent, quod similiter haereses ipsae sacrarum literarum dogmata adulterando corrumpant.

Cap. VIII.
Matth. 1.
Esai. 8, 4.

vestigiis) et editi. ἀπέτρεψεν *cod. Rhedig.*
6. ἀλλὰ *omissum in edit. Petav. Colon.*

repet.
7. αὐτὰ *om. cod. Rhedig.*
Cap. VIII. — 1. *Vulgo libri* ἔχει.

Κεφ. Ϛ'. Αὗται οὖν εἰσιν ὀγδοήκοντα παλλακίδες, ὧν ὁ ἀριθμὸς οὗτος ἐμφέρεται, κἀκεῖναι αἱ βασίλισσαι αἱ κατὰ τὰς γενεὰς ἀριθμηθεῖσαι ψυχαὶ, τουτέστιν ἄνδρες καὶ πατριάρχαι. Νεάνιδες δὲ, ὧν οὐκ ἔστιν ἀριθμὸς, ἐν ταῖς λοιπὸν κατὰ πάντα κόσμον φιλοσοφίαις, καὶ ἑκάστης ψυχῆς πολιτείαις, τῆς μὲν οὔσης ἐπαινετῆς, τῆς δὲ οὔ. Τίς γὰρ ἀριθμήσειε τοῦ κόσμου τούτου τὴν διαφοράν; Πόσαι γὰρ ἄλλαι παρ' Ἕλλησι μετὰ τὰς προειρημένας τέτταρας φανερωτάτας οὐκ ἔφυσαν, καὶ ἔτι μετὰ τὰς αἱρέσεις ἐκείνας καὶ τὰς μετέπειτα κατὰ τὴν ἑκάστου γνώμην ἐν δοκήσει νεανιότητος καθ' ἑαυτὰς γινόμεναι ψυχαί τε καὶ γνῶμαι; Ὡς Πυῤῥώνιοι καλοῦνταί τινες καὶ ἄλλοι πλείους, ὧν τὰ ὀνόματα καὶ τὰς δόξας καθ' εἱρμὸν ὑποτάξω, πολλῶν μὲν ὄντων τῶν εἰς γνῶσιν ἡμῶν ἐληλυθότων, πολλοστημόριόν τε τῶν ἐν κόσμῳ ὑπαρχόντων. Καί εἰσι μὲν αἱ ἐξ Ἑλλήνων αἵδε, ὧν πρώτην τάξαιμι ἀπαρχῆς τὴν Θαλοῦ τοῦ Μιλησίου γνώμην τε καὶ δόξαν.

Αὐτὸς γὰρ Θαλῆς ὁ Μιλήσιος, εἷς ὢν τῶν ἑπτὰ σοφῶν, ἀρχέγονον πάντων ἀπεφήνατο τὸ ὕδωρ. Ἐξ ὕδατος γάρ φησι τὰ πάντα εἶναι, καὶ εἰς ὕδωρ πάλιν ἀναλύεσθαι.

Ἀναξίμανδρος, ὁ τοῦ Πραξιάδου, καὶ αὐτὸς Μιλήσιος, τὸ ἄπειρον ἀρχὴν ἁπάντων ἔφησεν εἶναι, ἐκ τούτου γὰρ τὰ πάντα γίνεσθαι καὶ εἰς αὐτὸ τὰ πάντα ἀναλύεσθαι.

Ἀναξιμένης ὁ τοῦ [1] Εὐρυστάτου, καὶ αὐτὸς Μιλήσιος, τὸν ἀέρα τοῦ παντὸς ἀρχὴν εἶναι λέγει, καὶ ἐκ τούτου τὰ πάντα.

Ἀναξαγόρας, ὁ τοῦ Ἡγησιβούλου ὁ Κλαζομένιος, ἀρχὰς τῶν πάντων τὰς ὁμοιομερίας ἔφησεν εἶναι.

pag. 1087. [2] Ἀρχέλαος ὁ Ἀπολλοδώρου, κατὰ δέ τινας Μίλτωνος, Ἀθηναῖος δὲ ἦν, φυσικὸς, ἐκ γῆς τὰ πάντα λέγει γεγενῆσθαι. Αὕτη γὰρ ἀρχὴ τῶν ὅλων ἐστὶν, ὥς φησι.

Σωκράτης ὁ τοῦ [3] Ἐλβάγλου, ἢ Σωφρονίσκου, καὶ Φαιναρέτης τῆς μαίας, ὁ ἠθικὸς, τὰ καθ' ἑαυτὸν, ἔλεγε, μόνον δεῖ περιεργάζεσθαι τὸν ἄνθρωπον, πλείονα δὲ μή.

Φερεκύδης καὶ αὐτὸς γῆν φησι πρὸ πάντων γεγενῆσθαι.

Πυθαγόρας ὁ Σάμιος, Μνησάρχου υἱὸς, θεὸν ἔφη εἶναι τὴν μονάδα, καὶ δίχα ταύτης μηδὲν γεγενῆσθαι. Ἔλεγε δὲ μὴ δεῖν θύειν τοῖς θεοῖς ζῶα, μηδὲ μὴν ἐσθίειν τι τῶν ἐμψύχων, μήτε κυάμους, μήτε οἶνον πίνειν τοὺς σοφούς. Ἔλεγε δὲ τὰ ἀπὸ σελήνης κάτω παθητὰ εἶναι πάντα, τὰ δὲ ὑπεράνω τῆς σελήνης ἀπαθῆ εἶναι. Ἔλεγε

Cap. IX. — 1. *Diog. Laert. II, 2, 1.* Εὐρυστράτου.
2. ἀρχαίλαος *codd. mss. et edit. princ.*
3. ἐλμάγλου *codd. Ien., Rhedig., Paris.* (Elmagli *legitur etiam in Cornarii versione Latina.*) ἐλβάγλου *editi. Vide*

Hae sunt igitur LXXX concubinae, quarum numerus exprimitur; reginae quoque illae ipsae sunt, sive animae, quae per generationes recensentur, hoc est viri atque patriarchae. Adolescentulae porro, quarum iniri numerus non potest, varias philosophorum sectas, quae in mundum introductae sunt, ac diversa uniuscuiusque vivendi instituta significant, quorum laude digna alia sunt, alia vituperanda. Ecquis enim mundi huius varietatem percenseat? Quam multae apud gentiles aliae sectae post manifestissimas illas de quibus egimus quatuor pullularunt? Quinetiam post illas haereses ac sequentes diversi hominum animi et opiniones iuvenili quodam fastu arrogantiaque privatas sectas pro sua quique libidine condiderunt. Utputa Pyrrhonii quidam appellantur, aliique complures sunt quorum nomina ac decreta singillatim et ordine referam. Ac licet de multis hactenus cognoverim, quota pars tamen eorum est, quae toto orbe versantur? Ex iis porro sectis gentilium hae propriae fuerunt; inter quas Thaletis Milesii opinionem ac dogma priore loco proponam. Cap. IX.

Thales itaque Milesius unus e VII sapientibus principium rerum omnium aquam esse dixit. Nam ex aqua oriri omnia, et in aquam omnia resolvi.

Anaximander, Praxiadae filius, Milesius et ipse infinitum principium omnium constituit. Ex eo enim omnia nasci, et in illud aeque dissolvi.

Anaximenes, Eurystati filius, Milesius, aërem principium rerum esse definit, ab eoque universa manare.

Anaxagoras, Hegesebuli filius, Clazomenius, similitudines partium principium rerum omnium esse statuit.

Archelao, Apollodori, sive ut aliis placet, Miltonis filio, Atheniensi ac physico, placet ab terra omnia proficisci, idque adeo rerum esse principium.

Socrates, Elbagli, sive Sophronisci et Phaenaretae obstetricis filius, moralis philosophus quae ad sese pertinent sola homini inquirenda dixit, neque praeterea quicquam.

Pherecydes quoque terram omnibus priorem esse definiit.

Pythagoras, Samius, Mnesarchi filius deum esse monadem asseruit, neque quicquam sine ipsa productum. Negabat diis esse animalia sacrificanda, aut animatis vescendum, ac ne fabas quidem comedendas, neque vini potum sapientibus adhibendum putabat. Idem quae infra lunam sunt patibilia esse dicebat omnia, superiora

de eo nomine, quod ex ἑρμαγλύφου detortum esse videtur, Ludov. Dindorf. in Thesauro vol. II, pag. 137.

δὲ καὶ μεταβαίνειν τὴν ψυχὴν εἰς πολλὰ ζῶα. Ἐκέλευσε δὲ [4] καὶ τοῖς μαθηταῖς αὐτοῦ σιωπᾶν ἐπὶ πενταετῆ χρόνον, καὶ τὸ τελευταῖον θεὸν ἑαυτὸν ἐπωνώμασε.

Ξενοφάνης, ὁ τοῦ Ὀρθουμένου, Κολοφώνιος, ἐκ γῆς καὶ ὕδατος ἔφη τὰ πάντα γίνεσθαι. Εἶναι δὲ τὰ πάντα, ὡς ἔφη, οὐδὲν ἀληθές· οὕτως τὸ ἀτρεκὲς ἡμῖν ἄδηλον, δόκησις δὲ ἐπὶ πᾶσι τέτυκται, μάλιστα τῶν ἀφανέων.

Παρμενίδης, ὁ τοῦ Πύρητος, τὸ γένος Ἐλεάτης, καὶ αὐτὸς τὸ ἄπειρον ἔλεγεν ἀρχὴν τῶν πάντων.

Ζήνων ὁ Ἐλεάτης, ὁ ἐριστικὸς, ἴσα τῷ ἑτέρῳ Ζήνωνι, καὶ τὴν γῆν ἀκίνητον λέγει, καὶ μηδένα τόπον κενὸν εἶναι. Καὶ λέγει οὕτως· Τὸ κινούμενον ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται, ἢ ἐν ᾧ οὐκ ἔστι. Καὶ οὔτε ἐν ᾧ ἐστι τόπῳ κινεῖται, οὔτε ἐν ᾧ οὐκ ἔστιν· οὐκ ἄρα τι κινεῖται.

Μέλισσος ὁ τοῦ Ἰθαγενοῦς, Σάμιος τὸ γένος, ἓν τὸ πᾶν ἔφη εἶναι, μηδὲν δὲ βέβαιον ὑπάρχειν τῇ φύσει, ἀλλὰ πάντα εἶναι φθαρτὰ ἐν δυνάμει.

Λεύκιππος ὁ Μιλήσιος, κατὰ δέ τινας Ἐλεάτης, καὶ οὗτος ἐριστικὸς, ἐν ἀπείρῳ καὶ οὗτος τὸ πᾶν ἔφη εἶναι, κατὰ φαντασίαν δὲ καὶ δόκησιν τὰ πάντα γίνεσθαι, καὶ μηδὲν κατὰ ἀλήθειαν, ἀλλ' οὕτω φαίνεσθαι κατὰ τὴν ἐν τῷ ὕδατι κώπην.

pag. 1088. Δημόκριτος, ὁ τοῦ Δαμασίππου, Ἀβδηρίτης, τὸν κόσμον ἄπειρον ἔφη καὶ ὑπὲρ κενοῦ κεῖσθαι. Ἔφη δὲ καὶ ἓν τέλος εἶναι τῶν πάντων, καὶ εὐθυμίαν τὸ κράτιστον εἶναι, τὰς δὲ λύπας ὅρους κακίας· καὶ τὸ δοκοῦν δίκαιον οὐκ εἶναι δίκαιον, ἄδικον δὲ τὸ ἐναντίον τῆς φύσεως. Ἐπίνοιαν γὰρ κακὴν τοὺς νόμους ἔλεγε, καὶ, Οὐ χρὴ νόμοις πειθαρχεῖν τὸν σοφὸν, ἀλλὰ ἐλευθερίως ζῆν.

Μητρόδωρος ὁ Χῖος ἔφη μηδένα μηδὲν ἐπίστασθαι, ἀλλὰ ταῦτα ἃ δοκοῦμεν γινώσκειν ἀκριβῶς οὐκ ἐπιστάμεθα, οὐδὲ ταῖς αἰσθήσεσι δεῖ προσέχειν, δοκήσει γάρ ἐστι τὰ πάντα.

Πρωταγόρας ὁ τοῦ Μενάνδρου, Ἀβδηρίτης, ἔφη μὴ θεοὺς εἶναι, μηδὲ ὅλως θεὸν ὑπάρχειν.

Διογένης ὁ Σμυρναῖος, κατὰ δέ τινας Κυρηναῖος, τὰ αὐτὰ τῷ Πρωταγόρᾳ ἐδόξασε.

Πύρρων ἀπὸ Ἤλιδος, τῶν ἄλλων σοφῶν τὰ δόγματα συναγαγὼν πάντα, ἀντιθέσεις αὐτοῖς ἔγραψεν, ἀνατρέπων τὰς δόξας αὐτῶν, καὶ οὐδενὶ δόγματι ἠρέσκετο.

Ἐμπεδοκλῆς ὁ τοῦ Μέτωνος, Ἀκραγαντῖνος, πῦρ καὶ γῆν καὶ

4. καὶ om. cod. Rhedig.

vero pati nihil posse. Ad haec animam varia in animalia transire. Item discipulis suis quinquennale silentium indicebat. Postremo deum sese nominare ausus est.

Xenophanes, Orthumeni filius, Colophonius e terra et aqua propagata esse dixit omnia, neque quicquam in ulla re veritatis inesse; sic incertum ignotumque verum esse. Opinio vero, inquit, ubique versatur, praesertim in obscuris.

Parmenides, Pyretis filius, patria Eleates, infinitum aiebat omnium rerum esse principium.

Zeno, Eleates, Eristicus, sive Contentiosus, cum eadem altero cum Zenone sentiebat, tum immobilem esse terram, nec inanem ullum esse locum. Ergo ita disputabat: Quicquid movetur, aut in eo in quo est loco movetur, aut in quo non est. Atqui nec in quo inest loco, nec in quo non inest movetur; nihil igitur movetur.

Melissus, Ithagenis filius, Samius, unum esse definit omnia, neque quicquam in natura esse constans aut perpetuum, sed omnia vi esse corruptibilia.

Leucippus Milesius (Eleatem alii faciunt) ex Eristicorum grege universum in infinito versari docuit. Porro omnia sola specie opinioneque constare, veritate ipsa nihil, sed apparere ita duntaxat, perinde ac remus in aquam demersus.

Democritus, Damasippi filius, Abderita mundum infinitum constituit, ac supra inane posuit. Praeterea unum esse finem omnium, et animi tranquillitatem optimum esse, dolores vero mali omnis terminos asseruit. Quod iustum videtur, nequaquam esse iustum, iniustum vero naturae esse contrarium. Imo vero pessimum inventum leges appellabat, nec iis parere sapientem oportere, sed in summa libertate vivere.

Metrodorus Chius nihil a quoquam sciri voluit. Verum, inquit, quae nosse videmur, accurate non intelligimus; neque sensibus adhibenda fides est: omnia quippe opinione constant.

Protagoras, Menandri filius, Abderita deos esse negabat, ac divinitatem omnem funditus tollebat.

Diogenes Smyrnaeus vel, ut alii volunt, Cyrenaeus eandem cum Protagora opinionem tenuit.

Pyrrho Elidensis collectis in unum sapientum omnium dogmatibus confutationes eorum scripsit, et eversis illorum opinionibus nullam amplexus est.

Empedocles, Metonis filius, Agrigentinus ignem, terram,

ὕδωρ καὶ ἀέρα τέτταρα πρωτόγονα εἰςέφερε στοιχεῖα, καὶ ἔλεγεν ἔχθραν ὑπάρχειν πρῶτον τῶν στοιχείων. Κεχώριστο γὰρ, φησὶ, τὸ πρότερον, νῦν δὲ συνήνωται, ὡς λέγει, φιλωθέντα ἀλλήλοις. Δύο οὖν εἰσι κατ' αὐτὸν ἀρχαὶ καὶ δυνάμεις, ἔχθρα καὶ φιλία· ὧν ἡ μέν ἐστιν ἑνωτικὴ, ἡ δὲ διαχωριστική.

Ἡράκλειτος, ὁ τοῦ [5] Βλέσωνος, Ἐφέσιος, ἐκ πυρὸς ἔλεγε τὰ πάντα εἶναι, καὶ εἰς πῦρ πάλιν ἀναλύεσθαι.

Πρόδικός τις τέσσαρα στοιχεῖα θεοὺς καλεῖ, εἶτα ἥλιον καὶ σελήνην· ἐκ γὰρ τούτων πᾶσι τὸ ζωτικὸν ἔλεγεν ὑπάρχειν.

Πλάτων, Ἀθηναῖος, θεὸν ἔλεγε καὶ ὕλην εἶναι καὶ εἶδος, τὸν κόσμον δὲ γεννητὸν καὶ φθαρτὸν ὑπάρχειν, τὴν ψυχὴν δὲ ἀγέννητον καὶ ἀθάνατον καὶ θείαν λέγει. Εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν. Ἔλεγε δὲ τοὺς γάμους καὶ τὰς γυναῖκας [6] δεῖν κοινὰς τοῖς πᾶσι γίνεσθαι, καὶ μηδένα ἰδίᾳ μίαν ἔχειν γαμετὴν, ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι.

pag. 1089. Ἀρίστιππος, ὁ Κυρηναῖος· οὗτος γαστρίμαργος ὢν καὶ φιλήδονος τέλος ἔφη τῆς ψυχῆς τὴν ἡδονὴν, καὶ, Ὅςτις ἥδεται, εὐδαίμων οὗτος· ὁ [7] δὲ μηδ' ὅλως ἡδόμενος τριςάθλιος καὶ κακοδαίμων, ὥς φασι.

Θεόδωρος, ὁ Ἄθεος ἐπικληθεὶς, ἔφη λῆρον εἶναι τοὺς περὶ τοῦ θεοῦ λόγους. Ὤιετο γὰρ μὴ εἶναι θεῖον, καὶ τούτου ἕνεκεν προὐτρέπετο πάντας κλέπτειν, ἐπιορκεῖν, ἁρπάζειν, καὶ μὴ ὑπεραποθνήσκειν πατρίδος. Ἔλεγε γὰρ μίαν πατρίδα εἶναι τὸν κόσμον· καὶ ἀγαθὸν μόνον ἔλεγε τὸν εὐδαιμονοῦντα, φεύγειν δὲ τὸν δυςτυχοῦντα, κἂν ᾖ σοφὸς, καὶ αἱρετὸν εἶναι τὸν ἄφρονα πλούσιον ὄντα καὶ ἀπειθῆ.

Ἡγησίας, Κυρηναῖος· οὗτος ἔφη μήτε φιλίας, μήτε χάριτας εἶναι· μὴ ὑπάρχειν γὰρ αὐτὰς ἔλεγεν, ἀλλὰ, Χρήζων τις ἔδωκε χάριν, ἢ κρεῖττόν τι παθὼν εὐεργετεῖ. Ἔλεγε δὲ καὶ τῷ φαύλῳ ἀνδρὶ λυσιτελὲς τὸ ζῆν, τῷ δὲ σοφῷ τὸ ἀποθανεῖν. Ὥς τινας ἐκ τούτου Πεισιθάνατον αὐτὸν καλέσαι.

Ἀντισθένης ὁ ἐκ [8] Θράττης μητρὸς, αὐτὸς δὲ Ἀθηναῖος, τὸ πρῶτον Σωκρατικὸς, ἔπειτα Κυνικὸς, ἔφησε μὴ χρῆναι τὰ κακὰ ζηλοτυπεῖν [9] ἕτερον, ἢ τὰ παρ' ἀλλήλοις αἰσχρά· τὰ δὲ τείχη τῶν πόλεων εἶναι σφαλερὰ πρὸς τὸν ἔσω προδότην, ἀσάλευτα δὲ τὰ τῆς ψυχῆς τείχη καὶ ἀρραγῆ.

5. *De hoc nomine parum constat. V. Menag. ad Diog. Laert. IX,* 1.
6. δεῖ *codd. mss. uterque.*
7. καὶ *vitium est edit. Petav. Colon.*
8. Θράττης (Θράττ cod. *Ien.*) *codd. mss.* Θράκης *editi.*

aquam et aërem quatuor esse prima dixit elementa, atque inimicitiam elementis omnibus priorem. Siquidem initio separata ac distracta erant, inquit, omnia; nunc in unum coniuncta sunt, conciliata invicem et amica reddita. Quocirca duo sunt illius opinione principia, visque duplex, inimicitia et amicitia; quarum ista copulandi, illa separandi potestate praedita.

Heraclitus, Blesonis filius, Ephesius igni originem rerum omnium adscribebat, in eundemque resolvi putabat omnia.

Prodicus quidam elementa IV deos appellavit, inde solem et lunam. Ab iis enim vitalem in omnia vim diffundi.

Plato Atheniensis deum et materiam ac formam constituebat. Mundum ipsum et productum et corruptioni obnoxium; animam neque productam, et immortalem, adeoque divinam credebat; cuius triplicem esse partem, ratione scilicet praeditam, irascentem, concupiscentem. Nuptias et uxores promiscuas esse omnibus, ac communes volebat, nemo ut privatim coniugem suam haberet, sed quilibet cum volentibus consuetudinem haberet.

Aristippus Cyrenaeus ventri gutturique deditus ac voluptuarius finem animae dixit esse voluptatem; qua qui fruitur, beatus, qui omnino caret, infelicissimus sit ac miserrimus. Ita vulgo memorant.

Theodorus cognomento Atheus quae de deo dicerentur nugas esse meras arbitratus est; quippe deum esse nullum. Ob id furari, peierare, rapere suadebat omnibus, neque pro patria mortem oppetere; unicam enim patriam esse mundum, eumque tantummodo bonum esse qui sit beatus; quisquis autem infelix esset, tametsi sapiens foret, esse fugiendum. Denique vel insipientem atque contumacem divitem asciscendum esse.

Hegesias Cyrenaeus amicitiam ac gratiam funditus tollebat; nec ullas esse dicebat. Nam aut egentem alterius opera inire ab eo gratiam; aut maiore affectum beneficio vicissim rependere. Homini malo vitam expedire; sapienti mortem aiebat. Unde a plerisque πεισιθάνατος, id est mortis suasor appellatus est.

Antisthenes e Thracia matre Athenis natus primum Socraticus, deinde Cynicus extitit. Hic aliorum scelera ac turpitudines aemulari neminem oportere docuit. Urbium moenia adversus intestinum proditorem imbecilla, animae vero firma et inconcussa moenia dicebat.

9. ἕτερον *non habet cod. Rhedig. Fortasse scribendum* ἑτέρων, *quod Cornarius quoque censuisse videtur, ut qui transtulit* Non convenire aemulari mala aliorum aut alienas turpitudines.

Διογένης, ὁ Κυνικὸς, ἀπὸ Σινώπης τῆς κατὰ τὸν Πόντον πόλεως, τὰ πάντα Ἀντισθένει συνῆν. Ἔφησε τὸ ἀγαθὸν οἰστὸν παντὶ σοφῷ εἶναι, τὰ δ' ἄλλα πάντα οὐδὲν ἢ φλυαρίας ὑπάρχειν.

Κράτης ἀπὸ Θηβῶν τῶν Βοιωτικῶν, καὶ αὐτὸς Κυνικὸς, ἔλεγεν ἐλευθερίας εἶναι τὴν ἀκτημοσύνην.

Ἀρκεσίλαος ἔφασκε τῷ θεῷ ἐφικτὸν εἶναι μόνον τὸ ἀληθὲς, ἀνθρώπῳ δὲ οὔ.

Καρνεάδης τὰ αὐτὰ τῷ Ἀρκεσιλάῳ ἐδόξασεν.

Ἀριστοτέλης ὁ Νικομάχου, κατὰ μέν τινας Μακεδὼν ἀπὸ Σταγείρων, ὡς δὲ ἔνιοι, Θρᾶξ ἦν τὸ γένος. Ἔλεγε δὲ δύο ἀρχὰς εἶναι, θεὸν καὶ ὕλην· καὶ τὰ μὲν ὑπεράνω τῆς σελήνης θείας προνοίας τυγχάνειν, τὰ δὲ κάτωθεν τῆς σελήνης ἀπρονόητα ὑπάρχειν, καὶ φορᾷ pag. 1090. *τινι ἀλόγῳ φέρεσθαι, ὡς ἔτυχεν. Εἶναι δὲ λέγει δύο κόσμους, τὸν ἄνω καὶ τὸν κάτω· καὶ τὸν μὲν ἄνω ἄφθαρτον, τὸν δὲ κάτω φθαρτόν· καὶ τὴν ψυχὴν* [10] *ἐνδελέχειαν σώματος λέγει.*

Θεόφραστος, [11] *Ἐρέσιος, τὰ αὐτὰ Ἀριστοτέλει ἐδόξασε.*

Στράτων [12] *ὢν ἐκ Λαμψάκου, τὴν θερμὴν οὐσίαν ἔλεγεν αἰτίαν πάντων ὑπάρχειν. Ἄπειρα δὲ ἔλεγεν εἶναι τὰ μέρη τοῦ κόσμου, καὶ πᾶν ζῶον ἔλεγεν οὐ* [13] *δεκτικὸν εἶναι.*

Πραξιφάνης, Ῥόδιος, τὰ αὐτὰ τῷ Θεοφράστῳ ἐδόξασε.

Κριτόλαος, ὁ Φασηλίτης, τὰ αὐτὰ τῷ Ἀριστοτέλει ἐδόξασε.

Ζήνων ὁ [14] *Κιτιεὺς, ὁ Στωϊκὸς, ἔφη μὴ δεῖν θεοῖς οἰκοδομεῖν ἱερὰ, ἀλλ' ἔχειν τὸ θεῖον ἐν μόνῳ τῷ νῷ· μᾶλλον δὲ θεὸν ἡγεῖσθαι τὸν νοῦν· ἔστι γὰρ ἀθάνατος. Τοὺς δὲ τελευτῶντας ζώοις παραβάλλειν χρῆναι, ἢ πυρί. Καὶ τοῖς παιδικοῖς χρῆσθαι ἀκωλύτως. Ἔλεγε δὲ πάντα* [15] *διοικεῖν τὸ θεῖον. Τὰς δὲ αἰτίας τῶν πραγμάτων πὴ μὲν ἐφ' ἡμῖν, πὴ δὲ οὐκ ἐφ' ἡμῖν, τουτέστι τὰ μὲν τῶν πραγμάτων ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. Ἔλεγε δὲ καὶ* [16] *μετὰ χωρισμὸν τοῦ σώματος, καὶ ἐκάλει τὴν ψυχὴν πολυχρόνιον πνεῦμα. Οὐ μὴν δὲ ἄφθαρτον δι' ὅλου ἔλεγεν αὐτὴν εἶναι· ἐκδαπανᾶται γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου εἰς τὸ ἀφανὲς, ὥς φησι.*

Κλεάνθης τὸ ἀγαθὸν καὶ καλὸν λέγει εἶναι τὰς ἡδονὰς, καὶ ἄνθρωπον ἐκάλει μόνην τὴν ψυχὴν, καὶ τοὺς θεοὺς μυστικὰ σχήματα ἔλεγεν εἶναι καὶ [17] *κλήσεις ἱερὰς, καὶ δᾳδοῦχον ἔφασκεν εἶναι τὸν*

10. ἐνδελεχίαν *cod. Rhedig.*

11. Ἐρέσιος *correxerunt Menag. ad Diog. Laert. V, 36. (pag. 615. ed. Lips.), et Petavius. Libri vulgo* Ἐφέσιος.

12. Στρατωνίων ἐκ *vulgo extat in libris.*

13. δεχτικὸν *videor mihi legere in cod. Rhedig. Et Cornarius vertit* et omne animal negavit vim opinandi habere. δοκτικὸν *cod. Ien. et edit. princ.* δεικτικὸν *edidit Petavius, quod quid sibi velit non assequor. Videtur esse vitium typographi, si quidem ita transtulit ac si* δεκτικὸν *voluisset.*

Diogenes Cynicus, Sinopensis e Ponto, Antistheni diligentem operam dedit. Bonum sapienti cuilibet esse tolerabile, cetera nugacia et inania pronuntiavit.

Crates Thebis in Boeotia oriundus, secta Cynicus, rerum omnium inopiam veram esse libertatem affirmavit.

Arcesilaus solum deum veritatem assequi, hominum vero neminem decrevit.

Carneades Arcesilao in omnibus assensus est.

Aristoteles, Nicomachi filius, ut nonnullis placet, Macedo ac Stagiris oriundus, quamquam alii Thracem fuisse malint, duo principia constituit, deum ac materiam. Quae supra lunam sunt, divina providentia gubernari, inferiora nulla regi providentia, sed temere ac sine ratione fieri putavit. Item duos esse mundos, superiorem et infimum; illum incorruptum esse, corrumpi vero alterum. Postremo animam *ἐνδελέχειαν* esse, hoc est continuam motionem ac perennem.

Theophrastus Eresius Aristotelem omnino secutus est.

Strato Lampsacenus caussam omnium rerum calidae naturae tribuebat, infinitas esse mundi partes; neque animal esse capax omne dicebat.

Praxiphanes Rhodius eadem ac Theophrastus asserebat.

Critolaus Phaselita Aristotelem secutus est.

Zeno Citiensis Stoicus templa diis exstrui nolebat. Quippe divinum numen sola mente continendum, sive potius habendam pro deo mentem ipsam; utpote quae sit immortalis. Mortuos feris obiiciendos, aut igni concremandos. Pueros in amoribus ac deliciis habere permittebat. Idem moderari ac regere omnia deum asserebat. Rerum caussas partim in nostra potestate positas, partim extra nos sitas; hoc est rerum alias iuris esse nostri, alias nequaquam esse definiebat. Ad haec animam a corpore seiungi, quam et diuturnum spiritum appellabat, sed non prorsus incorruptam esse, adeoque paulatim temporis longinquitate consumi, et in nihilum redigi.

Cleanthes summum bonum, et honestum voluptates esse dicebat. Hominem solam appellabat animam. Deos mysticas esse quasdam figuras, sacraque nomina. Itaque solem daduchum, hoc est

14. κητιεὺς *codd. mss. et ed. princ.*

15. διηκεῖν *cod. Rhedig.*

16. „γρ. μεταχωρισμὸν. Deesse nonnihil puto", *annotavit in margine Petavius. Cf. etiam Animadvv. eius ad h. l. Cornarius interpretatus* est Asserebat item animae separationem a corpore, et vocabat *cett. Fortasse scribendum* Ἔλεγε δὲ εἶναι καὶ μετὰ χωρισμὸν τοῦ σώματος, καὶ κτλ.

17. *De his vide disputantem Lobeck. V. Cl. ad Aglaoph. p.* 62 *sqq., et de* σχήμασι μυστικοῖς *ibid. pag.* 130 *sqq.*

ἥλιον, καὶ τὸν [18] κόσμον μύστας, καὶ τοὺς κατόχους τῶν θείων τελετὰς ἔλεγε.

Περσεὺς τὰ αὐτὰ Ζήνωνι ἐδογμάτισε.

Χρύσιππος, ὁ [19] Σολεὺς, νόμους ἔγραψεν οὐ θεμιτούς. Ἔλεγε γὰρ δεῖν μίγνυσθαι ταῖς μητράσι τοὺς παῖδας, τοῖς δὲ πατράσι τὰς θυγατέρας. Εἰς δὲ τὰ ἄλλα συνεφώνησε Ζήνωνι τῷ Κιτιεῖ. Πρὸς τούτοις δὲ ἔλεγε καὶ [20] ἀνθρωποβορεῖν. Ἔλεγε δὲ τὸ τέλος πάντων τὸ [21] ἡδυπαθὲς εἶναι.

Διογένης, ὁ Βαβυλώνιος, ἔλεγε τὰ σύμπαντα συνίστασθαι ἐξ ἡδονῆς.

Παναίτιος, ὁ Ῥόδιος, τὸν κόσμον ἔλεγεν ἀθάνατον, καὶ [22] ἀγήρω· καὶ τῆς μαντείας κατ' οὐδὲν ἐπεστρέφετο, καὶ τὰ περὶ [23] θεῶν
pag. 1091. λεγόμενα ἀνῄρει. Ἔλεγε γὰρ φλήναφον εἶναι τὸν περὶ θεοῦ λόγον.

[24] Ποσειδώνιος, Ἀπαμεὺς, ἔλεγε [25] τὸ μέγιστον ἐν ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦτον καὶ ὑγείαν.

Ἀθηνόδωρος, Ταρσεὺς, τὰ αὐτὰ Χρυσίππῳ ἐδόξασε, καὶ τὰ αὐτὰ Ζήνωνι ἐδογμάτισεν.

Ἐπίκουρος, ὁ [26] Νεοκλέους, ἐν Ἀθήναις τραφεὶς, φιλήδονον βίον μετῆλθε, καὶ οὐκ ἠρυθρία γυναιξὶ συνὼν δημοσίᾳ ἀκολάστοις, μεθ' ἃ πρώην περὶ αὐτοῦ εἴπομεν. Πάλιν ἔλεγε μὴ εἶναι θεοὺς, ἀλλ' ἢ μόνον τύχην διοικεῖν τὰ πάντα, καὶ μηδὲν εἶναι τῶν ἐν τῷ βίῳ ἑκούσιον, μήτε μάθησιν, μήτε ἀπαιδευσίαν, μήτε ἄλλο μηδὲν, ἀλλὰ πάντα ἀκούσια γίνεσθαι πᾶσι. Καὶ οὐ χρὴ ψέγειν τινὰ, ὥς φησι, οὔτε ἐπαινεῖν· οὐ γὰρ ἑκόντες ταῦτα ὑφίστανται. Ἔλεγε δὲ μὴ δεῖν φοβηθῆναι τὸν θάνατον. Διεβεβαιοῦτο δὲ, ὡς ἤδη ἔφην, [27] καὶ ἐξ ἀτόμων τὸ πᾶν τὴν σύστασιν ἔχειν, καὶ τὸν κόσμον ἐν ἀπείρῳ εἶναι.

Κεφ. ι'. Καὶ οὗτοι μὲν οἱ ἐξ Ἑλλήνων εἰς γνῶσιν ἡμῶν ἐληλύθασιν. Ἄλλοι δὲ ὅσοι κατὰ τὴν βάρβαρον, καὶ Ἑλλάδα, Ῥωμαίαν τε, καὶ τὰ ἄλλα κλίματα τῆς οἰκουμένης, ἑβδομήκοντα δύο μὲν ἀηδεῖς φιλοσοφίαν ἐν τῇ τῶν Ἰνδῶν ἐμφέρονται φατρίᾳ, τῶν τε Γυμνοσοφιστῶν, τῶν τε Βραχμάνων, ἐπαινετῶν τούτων μόνων, τῶν τε Ψευδοβραχμάνων, τῶν τε Νεκυοφάγων, τῶν τε Αἰσχροποιῶν, τῶν τε Ἀπηλγημέ-

18. *Lobeck. Aglaoph. p.* 130. *refingi volebat* κόσμον τελεστήριον, καὶ τοὺς κατόχους τῶν θείων μύστας. *Nihil mutaverim nisi* τελετὰς, *quod in* τελέτας *vel* τελεστὰς *rescribendum videtur.*

19. σωλεὺς *codd. mss. et edit. princ.*

20. ἀνθρωποβορρεῖν *codd. mss. uterque, et edit. princ.*

21. *Aut* ἀπαθὲς *rescribendum, aut haec loco suo mota censendum, et Diogeni, qui proxime sequitur, reddenda censuit Gatakerus ad Antonin. p.* 102. *Cf. eius Adverss. Miscell. p* 814.

22. ἀτρήρω *codd. mss. uterque, et*

faciferum esse, mundum ipsum initiatorum, afflatu numinum correptos, ceremoniarum ac rituum vicem obtinere.

Perseus Zenoni penitus astipulatus est.

Chrysippus Solensis nefarias et illicitas leges sanxit. Nam et filios cum matribus et cum filiabus patres commiscere corpora volebat. In ceteris cum Citticnsi Zenone sentiebat. Addebat et illud, ut humanis carnibus vescendum statueret. Ultimum bonorum finem animi iucunditate metiebatur.

Diogenes Babylonius omnia ex voluptate constare censebat.

Panaetius Rhodius mundum affirmabat immortalem, neque senio ac vetustate confici. Divinationem funditus repudiabat. Quae de deo asseruntur, evertebat. Summum hominis bonum in divitiis ac sanitate ponebat.

Posidonius Apamensis summum hominis bonum in divitiis et sanitate ponebat.

Athenodorus Tarsensis eadem cum Chrysippo ac Zenone dogmata tenuit.

Epicurus, Neoclis filius, Athenis educatus voluptuariam vitam amplexus est. Itaque cum meretricibus publice sine ullo rubore consuetudinem habuit; praeter ea quae de illo operis huius initio scripsimus. Deos esse nullos aiebat, sed fortunae arbitrio cuncta gubernari. Nihil in mundo voluntarium ac liberum inesse, non disciplinam, non imperitiam, non aliud quicquam, sed omnibus omnia praeter voluntatem accidere. Neminem idcirco vituperandum, aut collaudandum esse, eo quod nihil istiusmodi ex libero animi decreto suscipiat. Mortem negabat unquam esse pertimescendam. Idem, ut antea dixi, ex atomis totum hoc universum constare, et in infinito spatio mundum esse profitebatur.

Hi sunt sectarum apud Graecos conditores, quos comperire Cap. X. potuimus. Quod ad alios spectat, qui inter barbaros, aut in Graecia ac Romanorum regione aliisve mundi tractibus emerserunt, in Indorum natione LXXII absurdissimae philosophiae sectae numerantur, velut Gymnosophistarum et Brachmanorum, quae solae ex omnibus laudandae sunt. Tum Pseudobrachmanorum, et eorum qui mortuorum cadaveribus vescuntur, et qui foedissimam rem per-

edit. princ. ἀγήρῳ *emendavit etiam Ios. Scaliger. Cornarius vertit* immortalem et immutabilem, *ut* ἄτρεπτον *videatur suspicatus esse.*

23. θεὸν *cod. Rhedig.*

24. ποσιδώνιος *codd. mss. uterque, et edit. princ.*

25. τὸν *codd. mss.*

26. νεοκλεῦς *codd. mss. et edit. princ.*

27. καὶ *omissum h. l. in edit. Petav. Colon. repet. et post* ἀτόμων *collocatum.*

νων, ὧν τὸ κατ' [1] εἶδος λέγειν, καὶ τὰ παρ' αὐτῶν μυσαρὰ γινόμενα, περιττὸν ἡγησάμεθα, καὶ οὔτε ἄξιον, διὰ τὴν πολλὴν ἐν τοῖς ἀνθρώποις φθορὰν, κακίας τε καὶ ἐργασίας. Ἐν μὲν γὰρ τῇ Μηδίᾳ ἓξ αἱρέσεις πάλιν λέγονται εἶναι διάφοροι, ἐν δὲ τῇ Αἰθιόπιδι ὅσαι, παρὰ Πέρσαις τε, [2] ἢ ἐν τῇ Παρθίᾳ, [3] ἢ Ἐλαμίτιδι, ἢ Κασπίᾳ, ἢ Γερμανῶν χώρᾳ, ἢ Σαρματίᾳ, ἢ ὁπόσοι ἐν τοῖς Δαύνισιν, ἢ παρὰ Ζικχοῖς, καὶ Ἀμαζόσι, Λαζοῖς τε, καὶ Ἴβηρσι, καὶ Βοσπορηνοῖς, ἢ Γηλοῖς, ἢ Σηροῖς, ἢ τοῖς ἄλλοις ἔθνεσι, νόμων τε διαφοραὶ καὶ φιλοσοφιῶν καὶ αἱρέσεων καὶ διαφορῶν ἄμετρον πλῆθος. Ὡς Σηροὶ μὲν ἄνδρες ἐμπλέκονται, οἴκαδε καθεζόμενοι, μυριζόμενοί τε καὶ θηλευόμενοι, γυναιξὶν ἑτοιμαζόμενοι, αἱ δὲ γυναῖκες τὸ ἀνάπαλιν τὴν τρίχα τῆς κεpag. 1092. φαλῆς κουρευόμεναι, ἀνδρείῳ ζώματι ζωννύμεναι, καὶ τὰ κατὰ τὴν ἄρουρον πάντα ἔργα ἐκτελοῦσαι. Παρὰ Γηλοῖς δὲ τοὐναντίον οἱ τὰ φαῦλα δρῶντες πρὸς τῶν νόμων αὐτῶν ἐπαινοῦνται. Παρ' Ἕλλησι δὲ πόσα μυστήρια καὶ τελεταί; ὡς αἱ [4] μεγαρίζουσαι γυναῖκες καὶ [5] θεσμοφορίζουσαι ἀλλῆλαι πρὸς ἀλλήλας διαφέρονται, [6] ὅσα τὰ ἄλλα, τά τε ἐν Ἐλευσῖνι μυστήρια, [7] Δηοῦς καὶ Φερεφάττης, καὶ τῶν ἐκεῖσε ἀδύτων τὰ αἰσχρουργήματα, γυναικῶν ἀπογυμνώσεις, ἵνα σεμνότερον εἴπω, τυμπανά τε καὶ πόπανα, ῥόμβος τε, καὶ κάλαθος, ἐρέα ἐξειργασμένη, καὶ κύμβαλον, καὶ κυκεὼν ἐκπώματι κατεσκευασμένος, ὅσα τε ἄλλα, τὰ ἐν Πυθοῖ Ἀρχεμόρου τὰ μυστήρια, ἐν Ἰσθμοῖς δὲ ἕτερα, Ἀθάμαντός τε καὶ [8] Μελικέρτου τοῦ [9] Ἰνοῦς γόνου, καὶ ὅσοι τὸν φαλλὸν ἀναστρέφοντες, αἵ τε [10] φαλλαρίζουσαι αἰσχρουργίας μελετήματα, οἵ τε τὴν [11] Ῥέαν θεραπεύοντες ἄνδρες, παρακόψαντές τε τὸν παῖδα τὸν ἄρρενα, ἄνευ σχήματος μορίων διατελέοντες, οὔτε μὴν ἄνδρες δυνάμενοι ἔτι εἶναι, οὔτε γυναῖκες γεγενημένοι, Διονύσιοί τε ἕτεροι, οἱ τοὺς [12] Κούρητας καὶ τὴν [13] κρεωνομίαν μυοῦντες, τοὺς ὄφεις ἀνεστεμμένοι, [14] εὐάζοντες τὸ, Οὐὰ οὐὰ, ἐκείνην τὴν Εὔαν ἔτι τὴν διὰ τοῦ ὄφεως ἀπατηθεῖσαν ἐπικαλούμενοι, [15] ἢ διὰ τῆς δασείας φωνῆς τὸν ὄφιν ἀπὸ τῆς Ἑβραΐδος εἰς ἑαυτῶν πλάνην κικλήσκοντες. Εὔα γὰρ κατὰ τὴν ψιλὴν ἀπόδοσιν τὴν γυναῖκα, κατὰ δὲ τὴν δασεῖαν ἑυΐα τὸν ὄφιν παῖδες Ἑβραίων ὀνομάζουσι.

Κεφ. ια'. Καὶ τί ἐρῶ; ἐπιλείψει γάρ μοι ὁ καιρὸς διηγουμένῳ περὶ τῶν ἀμυθήτως ἐχόντων τῷ ἀριθμῷ ἐν ταῖς τῶν ἀνθρώπων διαφοραῖς πρὸς

Cap. X. — 1. εἶνος *foede exaratum in edit. Petav. Colon. repet.*
2. καὶ *cod. Rhedig.*
3. ἐλλαμίτιδι *codd. mss. et edit. princ.*
4. μητριάζουσι *emendavit Checozius (Sopra l'idolatr. de boschi, in Dissert. Acad. Corton. tom. IV, p.* 165.) *non improbante Lobeckio Aglaoph. p.* 832., *cui tamen magis placebat* δημητρίζουσαι. *Retinendum puto* μεγαρίζουσαι, *quod cum* θεσμοφορίοις *coniunxit etiam Clemens Alex. Protrept.* 14. *V. Lobeck. l. l. pag.* 827 *sqq.*
5. *Ita libri omnes.*
6. ὅσα τε *suspicatus est Petavius.*
7. Δηοῦς καὶ *codd. Ien., Rhedig., et Paris. teste Petavio, et ipsa edit. Petavii.* δημητροῦς *edit. princ.*
8. μελεκέρτου *codd. mss. uterque, et*

petrant, et qui stupidi desperatique sunt. Quorum singula persequi et horrenda facinora commemorare supervacaneum et indignum putavi; tanta est istorum hominum nequitiae flagitiorumque corruptela. Nam in Media rursum sex esse feruntur sectae a se invicem diversae. In Aethiopia vero ac Perside, Parthia, Elamitide, Caspia, Germania, Sarmatia apud Daunos, Zicchos, Amazonas, Lazos, Iberos, Bosphoranos, Gelos, Seras, aliasque gentes, legum ac sectarum et haereseon ac variorum institutorum infinita genera sunt. Exempli caussa apud Seras viri capillos intorquent, ac domi resident, unguentis delibuti ac muliebri cultu lenocinioque, quo uxoribus placeant, expoliti. E contrario feminae tonso capite, ac virili cingulo praecinctae agriculturam exercent. Apud Gelos perversa ratione, qui mala perpetrant ab ipsis legibus commendantur. Iam apud Graecos quam multa mysteria ceremoniaeque sunt! Cuiusmodi sunt Megarica mulierum sacra, Thesmophoria; quorum ritus a se mutuo discrepant. Tum Eleusinia, quae in honorem Cereris ac Proserpinae celebrantur, et quae illic in penetralibus obscoena committi solent, velut cum mulieres denudantur, ut honestissime dicam. Quibus accedunt tympana, liba, rhombus, calathus, lana facta, cymbalum, cinnus in poculo temperatus. Adde et Pythia, quae in honorem Archemori, et Isthmia, quae in Athamantis et Melicertae Inus filii memoriam indicuntur. Tum eos qui Phallum circumferunt, quaeque Priapeia sacra turpissima ac flagitiosissima frequentant. Ad haec Rheae cultores viros, qui teneros mares exsecant, et virilia funditus amputant, adeo ut neque viri amplius esse possint, neque mulieres sint a natura facti. Sunt et alii Dionysiaci, qui Curetum sacris et carnium divisioni initiare solent, coronati serpentibus, ovantes, et *Oua oua* vociferantes, hoc est Evam illam, quam serpens decepit, invocantes, sive aspirata voce serpentem Hebraica lingua ad fraudem suam et errorem vocantes. Nam Eva si tenui spiritu pronuntietur feminam significat, sin aspiretur, Hebraei hoc vocabulo *Heva* serpentem intelligunt.

Et quid attinet plura dicere? Tempus me deficiet si infinita Cap. XI.
illa hominum discrimina in utramque partem, hoc est virtutem ac

edit. princ. Μαλικέρτου *vitium est edit. Petav. Colon. repet.*

9. Ἰνοῦ *cod. Rhedig.*

10. *Petavius suspicatus est* φαλλίζουσαι, *Lobeck. Aglaoph. p.* 704. φαλλαγωγοῦσαι, *vel* βασσαρίζουσαι. *Mihi videbatur retinendum esse* φαλλαρίζουσαι (*verbo ficto a* φαλλάριον, *h. e.* minor phallus, ὑποκορυστικῶς), *uti legitur in cod. Ien. et ed. princ.* φαλαρίζουσαι *edit. Petav.*

11. ῥαίαν *codd. mss. uterque.*

12. κουρῆτας *cod. Ien., cum rasurae vestigiis, et edit. princ.* κόρυτας *cod. Rhedig.*

13. κρεονομία *cod. Rhedig.*

14. *Cf. Fr. Franci (Salmasii) Confut. Animadvv. Ant. Cercoetii pag.* 82 *sq.*

15. οὐ *pro* ἢ *mendose exaratum legitur in edit. Petav. Colon. repet.*

τῇ ἀρετῇ τε καὶ φαυλότητι· ὅσοι μὲν κατὰ τὴν Αἰγυπτίων χώραν τῷ μὲν [1] Κρόνῳ ἕτεροι τελισκόμενοι κλοιοῖς ἑαυτοὺς σιδηρέοις καθείρξαντες, χαίτῃ τε [2] ὑπερτάτῃ, ἐσθῆτί τε ῥυπερᾷ καὶ καταμεμωκημένῃ, [3] ὡς κρίκοις μὲν τοὺς ἑαυτῶν μυκτῆρας ἐμπείραντες καθ' ἑκάστην τῷ Κρόνῳ ἐν τῇ Ἀστῷ καλουμένῃ — πολίχνη δέ ἐστιν αὕτη μητροκωμία κατὰ τὸν Προσωπίτην καλούμενον Νόμον, — κατὰ τὰς ἐναγεῖς τῆς πανδήμου τῶν πεπλανημένων συνελεύσεως τελετὰς, καὶ τῶν [4] παταλιζόντων καὶ [5] ὀργιούντων ἐμμανεῖς δῆθεν ἱεροφαντίας σχηματιζόντων. Ἐξώλεις δὲ οὗτοι. Παρ' ἄλλοις δὲ [6] ὅσοις, ὡς οἱ μὲν παρὰ τὸν Βουτικὸν ἢ αὐτὴν τὴν [7] Βουτὼ τὴν πολίχνην τὸν Ἁρποκράτην τιθηνοῦντες, [8] οἳ γέροντες μὲν ἤδη εἰσὶ τὴν ἡλικίαν, οἳ πρὸς τῇ ἱερομηνίᾳ τὰς φαντασιώδεις τοῦ Ὥρου ἐνθουσιώσεις ἐπιτελεῖν ἐκ τοῦ δαίμονος ἀναγκαζόμενοι. Ἕκαστος δὲ τῶν πολιτῶν, καὶ πρεσβύτης ἤδη ὑπεράγαν ἅμα νεανίαις ὁμοτρόποις [9] καὶ [10] ἑτέραις ἡβηδὸν ἡλικίαις, ἱερεῖς [11] τοῦ αὐτοῦ Ὥρου δῆθεν καὶ [12] Ἁρποκράτου, ἐπὶ τῆς κάρας ἐξυρημένοι μᾶλλον ἕκαστος φέρει ἀναιδῶς τὸ δουλικὸν ὁμοῦ καὶ ἐπικατάρατον καὶ παιδαριῶδες σῆμα φέροντες, ἀθύρμασί τε πρὸς τοῖς συνετοῖς τοῖς ἀπὸ τοῦ δαίμονος ἑαυτοὺς [13] ἐκδεδωκόσιν, ἐμμανεῖς τε καὶ ἀφραίνοντες, γελοιώμενοί τε, ἀσχέτως φέρονται, ἀθήραις τε καὶ σεμιδάλεσιν, ἄλλαις τε βαναυσοποιΐαις πρῶτον μὲν τὰς ὄψεις χρίσαντες, τῷ λέβητι [14] ἀνακαχλάζοντι τὸ πρόσωπον [15] ἐνθέντες, ἀπό τε τοῦ προσώπου δῆθεν ὑπὲρ θαύματος ἀπατηλῶς τὰ πλήθη ἐξοιστρήσαντες, [16] μεταδιδόασι τῇ χειρὶ ἀπὸ τοῦ προσώπου ἀπομαξάμενοι ἑκάστῳ τῶν αἰτησάντων, εἰς μετάληψιν ὑγείας τε καὶ ἄκους πόνων ἕνεκεν.

pag. 1093.

Κεφ. ιβ'. Τὰς δὲ Μεμφίτιδας Ἡλιουπολίτιδας [1] ὀργώσας, τυμπάνῳ τε καὶ αὐλῷ τὸ θέλγητρον εἰς ἑαυτὰς λαμβανούσας, εἰ διηγησαίμην, [2] Κορίτιδάς τε καὶ [3] Τριερίτιδας, καὶ τῆς ἐπὶ τῆς [4] Βαθείας καὶ ἐν Μενουθίτιδος, ἔξω βεβηκυίας αἰδοῖ τε καὶ καταστάσει γυναικείᾳ, πόσοις ὄγκοις γλώττης, ἢ πόσῳ πλάτει συντάξεως ἑαυτὸν ἐπιδοὺς ἐπὶ τὸν προειρημένων ἀριθμὸν τὸν ἀμύθητον ἑαυτὸν ἐκδοῦναι δυνήσομαι; Εἰ γὰρ καὶ κάματον ὑπερβάλλοντα εἰς [5] ἐμαυτὸν ἀναδέξαιμι, ἀτέλε-

Cap. XI. — 1. *Vulgo* Χρόνῳ.

2. *Cornarius* comamque prolixissimam nutrierunt *interpretatus est. Dubito de vocabulo* ὑπερτάτῃ *num sit genuinum, sed quid reponam item ambigo. Erat cum* ὑπερμήκει *cogitarem.*

3. ὃς *ed. Petav. Colon. repet.*

4. παταλίζοντων *cod. Ien.* πατταλιζόντων *codd. Rhedig., Paris.* καταλιζόντων *editi. Suspicor restituendum esse* παταγιζόντων, *pro* παταγούντων. *Cornarius vertit* perticas gestantium.

5. *Scribendum puto* ὀργιώντων. *Cf. cap.* 12.

6. ὅσοις *cod. Ien. et editi.* οὗτοι *cod. Paris. teste Petavio. In cod. Rhedig. eadem manus ex pristina scriptura* οὗτοι *effecit* ὅσοις.

7. *Libri vulgo* Βουτῶ.

8. *Corrigendum fortasse* οἱ.

9. καὶ *omissum in edit. Petav. Colon. repet.*

10. ἑτέραις *cod. Ien. et edit. Petav. Et ita Ios. Scaliger.* ἑταίραις *ed. princ.*

pravitatem, persequi voluero. Veluti qui in Aegypto Saturno initiati ferreis collaribus seipsos illigant, ac prolixiore barba et sordidis vestibus ac ridiculis utuntur. Quippe in honorem Saturni Asti (quod exiguum oppidum est, ac pagorum caput in praefectura Prosopitide) circulos identidem naribus infigunt, quo tempore nefarios ac sceleratos religionis caussa conventus ex oppidis omnibus instituunt. Tum enim coactis coetibus orgiaque celebrantes fanaticos et inconditos ritus exprimunt. Sed execrandum est genus istud hominum. Sunt et apud alios sacra quaedam istiusmodi, velut qui in Buttica praefectura, adeoque Buti oppido Harpocratem nutriunt, confecta iam aetate senes. Qui solenni die et ipsis Calendis vesanas ac furiosas Ori ceremonias daemonis oestro perciti celebrare coguntur. Tum enim cives universi, ac vel decrepiti senes, cum adolescentibus iisdem moribus praeditis, ac reliquis aetatibus iam tum ab ipsa pubertate, Ori videlicet et Harpocratis sacerdotes, detonso capite servilem et abominandum ac puerilem speciem sine ullo pudore circumferunt. Tum vero ludicra quaedam obeunt, ac sese prudentibus, qui seipsos a servitute daemonis asseruerunt, deridendos praebent. Nam vecordes, nec sui compotes, ac ridicule deformati, praecipites feruntur. Primum enim polenta ac simila, aliisque id genus confectis eduliis faciem oblinunt, vultu in fervens caldarium immerso, eaque specie ad concitandum stuporem vulgus illudunt; et quibusdam furiis agitant, tum et facie manu detersum quicpiam ad sanitatem recuperandam, atque aegritudinum remedia postulantibus impertiunt.

Adhaec si Memphiticas et Heliopoliticas mulieres orgia celebrantes persequar, quae tympanorum ac tibiarum strepitu seipsas exstimulant, si Coritidas et Trietericas, quaeque in Bathea et Menuthitide furore correptae pudoris sui ac modestiae muliebris obliviscuntur, quanta mihi verborum copia, quamque amplis voluminibus opus erit, ut commemorandis iis omnibus, quae supra percensui, quaeque propemodum infinita sunt, incumbere velim? Licet enim ingentem mihi hac in re laborem imposuerim, nihilominus illorum Cap. XII.

In cod. Rhedig. eadem manus ex ἑτέραις *refinxit* ἑταίραις.

11. τῷ *edit. Petav. Colon. rep., mendose.*

12. *Ita codd. Ien. et Rhedig., et edit. princ.* Ἁρποκράτους *edit. Petav.*

13. ἐνδεδωκόσιν *cod. Rhedig.* ἐκδεδώκασι *voluit Petavius.*

14. ἀνακοχλάζοντι *codd. mss. et edit. princ.* ἀνακαχλάζοντι *ed. Petav.*

15. ἐνθέντος *mendum est edit. Petav. Colon. repet.*

16. μεταδόασι *edit. Petav. Colon. rep. vitiose.*

Cap. XII. — 1. *Rescribendum* ὀργιώσας. *Cf. supra cap.* 11.

2. *An fortasse* Ἀκορίτιδας? *Ed. princ. habet* Κορρίτιδας.

3. *Ed. Petav.* Τριετηρίδιτας.

4. *Cornarius vertit* in profunda regione et Menuthitide.

5. ἑαυτὸν *cod. Rhedig.*

στον καταλείψαιμι τὴν τούτων κατάληψιν· ἐπειδὴ γὰρ, Νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμὸς, εἴρηται. Τά τε ἐν Σαΐ, τά τε ἐν Πηλουσίῳ, τά τε ἐν Βουβαστῷ, τά τε ἐν [6] Ἀβύδῃ, τά τε τοῦ Ἀντινόου τεμένη, καὶ τὰ ἐκεῖσε μυστήρια, τὰ ἐν [7] Φαρβήτῳ, τὰ κατὰ τὸν τράγον τοῦ Μενδησίου, ὅσα τε ἐν Βουσίρι, πόσα τε ἐν Σεβεννύτῳ, πόσα τε ἐν Διοςπόλει, ὡς πὴ μὲν τῷ ὄνῳ εἰς ὄνομα τοῦ Σὴθ, δῆθεν τοῦ Τυφῶνος τελετὰς ἐργάζονται, ἄλλοι δὲ [8] τὴν Τιθραμβὼ, Ἑκάτην ἑρμηνευομένην, ἕτεροι [9] τῆς Ἐνέφθυ, ἄλλοι δὲ τῇ [10] Θερμούθι τελίσκονται, ἄλλοι δὲ τῇ Ἴσιδι. Καὶ πόσα ἔστι τοιαῦτα λέγειν, ὧν τὸ κατ' εἶδος εἰ-
pag. 1094. πεῖν πολλοὺς χρόνος ἀναλωθήσεται. Διὸ περιλήψεται πάντη ὁ λόγος πληρούμενος διὰ τοῦ, Νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός. Ἑτέρων δὲ πάλιν μυστηρίων πολλῶν καὶ αἱρεσιαρχῶν [11] καὶ σχισματοποιῶν, ὧν μὲν ἀρχηγοὶ παρὰ Πέρσαις Μαγουσαῖοι, παρὰ δὲ Αἰγυπτίοις προφῆται καλούμενοι, τῶν ἀδύτων τε καὶ ἱερῶν ἀρχηγοὶ καὶ [12] μάγοι, Βαβυλωνίων δὲ οἵ τε καλούμενοι Γαζαρηνοὶ, σοφοί τε καὶ ἐπαοιδοὶ, Ἰνδῶν δὲ οἱ Εὐίλεοι καλούμενοι, καὶ [13] Βαρήμα ἐν ταῖς Ἑλλήνων, ἱεροφάνται τε καὶ [14] νεωκόρων, Κυνικῶν πλῆθος καὶ ἄλλων ἀμυθήτων φιλοσόφων ἀρχηγοί.

Κεφ. ιγ'. Τοίνυν, ὡς προεῖπον, παρὰ Πέρσαις Μαγουσαῖοι καλούμενοι, οἱ εἴδωλα μὲν βδελυττόμενοι, εἰδώλοις [1] τε προςκυνοῦντες, πυρὶ καὶ σελήνῃ καὶ ἡλίῳ. Ἄλλοι τε πάλιν ἐν τῇ Ἑλλάδι Μυσοὶ καλούμενοι [2] Ἄβιοι, γάλακτι ἵππων χρώμενοι, καὶ τὸ πᾶν ἀγρίαν χώραν κατοικοῦντες. Καὶ πόσα δυνήσεται ὁ νοῦς τῶν ἀνθρώπων συλλέγειν, τῶν τοσούτων καὶ μεγάλων ὀνομαζομένων, καὶ ἐν ταῖς ἐπαινουμέναις, ὅσαι εἰσὶ διαφοραὶ νεανίδων, ὧν οὐκ ἔστιν ἀριθμός; τῶν μὲν πρὸς ἔπαινον, ἄλλων δὲ μὴ ἐπαινουμένων, τῶν δὲ ἀπ' ἰδίου νοὸς τὰ πρὸς πολιτείας ἄσκησιν καὶ θεσμὸν ἑαυτοῖς συλλεγόντων, ἐκ κόμαις τε προόπτως προερχομένων, ἄλλων δὲ ἁγίων ἀδελφῶν ἐν σάκκῳ καὶ σποδῷ οἴκαδε καθεζομένων, καὶ ἔτι ἄλλων ἐν πολιτείαις [3] καὶ νηστείαις ὑπερβαλλούσαις καὶ καμάτῳ πρὸς θεὸν ἐν [4] νεανιότητι τῇ πρὸς τὸν νυμφίον τελείᾳ συνειδήσει πληροφορουμένων, ἑτέρων δὲ, ὡς προεῖπον, οὐκ ὀρθῶς, ἀλλὰ κατά τινα πρόληψιν νοὸς τυραννικῶς παρὰ τὴν ἀλη-

6. Ἀβύδῃ *codd. Ien., Rhedig., Paris.* Et Abyde *vertit Cornarius.* Ἀβύδι *edit. Petav.*

7. Φαρβήτῳ *codd. Ien., Rhedig., Paris.* Φαρβήθῳ *editi.*

8. τὴν Τιθραμβὼ, Ἑκάτην ἑρμηνευομένην *codd. mss. Ien., Rhedig., Paris.* τῇ Τιθραμβῷ (Τιθράμβῳ *ed. Petav. Colon. repet.*) Ἑκάτην ἑρμηνευομένην *editi libri. Legendum, uti videtur,* τῇ Τιθραμβῷ, Ἑκάτῃ ἑρμηνευομένῃ.

9. τῆς ἐνέφθυ *codd. mss. Ien., Rhedig, Paris.* τῇ Σενέφθυ *editi libri. Rescribendum suspicor* τῇ Ἐνέφθυ *vel* Ἐνέφθυι (*h. e.* Νέφθυι).

10. *Fortasse* Θερμούθιτι, *aut* Θερμούθει. *Cornarius vertit* Thermuthidi.

11. καὶ *omissum in edit. Petav. Colon. repet.*

12. *Ita rescripsi pro* μάγων *quod vulgo in libris oblinuit. Petavius verba* καὶ μάγων *potius uncinis notanda duxit;* et

tractationem ac comprehensionem imperfectam necesse erit relinqui. Scriptum est enim, *Adolescentulae quarum non est numerus.* Ad quas sacra illa pertinent quae in oppido Sai et Pelusii, Bubasti et Abydi geruntur, nec non et Antinoi delubra, cum mysteriis, quae illic obeuntur. Item et quae Pharbeti, aut quibus hircus a Mendesiis colitur, et quae in Busiritana praefectura, Sebennitica, ac Diospolitana celebrantur. Sed et alicubi in honorem Seth, quem Typhoneum, putant, asino ritus ac ceremonias peragunt. Alii Tithramboni, quam interpretantur Hecaten, alii Nepthy, alii Thermuti, alii Isidi initiantur. Cuiusmodi infinita alia dici possunt, quae speciatim ut recenseantur temporis plurimum desiderent. Quocirca summatim his verbis concludi potest oratio: *Adolescentulae* Cant. 6, 7. *quarum non est numerus.* Sunt enim alia porro mysteria quamplurima, et sectarum ac schismatum architecti, velut apud Persas Magusaei, apud Aegyptios prophetae, adytorum et sacrorum antistites. Item apud Babylonios qui Gazareni vocantur, sapientes et incantatores. Quibus et Indorum Evilei ac Brachmanes accedunt, et Graecorum hierophantae et aeditui. Nec non cynicae sectae, et aliarum propemodum infinitarum auctores philosophi.

Apud Persas igitur Magusaei, ut dixi, cum idola detestentur, Cap. XIII. eadem tamen illa venerantur, ignem videlicet, lunam ac solem. Alii praeterea sunt qui in Graecia Mysi et Abii vocantur, qui equino lacte victitant, et agrestem atque incultam plane regionem habitant. Quam multa ab humanis ingeniis colligi possunt, de iis qui tanti ac tam excellentes habentur, et qua ad laudabilium *adolescentularum* genus adscribi debent, *quarum non est numerus.* Nam aliae commendandae sunt, aliae vituperatione dignae. Nam nonnulli reperiuntur qui ex privato ingenio severam quandam vitae disciplinam ac legem sibimetipsis condiderunt, ac prolixiore coma palam et in omnium oculis procedunt. Alii vero sancti fratres in cilicio et cinere domi sese continent, alii denique asperrimo vivendi instituto ac durissimis ieiuniis et laboribus dei caussa susceptis iuvenili quadam fortitudine et perfecta erga sponsum conscientia omnibus numeris absolutam vitam exprimunt. Alii demum, quod paulo ante dixi, non sincere, sed obstinatione quadam animi, velut ty-

sacrorum et magorum duces *convertit Cornarius.*

13. Βραχμᾶνες Ἑλλήνων *coniectura est Petavii. Nec ea est improbabilis.*

14. *Rescribendum suspicor* νεωκόροι, καὶ Κυνικῶν. *Cornarius convertit* Barema. Apud Graecos hierophantae et sacerdotum Cynicorum multitudo *cett.*

Cap. XIII. — 1. *Suspicor* δὲ.

2. *Vertit Cornarius* Alii vero sunt rursus in Graecia Mysi, appellati Abii a vita neglecta. *Cf. Homer. Il. XIII*, 5 *et* 6. *Scribendum fortasse* Ἄβιοι γάλακτί τε ἵππων κτλ., *ad secernendos a Mysis Abios.*

3. καὶ *omiss. in edit. Petav. Colon. repet.*

4. *Fortasse* νεανιότητί τε τῇ κτλ.

θειαν νεανιευομένων. Ὡς Ζακχαῖος μὲν, πρὸ βραχέως τελευτήσας ἐν τῇ ὀρεινῇ τῇ περὶ τὰ Ἱεροσόλυμα, οὐδενὶ ὅλως συνευχόμενος διετέλεσεν, ἀλλὰ καὶ διὰ τὴν αὐτὴν ὑπόθεσιν τολμηρῶς ἁγίων μυστηρίων ψαύειν καὶ ἱερουργίαν λαϊκὸς ὢν ἀφειδῶς ἐπεχείρει· ἕτερος δέ τις, ὅστις ποτε ἦν ἀνὴρ ἐκεῖνος, καὶ τῶν δοκούντων ἐν ἀκρότητι βίου [5] πεπολιτευμένος, πρὸς τὴν Αἴγυπτον ἐπὶ τὰ ἐρημικὰ κατοικήσας ἐν
pag. 1095. μοναστηρίῳ, καὶ ἄλλος πρὸς τῷ Σιναίῳ, ὡς ἀπὸ ὀνειράτων ἐνεανιεύσαντο, ἐπισκοπῆς [6] δεξάμενοι χειροθεσίαν καὶ καθῆσθαί τε καὶ τὰ ἐπισκόπων πράττειν καὶ αὐτοὶ ἐπεχείρουν. Ἕτεροι δὲ καὶ οὐκ ὀλίγοι εὐνουχίζειν ἑαυτοὺς παρὰ τὰ προςτεταγμένα δῆθεν νεανιότητος χάριν ἐτόλμησαν. Ἕτεροι δὲ δοκοῦντες νεανιεύεσθαι τολμῶσι, παρὰ τοὺς [7] ὄντας ἀπὸ ὀρθοδόξων ὁρμώμενοι, σύλλογον ἑαυτοῖς ἐπισπῶντες, ἀλλὰ καὶ ἄνευ ἐπικρίσεως συνόδου οἰκουμενικῆς ἀναβαπτίζειν τοὺς ἐρχομένους πρὸς αὐτοὺς δῆθεν ἀπὸ Ἀρειανῶν, μηδέπω τοῦ πράγματος ἐξ ἐπικρίσεως, ὡς ἔφην, συνόδου [8] τμηθέντος, διὰ τὸ ἀναμὶξ τοὺς λαοὺς ὑπάρχειν ἔτι δεῦρο, καὶ πολλοὺς μὲν εἶναι ὀρθοδόξους, κατὰ δὲ ὑπόκρισιν πρὸς τοὺς ἱερατεύοντας συνημμένους, ἕως ἂν ἀφορισμὸς γένηται τῆς τοιαύτης βλασφήμου αἱρέσεως, καὶ τότε τὰ κατ' αὐτῆς [9] ὁρισθήσεται. Ἐκ τούτων δὲ τῶν οὕτως ἀναβαπτιζόντων, ἀπ' ἰδίου κελεύσματος εἰς ἡμετέρας ἀκοὰς [10] ἀφῖκται εἷς ὑπάρχων ἐν τῇ τῶν Λυκίων χώρᾳ πρεσβύτερος. Εἰσὶ δὲ καὶ ἄλλοθι, ὡς ἕκαστος καθ' ἑαυτὸν εὔχεται, καὶ οὐ μετά τινος τὸ παράπαν, ἕτεροι δὲ ἐν κλοιοῖς παρὰ τὸν θεσμὸν τῆς ἐκκλησίας. Διόπερ ἐπὶ τέλει παντὸς τοῦ λόγου, Νεάνιδας, ἔφην, μὴ ἐχούσας ἀριθμὸν, τάς τε κατὰ τὴν ἰδίαν ἔννοιαν αὐταῖς νεανιζούσας, οὐ μὴν εἰς τὸ ἀγαθὸν, εἰς τὸ τελειοῦν τῆς σοφίας τὰ εἴδη, φρονήσεώς τε καὶ ἀνδρείας καὶ σωφροσύνης καὶ δικαιοσύνης· ἐξ ὧν ἄλλαι νεανίζουσαι [11] ἐπὶ τῷ τυραννικωτέρῳ, καὶ ἀπὸ τῆς ἀληθείας ἑαυτὰς ἐκτρέπουσιν, ὥςτε μὴ εἶναι ἀριθμὸν τούτων.

Κεφ. ιδ'. Αὕτη δὲ ἡ μία περιστερὰ καὶ ἁγία παρθένος θεὸν ὁμολογεῖ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, πατέρα τέλειον, υἱὸν τέλειον, πνεῦμα ἅγιον τέλειον, ὁμοούσιον τὴν τριάδα, οὐ [1] συναλιφὴν τὴν τριάδα, ἀλλὰ τὸν υἱὸν ἐκ πατρὸς [2] ἀληθινῶς γεγεννημένον, καὶ τὸ ἅγιον

5. *Suspicor* πεπολιτευμένων.

6. οὐ δεξάμενοι *placuit Petavio;* ut impositionem manuum ad episcopatum susceperint *convertit Cornarius. Rescribendum videtur* ἐπισκοπῆς δὲ δεξάμενοι χειροθεσίαν καθῆσθαί τε καὶ κτλ.

7. κάνονας *pro* ὄντας *suspicatus est Petavius. Mallem* τολμῶσι παρανομοῦντες, ἀπὸ κτλ. *Cornarius vertit* Alii vero fortiter sibi agere videntur, qui non consultis aliis, et praeter aliorum morem, velut ab orthodoxis progressi, collegium sibi *cett.*

8. τμηθέντος *cod. Ien. et editi.* τιμηθέντος *cod. Rhedig. Recte fortasse.*

9. ὀρθήσεται *cod. Rhedig.*

10. ἀφῆκται *codd. mss. uterque et edit. princ.* ἀφίκται *ed. Petav.*

rannice praeter veritatem insolenter efferuntur. Eiusmodi Zacchaeus ille fuit, qui nuper in montana regione ad Hierosolyma mortuus est, qui cum nemine unquam precandi communione coniungi se passus est. Imo vero ex eodem instituto divina mysteria, cum laicus esset, attingere ac sacrificia celebrare nefario ausu ac temerario est aggressus. Inventus est et alius, quicumque ille tandem fuit, excellenti quodam vitae genere, qui in Aegypti solitudine in monasterio degebat. Item alius ad Sinam montem habitans. Qui ambo nescio quibus somniis eo temeritatis adducti sunt ut suscepta ad episcopi functionem manuum impositione sedere et episcoporum munus obire non dubitarint. Alii, et hi quidem non pauci, castrare semetipsos contra leges iuvenili qnadam ferocia ausi sunt. Alii, qui audaciores videntur, ex catholicorum partibus, privata sibi factione conflata praeter ecclesiae consuetudinem, ac citra generalis concilii decretum, eos qui ab Arianis ad suas partes transeunt iterum baptizare nihil verentur, cum nondum ea res, ut dixi, universalis synodi iudicio decisa sit, quod adhuc populi promiscue ad hodiernum usque tempus habeantur; inter quos multi quidem sunt catholici, sed ficte ac per simultationem sacerdotum auctoritatem sequuntur, donec execranda illa secta ab ecclesiae consortio segregetur, ut tunc aliquid de illa statuatur. Ex iis qui suapte auctoritate iterum hoc modo baptizant audio quendam in Lycia presbyterum esse. Sed et aliis in locis reperiuntur alii qui singillatim ac separati preces obeunt, et reliquorum communionem omnem respuunt. Alii collo vincula praeter ecclesiae leges innectunt. Quam ob caussam disputationem omnem hac sententia conclusi, *Adolescentulas esse nullo numero comprehensas;* quae privato consilio audacter insolenterque se gerunt, non ut boni aliquid consequantur, aut sapientiae in sese genus aliquod expoliant, puta prudentiae, fortitudinis, temperantiae, iustitiae. Quo ex numero tyrannico more quaedam efferuntur, atque a veritate deflectunt, nullo ut numero contineri possint.

At *singularis illa columba,* sanctaque virgo deum confitetur, Cap. XIV.
patrem et filium et spiritum sanctum, patrem perfectum, filium perfectum, perfectum spiritum sanctum, consubstantialem trinitatem, non coalescentem, aut confusam. Sed filium vere a patre genitum,

11. *Cornarius vertit* Quapropter in fine totius operis iuvenculas dixi numerum non habere, quae ex propria sententia sibi ipsis iuveniliter praestituunt ad bonum quidem, ut sapientiae species perficiant, prudentiaeque ac fortitudinis, et modestiae ac iustitiae, verum iuveniliter agentes ad tyrannidem excedunt, et a veritate seipsas evertunt *cett.*

Cap. XIV. — 1. συναλιφὴν *codd. mss. et edit. princ., quemadmodum constanter et ubique, nisi unum et alterum exceperis locum.* συναλοιφὴν *edit. Petav.*

2. ἀληθινὸς *edit. Petav., et ita habebat cod. Ien. a m. pr., vitiose.*

πνεῦμα οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ, οὖσαν δὲ ἀεὶ τὴν τριάδα, καὶ μηδέποτε προςθήκης ἐπιδεομένην, μὴ ἔχουσαν δέ τι ἐν αὐτῇ ὑποβεβηκὸς, εἰς μίαν δὲ ἑνότητα καὶ [3] μίαν ἀρχὴν τοῦ θεοῦ καὶ πατρὸς
pag. 1096. ἀναγομένην, καὶ ἐκ ταύτης τῆς τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τὰ πάντα [4] κεκτίσθαι, οὐκ ὄντα ποτὲ, οὔτε συνόντα τῷ θεῷ, οὔτε προϋπάρξαντα, γινόμενα δὲ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· καὶ τοῦτον τὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τοῖς αὐτοῦ ἁγίοις καὶ ἀπ' αἰῶνος καταξιώσαντα ἐν ὀπτασίαις φανῆναι, καθάπερ ἠδύνατο ἕκαστος χωρεῖν, κατὰ τὸ χάρισμα αὐτοῦ διὰ τῆς θεότητος, ὅπερ ἐχαρίζετο ἑκάστῳ τῶν καταξιουμένων, πὴ μὲν πατέρα θεάσασθαι, καθὼς ἠδύνατο ἕκαστος ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ, ὡς ἐχώρει· ὡς ἐν στόματι τοῦ Ἡσαΐου ἔλεγεν, Ἰδοὺ, συνήσει ὁ παῖς μου ὁ ἀγαπητός· τοῦτο φωνὴ πατρός· καὶ ὡς ὁ Δανιὴλ εἶδε τὸν παλαιὸν τῶν ἡμερῶν· τοῦτο ὀπτασία τοῦ πατρός. Ὡς δὲ ἐν τῷ προφήτῃ πάλιν, Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην· τοῦτο φωνὴ υἱοῦ· ὡς δὲ ἐν Ἰεζεκιὴλ, Καὶ ἔλαβέ με πνεῦμα θεοῦ, καὶ ἐξέβαλέ με εἰς τὸ πεδίον· τοῦτο περὶ ἁγίου πνεύματος. Καὶ πολλὰ ἔστι τοιαῦτα λέγειν, ὧν ὀλίγων ἀπὸ μέρους μνησθέντες ἐν παραδρομῇ εἰς τὸ δεῖξαι τὸν χαρακτῆρα τῆς ἐκκλησίας τὰ δύο ῥήματα παρεθέμεθα, μυρίων ὄντων, καὶ ἐπέκεινα, τῶν ὁμοίων τούτων ἐν ταῖς θείαις γραφαῖς, παλαιᾶς τε καὶ καινῆς διαθήκης, ἐμφερομένων. Καὶ ὅτι αὐτὸς κύριος ἔπλασε τὸ σῶμα τῷ Ἀδὰμ, καὶ ἐνέπνευσεν ἐν αὐτῷ πνοὴν ζωῆς, κτίσας αὐτῷ ψυχὴν ζῶσαν, καὶ ὅτι αὐτὸς δέδωκε τὸν νόμον τῷ Μωϋσῇ ὁ θεὸς πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, ἡ μία θεότης, καὶ ὅτι οἱ προφῆται ὑπὸ τῆς αὐτῆς θεότητος ἀπεστάλησαν, καὶ ὅτι αὐτὸς ἡμῖν ὁ θεὸς ὁ Ἰουδαίων τε καὶ Χριστιανῶν ὢν θεὸς, Ἰουδαίους τε καλέσας εἰς δικαίωσιν, τοὺς μὴ ἀρνουμένους τὴν αὐτὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ παρουσίαν, καὶ πάντας σώζοντος τοὺς κατὰ τὴν ἀληθινὴν αὐτοῦ πίστιν βιοῦντας, καὶ μὴ ἀρνουμένους τὴν ἀλήθειαν τοῦ κηρύγματος τῆς ἀληθινῆς εὐαγγελικῆς αὐτοῦ διδασκαλίας. Ἦλθε γὰρ, ἦλθεν ὁ μονογενής· καὶ οὕτως ἔχει ἡ μήτηρ ἡμῶν ἐκκλησία, ὁ λιμὴν ὁ εὔδιος τῆς εἰρήνης, ἡ εὐφρασία ἡ πνέουσα τὴν [5] κύπριν τῆς ἀμπέλου, καὶ βό-
pag. 1097. τρυν φέρουσα ἡμῖν τῆς εὐλογίας, καὶ τὸ λυσίπονον ἡμῖν [6] πόμα καθ' ἑκάστην ἡμέραν αἷμα Χριστοῦ χαριζομένη, ἄκρατον, ἀληθές.

3. μίαν *omiss. in cod. Rhedig.*

4. κέκτισθαι *codd. mss. et ed. princ.* κεκτῆσθαι *habet margo edit. Pelav.*

et spiritum sanctum a patre filioque non alienum, trinitatem, inquam, quae semper sit, neque ullius accessionis egeat, neque quicquam in sese inferius habeat, quaeque ad singularem unitatem, unicumque dei ac patris principium referatur. Ab eadem trinitate, patre, filio et spiritu sancto creata esse cuncta, quae aliquando non extiterant, neque cum deo sunt, nec ante fuerant, sed e nihilo aliquid esse coeperunt, a patre, filio sanctoque spiritu producta. Hunc ipsum patrem et filium et spiritum sanctum ab orbe condito sanctis suis per visum apparuisse, quantum capere quisque poterat, ac pro eo ac cuilibet communicata per divinitatem gratia est, quam iis omnibus qui merebantur impertiit. Ita patris aspectus unicuique permissus est, quantum vocem illius audire, ac prout capere poterat. Ut cum per Isaiam ita loquitur, *Ecce intelliget puer* Esai. 52, 13. *meus dilectus.* Quae patris ipsius verba sunt. Sic Daniel antiquum Dan. 7, 9. illum dierum vidit; quod visum patris proprium fuit. Quinetiam apud alium prophetam, *Ego*, inquit, *visiones multiplicavi, et in ma-* Ose. 12, 10. *nibus prophetarum assimilatus sum.* Ea vox est filii propria. Apud Ezechielem vero, *Et assumpsit*, inquit, *spiritus dei, et eiecit me* Ezech. 3,12. et 22. *in campum.* Quod ad spiritum sanctum pertinet. Eiusmodi alia proferri quam plurima possunt; e quibus pauca quaedam obiter proposuimus. Atque ut propriam ecclesiae formam ac notas ostenderemus, duo triave verba in medium attulimus, ex infinitis locis, quae illorum similia in scripturis, ac tam vetere quam novo testamento leguntur. Illud vero insuper ecclesia profitetur, dominum ipsum corpus Adamo fabricasse, et *inspirasse illi spiritum vitae,* Gen. 2. cum viventem ei procrearet animam. Tum Moysi legem tradidisse deum ipsum patrem, filium et spiritum sanctum, quae est una divinitas. Deinde ab eadem divinitate prophetas esse missos. Ad haec nostrum illum deum Iudaeorum ac Christianorum esse communem, qui Iudaeos ad iustificationem eos vocavit, qui incarnationem ipsam domini nostri Iesu Christi nequaquam abnegarent, quique illos omnes servat qui ex verae ipsius fidei praescripto vitam instituunt, neque sincerae et evangelicae illius doctrinae praedicatum ubique dogma respuunt. Venit enim, venit unigenitus, itaque mater ecclesia profitetur. Quae tranquillus pacis portus est, et suavitas quaedam vitis *cyprum redolens*, et *otium* nobis benedictionis Cant. 1, 14. proferens, nec non et praesentissimum illud abstergendo moerori potum, merum scilicet, ac verum Christi sanguinem quotidie largiens.

5. κύπρον *suspicatus est Petavius, quod plane ineptum est.*

6. πόμα *cod. Ien. et editi.* πῶμα *cod. Rhedig.*

Κεφ. ιε΄. Ὅτι ἀληθινῶς ἐγεννήθη Χριστὸς ἀπὸ Μαρίας τῆς ἀειπαρθένου, λαβὼν τὸ σῶμα ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν δοκήσει, σάρκα ἀληθινῶς, σῶμα ἀληθινῶς, σὺν ὀστέοις καὶ νεύροις καὶ πᾶσι τοῖς ἡμετέροις, μηδὲν ἀφ' ἡμῶν διηλλαγμένος, ἢ μόνον τὸ ἔνδοξον τῆς αὐτοῦ ἁγιότητος καὶ θεότητος καὶ σκεύους [1] ἁγιωσύνης καὶ δικαιοσύνης, καὶ ἀναμαρτήτως τὰ πάντα τελείως ἔχων, καὶ ἐσχηκὼς ψυχὴν τὴν ἀνθρωπίνην ἐν ἀληθείᾳ, νοῦν τὸν ἀνθρώπινον ἐν ἀληθείᾳ, οὐχ ὡς ἡμῶν διαβεβαιουμένων τὸν νοῦν εἶναι ὑπόστασιν, καθὼς ἄλλοι λέγουσι. Τὰ πάντα δὲ μὴ χρανθέντα ἐν ἁμαρτίᾳ, στόμα μὴ ψευσάμενον, χείλη μὴ λαλήσαντα δόλον, καρδίαν μὴ κλίνασαν εἰς ἐρεθισμὸν, νοῦν μὴ ἐκτραπέντα, εἰς ἃ μὴ χρὴ, σάρκα μὴ τὰ σαρκὸς ἡδονῆς ἐργασαμένην· τέλειος ἄνωθεν θεὸς, οὐκ ἐλθὼν κατοικῆσαι ἐν ἀνθρώπῳ, ἀλλ' αὐτὸς ὁ λόγος ἐνανθρωπήσας, οὐ τραπεὶς τὴν φύσιν, συμπεριειληφὼς ἅμα τῇ θεότητι τὴν ἰδίαν ἐνανθρώπησιν, ἐν μήτρᾳ παρθένου γεγονὼς ἐν ἀληθείᾳ, κυοφορηθεὶς διὰ γεννητικῶν πόρων ἀνεπαισχύντως, ἀχράντως, ἀμολύντως, ἀνατραφεὶς, καὶ ἐναγκαλισθεὶς ὑπό τε Συμεῶνος καὶ Ἄννης, βασταχθεὶς ὑπὸ Μαρίας, πεζεύσας, ὁδοιπορήσας, παιδίον γεγονὼς, ἁδρυνθεὶς τῇ ἡλικίᾳ, τὰ πάντα ἔχων ἐν ἑαυτῷ ἐν τῇ τελειότητι, ἐν ἀριθμῷ ἐτῶν λογισθεὶς, ἐν ἀριθμῷ μηνῶν, ἐν κοιλίᾳ κυοφορηθεὶς, γενόμενος ἐκ γυναικὸς, γενόμενος ὑπὸ νόμον, ἐλθὼν ἐπὶ τὸν Ἰορδάνην, βαπτισθεὶς ὑπὸ Ἰωάννου, οὐκ ἐπιδεόμενος λουτρῶν, διά τε τὸ ἀκολουθὸν τῆς ἐν νόμῳ ἐνανθρωπήσεως μὴ ταράσσων τὸ δίκαιον, ὅπως πληρωθῇ, ὡς αὐτὸς ἔφη, πᾶσα δικαιοσύνη, ἵνα δείξῃ ὅτι ἀληθινὴν σάρκα ἐνεδύσατο, ἀληθινὴν ἐνανθρώπησιν, κατερχόμενος εἰς τὰ ὕδατα, διδοὺς ἤπερ λαμβάνων, [2] παρεχόμενος ἤπερ ἐπιδεόμενος, φωτίζων αὐτὰ, ἐνδυναμῶν αὐτὰ εἰς τύπον τῶν μελλόντων ἐν αὐτῷ τελειοῦσθαι, ὅπως οἱ αὐτῷ πεπιστευκότες ἐν ἀληθείᾳ, pag. 1098. καὶ ἔχοντες τὴν πίστιν τῆς ἀληθείας, μάθωσιν ὅτι ἀληθινῶς ἐνηνθρώπησεν, ἀληθινῶς ἐβαπτίσθη, καὶ οὕτως διὰ τῆς αὐτοῦ συγκαταθέσεως καὶ αὐτοὶ ἐρχόμενοι λάβωσι τῆς αὐτοῦ καταβάσεως τὴν δύναμιν, καὶ φωτισθῶσιν ἀπὸ τῆς αὐτοῦ φωταγωγίας, πληρουμένου τοῦ ἐν τῷ προφήτῃ ῥητοῦ, Εἰς μεταλλαγὴν δυνάμεως, εἰς παροχὴν σωτηρίας τῆς δυνάμεως τοῦ ἄρτου, ἀπὸ τῆς Ἱερουσαλὴμ λαμβανομένης, καὶ τῆς ἰσχύος τοῦ ὕδατος. Ἐνταῦθα δὲ ἐν Χριστῷ ἰσχυροποιουμένων τῆς δυνάμεως τοῦ ἄρτου, καὶ τῆς τοῦ ὕδατος ἰσχύος, ἵνα οὐκ ἄρτος ἡμῖν γένηται δύναμις, ἀλλὰ δύναμις ἄρτου, [3] καὶ βρῶσις μὲν

Cap. XV. — 1. ἁγιοσύνης *ed. Petav.*
2. παρέρχομενος *vulgo habent libri, vitium iam a Cornario in versione Latina correctum.*
3. οὐ *pro* καὶ *habet codd. mss. uterque. Cf. Anacephal. pag.* 154.

Praeterea Christum e Maria semper virgine revera natum esse credit, ac reipsa corpus, non specie duntaxat induisse, carnem, inquam, corpusque verum, cum ossibus ac nervis, reliquisque quae nobis insunt omnibus; nihil ut a nobis ipsis praeterquam excellenti quadam sanctitatis ac divinitatis gloria discrepet, tum quod sanctitatis ac iustitiae vas sit. Habet autem omnia perfectissime citra peccatum. Quare humana revera est anima praeditus, humanaque mente; non quod mentem hypostasin esse dicamus, ut affirmant alii. Ceterum nulla peccati contagione foedatus est; nunquam os illius mentitum est, *Neque labia dolum locuta sunt;* cor ad irritandum deum non declinavit, mens ad ea quae nefas est non deflexit, caro nihil eorum quae ad carnis voluptatem pertinent admisit, deus ab aeterno perfectus, qui non ut in homine habitaret advenit, sed verbum ipsum hominem induit, non natura mutatum, sed eam quae hominis propria est cum divinitate complexum. In virginis utero revera genitus ac per genitales meatus in lucem editus, sine ulla turpitudine, foeditate, vel labe. Post haec educatus, atque a Symeone, et Anna in ulnis gestatus a Maria portatus, iter postea pedibus confecit, peregrinatus est, ad pueritiam pervenit, aetate corroboratus est, humana in se omnia perfecte habuit, annorum mensiumque numero census est, in praegnantis utero gestatus, *factus e muliere, factus sub lege.* Deinde ad Iordanem profectus est, ibidemque a Ioanne baptizatus, cum lotione nihil opus haberet, sed ut ea quae susceptae hominis naturae consentanea sunt servaret, iustitiae legem perturbare noluit, *ut impleretur,* quemadmodum ipse dicit, *omnis iustitia,* atque veram a se carnem veramque hominis naturam susceptam esse monstraret. Igitur ad aquas descendit, ita tamen ut conferret aliquid potius quam acciperet, largiretur magis quam rei cuiuspiam indigeret. Quippe easdem illas aquas sua luce collustravit, et ad eorum quae in sese perficienda erant, adumbrandam imaginem, quandam vim illis impertiit, ut qui ipsi revera crederent, ac veritatis essent fide praediti, intelligerent non illum ficte humanam induisse naturam, neque ficte esse aquis intinctum: eademque et ipsi ratione per eam quam ille prae se tulerat accommodationem accedentes, inditam illius descensione vim in sese transferant, eiusdemque luce perfundantur, quo propheticum impleatur oraculum, *Ad immutandam virtutem, conciliandamque salutem ex illa panis virtute, quae ab Hierusalem accipitur, aquarumque vi.* Hic enim in Christo panis virtus ac vis aquae corroboratur; ut non panis ipse sit nobis virtus, sed virtus a pane profecta; ac cibus quidem noster panis est, sed

Cap. XV. — 1.Pet. 2, 22. — Gal. 4, 4. — Matth. 3, 15.

ὁ ἄρτος, ἡ δὲ δύναμις ἐν αὐτῷ εἰς ζωογόνησιν, καὶ οὐχ ἵνα τὸ ὕδωρ ἡμᾶς καθάρῃ μόνον, ἀλλ' ἵνα ἐν τῇ ἰσχύϊ τοῦ ὕδατος διὰ τῆς πίστεως καὶ ἐνεργείας καὶ ἐλπίδος καὶ μυστηρίων τελειώσεως, καὶ ὀνομασίας τῆς ἁγιαστείας γένηται ἡμῖν εἰς τελείωσιν σωτηρίας. Ἀνελθὼν ἀπὸ τοῦ Ἰορδάνου, ἀκούων φωνὴν πατρὸς, εἰς ἀκοὴν παρόντων μαθητῶν, εἰς τὸ ὑποδεῖξαι τίς ὁ μαρτυρούμενος, καὶ [4] τοῦ πνεύματος τοῦ ἁγίου ἐν εἴδει περιστερᾶς κατερχομένου, καθάπερ ἐν πολλαῖς αἱρέσεσιν εἰρήκαμεν, ἵνα μὴ [5] συναλιφὴ ἡ τριὰς νομισθείη, σχηματοποιουμένου τοῦ πνεύματος ἐν ἰδίᾳ ὑποστάσει, ἐπικαθεζομένου δὲ τοῦ πνεύματος, καὶ ἐρχομένου ἐπ' αὐτὸν, ἵνα ὀφθῇ ὁ μαρτυρούμενος, ἵνα σὰρξ ἡ ἁγία φίλη οὖσα καὶ εὐδοκουμένη ὑπὸ τοῦ πατρὸς καὶ τοῦ πνεύματος μαρτυρηθείη, ἵνα ὁ πατὴρ εὐδοκητὴς κηρυχθείη τῆς τοῦ υἱοῦ ἐνσάρκου παρουσίας, ἵνα ὁ υἱὸς ἀληθινὸς ὀφθείη, καὶ πληρώσῃ τὸ εἰρημένον, Καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ μετὰ τῶν ἀνθρώπων συνανεστράφη· ἀνελθὼν ἀπὸ τοῦ Ἰορδάνου, καὶ σαφῶς καὶ ἀληθινῶς ἀπὸ τοῦ διαβόλου πειρασθεὶς ἐν τῇ ἐρήμῳ, καὶ πεινάσας ὕστερον διὰ τὴν ἀκολουθίαν, καὶ ἀλήθειαν τῆς ἐνσάρκου παρουσίας. Καὶ ἐπιλεξάμενος μαθητὰς, καὶ κηρύξας ἀλήθειαν, καὶ ἰασάμενος τὰ πάθη, καθευδήσας, πεινάσας, ὁδοιπορήσας, θεοσημείας ἐργασάμενος, νεκροὺς ἐγείρας, τυφλοῖς τὸ βλέπειν παρασχόμενος, χωλοὺς καὶ παραλυτικοὺς
pag. 1099. ἰσχυροποιήσας· ὡς ἐκήρυξε τὸ εὐαγγέλιον [6] τῆς ἀληθείας τὴν βασιλείαν τῶν οὐρανῶν τὴν [7] αὐτοῦ φιλανθρωπίαν, καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου [8] πνεύματος· ὁ ὑπὲρ ἡμῶν τὸ πάθος ὑπομείνας ἀληθείᾳ ἐν σαρκὶ καὶ ἐν τῇ τελείᾳ ἐνανθρωπήσει, παθὼν ἐν ἀληθείᾳ ἐπὶ τοῦ σταυροῦ, συνούσης αὐτῷ τῆς θεότητος, ἀλλ' οὐ τραπείσης εἰς τὸ πάσχειν, οὔσης δὲ ἀπαθοῦς, καὶ ἀτρέπτου· τῶν δύο ἀκολουθιῶν σαφῶς κατανοουμένων, Χριστοῦ πάσχοντος ὑπὲρ ἡμῶν σαρκὶ, ἀπαθοῦς δὲ μένοντος ἐν θεότητι· οὐ τοῦ ἀνθρώπου κατ' ἰδίαν ὄντος, καὶ τῆς θεότητος κατ' ἰδίαν, ἀλλὰ συνούσης τῆς θεότητος, μὴ πασχούσης δὲ, διὰ τὸ ἀκραιφνὲς καὶ ἀσύγκριτον τῆς οὐσίας· πάσχοντος δὲ ἐν σαρκὶ, καὶ θανατουμένου ἐν σαρκὶ, ζῶντος δὲ ἀεὶ ἐν θεότητι, καὶ ἐγείροντος τοὺς νεκρούς· τοῦ σώματος ταφέντος ἐν ἀληθείᾳ, καὶ ἀψύχου μείναντος τὸ τριήμερον, ἄπνου τε καὶ ἀκινήτου, ἐνειληθέντος δὲ διὰ τῆς σινδόνος, κατατεθέντος ἐν τῷ μνήματι, συγκλεισθέντος διὰ τοῦ λίθου, καὶ σφραγίδων ἐπιτεθέντων· οὐχὶ τῆς θεότητος συγκλεισθείσης, οὐ τῆς θεότητος ταφείσης, συγκατελθούσης δὲ τῇ ψυχῇ τῇ ἁγίᾳ εἰς τὰ καταχθόνια, ἑλούσης ἐκεῖθεν τὴν τῶν ψυχῶν αἰχμαλωσίαν, κλα-

4. τοῦ πνεύματος τοῦ ἁγίου *codd. mss.* τοῦ (τοῦ τοῦ *ed. princ.*) ἁγίου πνεύματος *editi.*

5. συναλιφὴ *codd. mss., constanter.* συναλοιφὴ *editi.*

6. τῆς ἀληθείας *codd. mss.* τὴν ἀλήθειαν *editi libri, vitiose.*

7. αὐτῶν *codd. mss. uterque.*

in ipso vitalis quaedam virtus continetur. Neque id solum actum est ut nos aqua repurgaret, sed ut aquae vi per fidem, actionem et spem ac mysteriorum initiationem et consecrationis appellationem ad perfectam absolutamque salutem nobis ipsis conferat. Ergo Christus ascendit e Iordane, vocem patris audiit, quam et discipuli, Matth. 3.
Secundum has sectas successione temporum domini nostri Iesu Christi incarnatio toti orbi salutaris illuxit, et cum hac evangelii doctrina coelestisque regni praedicatio. Qui quidem unicus est fons salutis et catholicae apostolicaeque ecclesiae vera fides. A qua insequentes omnes sectae, quae solum Christi nomen, non fidem praeferunt, amputatae sunt et avulsae. Quae sunt Simoniani, Menandriani, Saturniliani, Basilidiani, Nicolaïtae, Gnostici, qui et Stratiotici et Phibionitae, ab aliis vero Coddiani appellantur, ac Borboriani, apud alios Socratitae, apud quosdam Zacchaei: Carpocratitae, Cerinthiani, qui et Merinthiani, Nazoraei, Ebionaei, Valentini, Secundiani. Quibus accedit Epiphanes et Isidorus; Ptolemaei, Marcosii, Colorbasii, Heracleonitae, Ophitae, Caiani, Sethiani, Archontici, Cerdoniani, Marciones, Lucianistae, Appelleiani, Severiani, Tatiani, Encratitae, Phrygastae, qui et Montanistae et Tascodrugitae, Pepuziani, qui et Priscilliani ac Quintiliani. Quibus adiiciuntur Artotyritae, Tessarescaedecatitae, qui Paschatis celebritati unam quotannis diem praefiniunt, Alogi, qui evangelium et Apocalypsin Ioannis reiiciunt, Adamiani, Sampsaei, qui et Helcesaei, Theodotiani, Melchisedeciani, Bardesianistae, Noëtiani, Valesii, Cathari, qui et Novatiani, Angelici, Apostolici, qui et Apotactici, Sabelliani, Origenistae, foeditatis auctores,

11. *Scribendum fortasse* καὶ οἱ αὐτοὶ.
12. *Vulgo* Ναζιραῖοι.
13. *Fortasse* Οὐαλεντινιανοὶ, *ut habet cod. Venet. Panarii.*
14. *Fortasse* Κυϊντιλλιανοὶ.
15. *Libri vulgo* ἄλλοι.
16. *Libri vulgo* Ἐρχεσσαῖοι, *vel* Ἐρχεσαῖοι.

οἱ καὶ τοῦ Ἀδαμαντίου· Παύλου τοῦ Σαμωσατέως, Μανιχαῖοι, οἱ καὶ [17] Ἀκουανῖται, Ἱερακῖται, Μελητιανοὶ, οἱ κατ' Αἴγυπτον σχίσμα ὄντες, Ἀρειανοὶ, οἱ καὶ Ἀρειομανῖται, Αὐδιανῶν τὸ σχίσμα, [18] Φωτεινιανοὶ, Μαρκελλιανοὶ, Ἡμιάρειοι, Πνευματομάχοι, οἱ τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ βλασφημοῦντες, Ἀεριανοὶ, Ἀετιανοὶ, οἱ καὶ Ἀνομοιοὶ, οἷς συνάπτεται [19] Εὐνόμιος· Διμοιρῖται, οἱ μὴ τελείαν τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολιναρῖται, οἱ καὶ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ [20] τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὕςτινας ἐκαλέσαμεν Ἀντιδικομαριανίτας· καὶ οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας τῆς θεοτόκου κολλυρίδα προσφέροντες, οἳ καλοῦνται Κολλυριδιανοί· Μασσαλιανοὶ, οἷς συνάπτονται Μαρτυριανοὶ, οἱ ἀπὸ τῶν Ἑλλήνων καὶ Εὐφημῖται καὶ [21] Σατανιανοί.

Ἐπανιὼν δὲ αὖθις, καὶ διελὼν ταύτας κατὰ βιβλίον ὑποδείξω ἐν ταύτῃ τῇ ἀνακεφαλαιώσει πόσαι τούτων τῶν ὀγδοήκοντα αἱρέσεων ἐν τῷ πρώτῳ βιβλίῳ, καὶ καθεξῆς ἐν τῷ δευτέρῳ, ἕως τοῦ τρίτου. Ἀλλὰ καὶ καθ' ἕκαστον τῶν ἑπτὰ τόμων τῶν ἐν τρισὶ βιβλίοις συντεταγμένων, πόσαι εἰσὶν ἐν [22] αὐτῷ χωρισθεῖσαι αἱρέσεις. Καὶ ἔστιν pag. 129. *οὕτως. Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τόμοι τρεῖς, αἱρέσεις τεσσαράκοντα ἓξ, σὺν ταῖς ὀνομασίαις τούτων, φημὶ δὲ Βαρβαρισμὸν, καὶ Σκυθισμὸν, καὶ Ἑλληνισμὸν, καὶ Ἰουδαϊσμὸν, καὶ Σαμαρειτισμόν. Ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις εἴκοσι τρεῖς. Ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις ἕνδεκα. Ἐν τῷ οὖν πρώτῳ βιβλίῳ πρώτῳ τόμῳ αἱρέσεις κ', αἵ εἰσιν αἵδε· Βαρβαρισμὸς, Σκυθισμὸς, Ἑλληνισμὸς, Ἰουδαϊσμός. Ἑλλήνων διαφοραὶ, Πυθαγόρειοι, ἤγουν οἱ Περιπατητικοὶ, Πλατωνικοὶ, Στωϊκοὶ, Ἐπικούρειοι. Σαμαρειτικὴ αἵρεσις, ἡ οὖσα ἐκ τοῦ Ἰουδαϊσμοῦ. Σαμαρειτῶν ἔθνη τέσσαρα οὕτως, [23] Γοροθηνοὶ, Σεβουαῖοι, Ἐσσηνοὶ, Δοσίθεοι. Ἰουδαίων αἱρέσεις ζ' οὕτως, Γραμματεῖς, Φαρισαῖοι, Σαδδουκαῖοι, Ἡμεροβαπτισταὶ, Ὀσσαῖοι, Νασαραῖοι, Ἡρωδιανοί. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου ὡςαύτως αἱρέσεις ιγ' οὕτως, Σιμωνιανοὶ, Μενανδριανοὶ, Σατορνιλιανοὶ, Βασιλιδιανοὶ, Νικολαῖται, Γνωστικοὶ, οἱ καὶ Στρατιωτικοὶ, καὶ Φιβιωνῖται οἱ αὐτοὶ, παρὰ δέ τισι Σεκουνδιανοὶ, παρὰ δὲ ἄλλοις Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι καλούμενοι· Καρποκρατιανοὶ, Κηρινθιανοὶ, οἱ καὶ Μηρινθιανοὶ, [24] Ναζωραῖοι, Ἐβιωναῖοι, Οὐαλεντῖνοι, Σεκουνδιανοὶ, οἷς συνάπτονται Ἐπιφάνιος καὶ Ἰσίδωρος, Πτολεμαῖοι. Ἐν δὲ τῷ τρίτῳ τόμῳ τοῦ αὐτοῦ πρώτου βιβλίου αἱρέσεις ιγ' οὕτως, Μαρκώσιοι, [25] Κολορβάσιοι, Ἡρακλεωνῖται, Ὀφῖται, Καϊανοὶ, Σηθιανοὶ, Ἀρχοντικοὶ, Κερδωνιανοὶ, Μαρκίωνες, Ἀπελλιανοὶ,*

17. *Vulgo* Ἀκωανῖται.
18. φοτινιανοὶ *edit. princ.*
19. *Libri vulgo* ἀνόμοιος.
20. τὸ, *quod ex Panario restitui, vulgo*

Origenistae ab Origene qui etiam Adamantius appellatur: Paulus Samosatensis, Manichaei, qui et Acuanitae, Hieracitae, Meletiani, qui in Aegypto schisma conflarunt, Ariani qui et Ariomanitae, Audianorum secta, Photiniani, Marcelliani, Semiariani, Pneumatomachi, qui in sanctum dei spiritum contumeliosi sunt, Aëriani, Aëtiani, qui et Anomoei, quibus adiungitur Eunomius, Dimoëritae, qui perfectam Christi incarnationem minime confitentur, qui et Apollinaristae nominantur. Tum qui Mariam semper virginem postquam salvatorem genuit cum Iosepho consuevisse dicunt, quos Antidicomarianitas appellamus; item qui in nomen eiusdem Mariae collyridem offerunt, et Collyridiani vocantur; Massaliani, ad quos adiunguntur Martyriani, e gentilium secta, et Euphemitae ac Satanici.

Nunc repetita narratione, et in singulos libros distributis haeresibus, hoc in brevi compendio declarabo, quotnam ex illis haeresibus in priore libro, quot in secundo ac tertio contineantur, tum in reliquis omnibus ceterorum librorum tomis quot unicuique haereses attributae sunt. Harum itaque omnium series est eiusmodi. In primo libro tomi tres sunt, haereses XLVI suis nominibus conceptae: Barbarismus videlicet ac Scythismus, Hellenismus, Iudaismus ac Samaritismus. In secundo libro tomi duo sunt, haereses XXIII. In tertio libro tomi duo, haereses XI. In prioris itaque tomo primo haereses XX sunt, Barbarismus, Scythismus, Graecismus, Iudaismus. Graecorum porro discrimina ista sunt, Pythagorei, sive Peripatetici, Stoici, Epicurei. Samaritica haeresis, quae a Iudaismo manavit; Samaritani quatuor in partes tribuuntur, Gorthenos, Sebuaeos, Essenos, Dositheos. Iudaeorum haereses septem, Scribae, Pharisaei, Sadducaei, Hemerobaptistae, Ossaei, Nassaraei, Herodiani. In secundo tomo libri primi haereses XIII sunt, Simoniani, Menandriani, Saturniliani, Basilidiani, Nicolaitae, Gnostici, qui et Stratiotici ac Phibionitae, ab aliis vero Secundiani, ab aliis Socratitae, ab aliis Zacchaei dicuntur: Carpocratitae, Cerinthiani, qui et Merinthiani, Nazoraei, Ebionaei, Valentini, Secundiani, quibus accedunt Epiphanes et Isidorus, Ptolemaei. In tertio autem tomo prioris libri haereses itidem XIII sunt, Marcosii, Colorbasii, Heracleonitae, Ophitae, Caiani, Sethiani, Archontici, Cerdoniani, Marciones, Lucianistae, Appelle-

abest.

21. *Libri vulgo* Σατιανοί.

22. αὐτῷ *habet Epist. ad Acac. Vulgo libri* ἑαυτῷ, *pro quo Petavius reponendum esse cogitavit* ἑκάστῳ.

23. *Vulgo* Γοραινοὶ.

24. *Vulgo* Ναζαραῖοι.

25. Κολοβράσιοι *mendum typogr. est edit. Petav. Colon. repet.*

Λουκιανισταὶ, Σευηριανοὶ, Τατιανοί. Αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων. Τοῦ δὲ δευτέρου βιβλίου τόμοι δύο. Καὶ ἐν μὲν τῷ πρώτῳ τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν [26] *ἀπ' ἀρχῆς τοῦ ἀριθμοῦ ἀκολουθίαν, αἱρέσεις ιη' οὕτως, Ἐγκρατῖται, κατὰ Φρύγας, οἱ καὶ Μοντανισταὶ καὶ Τασκοδρουγῖται, Πεπουζιανοὶ, καὶ* [27] *Κυντιλιανοὶ, οἷς συνάπτονται Ἀρτοτυρῖται, Τεσσαρεςκαιδεκατῖται, οἱ τὸ Πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες, Ἄλογοι, οἱ τὸ εὐαγγέλιον καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι· Ἀδαμιανοὶ, Σαμψαῖοι,* [28] *Ἑλκεσαῖοι, Θεοδοτιανοὶ, Μελχισεδεκιανοὶ, Βαρδησιανισταὶ, Νοητιανοὶ, Οὐαλήσιοι, Καθαροὶ, Ἀγγελικοὶ, Ἀποστολικοὶ, οἱ καὶ Ἀποτακτῖται, Σαβελλιανοὶ, Ὠριγένειοι αἰσχροποιοὶ, Ὠριγένειοι οἱ τοῦ* [29] *Ἀδάμαντος. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ δευτέρου βιβλίου, πέμπτῳ δὲ ὄντι κατὰ τὸν ἀριθμὸν τὸν προειρημένον,*
pag. 130. *αἱρέσεις ε' οὕτως· Παύλου τοῦ Σαμοσατέως, Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται, Ἱερακῖται, Μελητιανοὶ, οἱ ἐν τῇ Αἰγύπτῳ πεποιηκότες τὸ σχίσμα, Ἀρειανοί. Αὕτη ἡ τοῦ δευτέρου βιβλίου τῶν τόμων ἀνακεφαλαίωσις. Ὁμοίως καὶ ἐν τῷ τρίτῳ βιβλίῳ εἰσὶ τόμοι δύο. Ἐν τῷ μὲν πρώτῳ τόμῳ τοῦ τρίτου βιβλίου, ἕκτῳ δὲ ὄντι κατὰ τὸν ἀριθμὸν, ὃν προείπομεν, αἱρέσεις ζ' οὕτως· Αὐδιανοὶ,* [30] *Φωτεινιανοὶ, Μαρκελλιανοὶ, Ἡμιάρειοι, Πνευματομάχοι, οἱ τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἅγιον βλασφημοῦντες· Ἀεριανοὶ, Ἀέτιοι, οἱ καὶ Ἀνόμοιοι. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ τρίτου βιβλίου, ἑβδόμῳ δὲ ὄντι καθ' ἣν εἴπομεν διαίρεσιν, αἱρέσεις τέσσαρες οὕτως· Διμοιραῖοι, οἱ μὴ τελείαν τὴν τοῦ Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολιναρῖται, οἱ καὶ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὓς ἐκαλέσαμεν Ἀντιδικομαριανίτας· καὶ οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδας προσφέροντες, οἵτινες καλοῦνται Κολλυριδιανοὶ, Μασσαλιανοὶ, καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως καὶ ἀληθείας ἀπολογία μετ' ἐπιτομῆς, ἥτις ἐστὶν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.*

Αὕτη ἡ ἀνακεφαλαίωσις καὶ ἐπιγραφὴ τῆς πάσης κατὰ τῶν ὀγδοήκοντα αἱρέσεων πραγματείας καὶ μιᾶς τῆς ὑπὲρ ἀληθείας ἀπολογίας, τουτέστι τῆς μόνης καθολικῆς ἐκκλησίας, ἐν τρισὶ μὲν βιβλίοις ὑποκειμένη συντεταγμένως, ἑπτὰ δὲ τόμοις διαιρεθεῖσα. Ποιησόμεθα δὲ πάλιν ἀνακεφαλαίωσιν ἑτέραν τοῦ πρώτου τόμου τοῦ πρώτου βιβλίου τοῦ κατὰ τῶν εἴκοσιν αἱρέσεων [31] *διαλαμβάνοντος. Πρῶτον μὲν γὰρ αἱ τῶν αἱρέσεων πασῶν μητέρες καὶ πρωτότυποι ὀνομασίαι, ἐξ ὧν ἄλλαι ἔφυσαν, αὗταί εἰσι.*

Βαρβαρισμὸς, ἥτις καθ' ἑαυτήν ἐστι διαρκέσασα ἀφ' ἡμερῶν τοῦ

26. *Vulgo* ἀπαρχὴν.
27. *Fortasse* Κυϊντιλλιανοί.
28. *Vulgo* κερκεσαῖοι.
29. *Repone* Ἀδαμαντίου.

iani, Severiani, Tatiani. Haec est summa tomorum trium primi libri. Secundi vero libri tomi duo sunt, cuius in priore tomo, qui quartus est, si tomos deinceps ab initio numeres, haereses XVIII continentur hoc modo. Encratitae, Cataphryges, qui et Montanistae ac Tascodrugitae, Pepuziani, qui et Quintiliani, quibus adiunguntur Artotyritae, Tessarescaedecatitae, qui Pascha in eandem anni diem coniiciunt, Alogi, qui et evangelium et Apocalypsin Ioannis repudiant, Adamiani, Sampsaei, qui et Helcesaei, Theodotiani, Melchisedeciani, Bardesianistae, Noëtiani, Valesii, Cathari, Angelici, Apostolici, qui etiam Apotactici, Sabelliani, Origenistae foeditatis auctores, Origenistae ab Origine Adamantio. In secundo autem tomo eiusdem libri, qui priore illa numerandi ratione quintus est, haereses quinque sunt. Pauli Samosatensis, Manichaei, qui et Acuanitae, Hieracitae, Meletiani, qui in Aegypto schisma fecerunt, Ariani. Atque haec est tomorum libri secundi summa. Similiter et in tertio libro tomi duo sunt. In primo tomo tertii libri, sexto autem eo quem diximus ordine, haereses VII sunt, Audiani, Photiniani, Marcelliani, Semiariani, Pneumatomachi, qui spiritui sancto contumeliose detrahunt, Aëriani, Aëtiani, qui et Anomoei, hoc est Dissimiles appellantur. In secundo vero tomo eiusdem tertii libri, septimo autem ex divisione illa quam diximus, haereses quatuor sunt, Dimoeritae, qui non perfectam Christi incarnationem confitentur, qui etiam Apollinaritae nominantur, tum qui sanctam Mariam semper virginem, postquam salvatorem genuit, cum Iosepho consuevisse dicunt, quos Antidicomarianitas nominamus, et qui in nomen eiusdem Mariae collyridas offerunt, qui vocantur Collyridiani, Massaliani. Quibus adiuncta postremo est catholicae fidei ac veritatis compendiaria defensio. In qua sancta catholica et apostolica ecclesia consistit.

Eiusmodi est summa comprehensio ac totius operis adversus octoginta haereses inscriptio, cum unica ac singulari defensione veritatis, hoc est unius ecclesiae atque catholicae. Quod opus distributum in partes tres tomos septem complectitur. Nunc aliam deinceps tomi prioris libri summam ac compendium instituemus, quo quidem in libro viginti haereses continentur. Inprimis enim haereseon omnium matres ac primariae appellationes, a quibus ceterae dimanarunt, sunt eiusmodi.

Barbarismus, qui per seipsum ab Adamo ad decem generatio-

30. *Vulgo* Φωτιανοὶ. *repet., mendose.*
31. διαλαμβάνοντες *edit. Petav. Colon.*

Ἀδὰμ ἐπὶ δέκα γενεαῖς [32] *ἕως τοῦ Νῶε. Βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ μὴ τοὺς τότε ἀνθρώπους ἀρχηγόν τινα ἔχειν, ἢ μίαν συμφωνίαν, ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει, καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγίνετο.*

Σκυθισμὸς, ἀπὸ τῶν ἡμερῶν Νῶε καὶ μετέπειτα ἄχρι τῆς τοῦ πύργου οἰκοδομῆς καὶ Βαβυλῶνος, καὶ μετὰ τὸν τοῦ πύργου χρόνον pag. 131. *ἐπὶ ὀλίγοις ἔτεσι, τουτέστιν ἕως Φαλὲκ καὶ Ῥαγὰβ, οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης κλίμα* [33] *νενευκότες τῷ τῆς Σκυθίας μέρει καὶ τοῖς αὐτῶν ἔθνεσι προσεκλίθησαν, ἀπὸ τῆς τοῦ Θάρρα ἡλικίας καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾷκες γεγόνασιν.*

Ἑλληνισμὸς [34] *πρὸ ἓξ χρόνων τοῦ Σεροὺχ ἀρξάμενος, διὰ* [35] *τὸ τῆς εἰδωλολατρίας, καὶ ὡς ἐστοίχουν τὸ τηνικαῦτα ἕκαστος κατά τινα δεισιδαιμονίαν ἐπὶ τὸ μᾶλλον πολιτικώτερον καὶ ἐπὶ ἔθη καὶ θεσμοὺς εἰδώλων μέν τοί γε ἐναρξάμενα τάττεσθαι τὰ τῶν ἀνθρώπων γένη, οἷς τότε στοιχήσαντες ἐθεοποιοῦντο, διὰ μὲν χρωμάτων διαγράφοντες τὴν ἀρχὴν, καὶ ἀπεικονίζοντες τοὺς πάλαι παρ' αὐτοῖς τετιμημένους, ἢ τυράννους, ἢ γόητάς τι δράσαντας ἐν τῷ βίῳ μνήμης ἄξιον, δι' ἀλκῆς τε ἢ σωμάτων εὐρωστίας. Ἔπειτα δὲ ἀπὸ τῶν χρόνων τοῦ Θάρρα, πατρὸς Ἀβραὰμ, καὶ δι' ἀγαλμάτων αὐτῶν τὴν πλάνην* [36] *εἰδωλολατρίας εἰσηγησάμενοι, τοὺς ἑαυτῶν προπάτορας δι' ἀπεικονισμῶν τετιμηκότες, καὶ πρὸ αὐτῶν τελευτηκότας τεχνησάμενοι, ἐκ κεραμεικῆς ἐπιστήμης τὸ πρῶτον, ἔπειτα δι' ἑκάστης τέχνης μιμησάμενοι, οἰκοδόμοι μὲν λίθον ξύσαντες, ἀργυροκόποι δὲ,* [37] *καὶ χρυσοχόοι διὰ τῆς ἰδίας ὕλης τεκτηνάμενοι, οὕτω καὶ τέκτονες, καὶ οἱ καθεξῆς. Αἰγύπτιοι δὲ καὶ Βαβυλώνιοι, ὁμοῦ καὶ Φρύγες, καὶ Φοίνικες ταύτης τῆς θρησκείας πρῶτοι εἰσηγηταὶ γεγόνασιν, ἀγαλματοποιΐας τε καὶ* [38] *μυστηρίων, ἀφ' ὧν τὰ πλεῖστα εἰς Ἕλληνας μετηνέχθη,* [39] *ἀπὸ τῆς Κέκροπος ἡλικίας τε καὶ χρόνων, καὶ καθεξῆς, μετέπειτα δὲ καὶ ὑστέρῳ πολὺ τοὺς περὶ Κρόνον καὶ Ῥέαν, Δία τε καὶ Ἀπόλλωνα καὶ τοὺς καθεξῆς θεοὺς ἀναγορεύσαντες.*

Ἕλληνες κέκληνται ἀπὸ [40] *Ἕλληνος ἀνδρός τινος, τῶν ἐν τῇ Ἑλλάδι κατῳκηκότων, καὶ τὴν προσωνυμίαν τῇ χώρᾳ* [41] *παρεχομένου. Ὡς δὲ ἕτεροί φασιν, ἀπὸ τῆς ἐλαίας τῆς ἐν Ἀθήναις βλαστησάσης. Ἴωνες δὲ τούτων ἀρχηγοὶ γεγένηνται, ὡς ἔχει ἡ ἀκρίβεια, ἀπὸ τοῦ Ἴωνος* [42] *υἱὸς ἀνδρὸς ἑνὸς τῶν τὸν πύργον οἰκοδομησάντων· δι' ἣν*

32. ἕως *restitui ex Epist. ad Acac. Libri vulgo habent* ἤ. *Petavius voluit* μέχρι.

33. *Ita in Epist. ad Acac. Libri mendose vulgo* ἀνανεοκότες.

34. *Scribendum fortasse cum Petavio et Cornario* ἐκ χρόνων, *vel* ἀπὸ τῶν χρόνων, *ut est in Epist. ad Acac.*

35. *Repone* τοι *ex Epist. ad Acac. — Pro* εἰδωλολατρίας *edit. Petav.* εἰδωλολατρείας.

36. εἰδωλολατρείας *edit. Petav.*

37. *His verbis incipit cod. Rhedig.*

38. μυντηρίων *codd. Ien. et Rhedig.*,

nes et Noëmi tempora perseveravit. Qui Barbarismus propterea dicitur quod vetustissimi illi mortalium neque certum aliquem auctorem habebant, nec inter se consentiebant, sed unusquisque pro sua voluntate vitam instituebat, ac pro lege suum quisque nutum atque arbitrium sibi proponebat.

Scythismus a Noëmi temporibus ad usque turris et Babylonis exaedificationem, ac post turrim paucis adhuc annis obtinuit, hoc est usque ad Phalec et Rhagau, qui ad Europam transeuntes in Scythiam ac nationes eiusmodi penetrarunt ab Thare temporibus et ultra, a quo Thraces oriundi sunt.

Hellenismus coepit a Seruchi temporibus. Unde idolorum cultus initium habuit. Cumque tunc temporis falsa quisque superstitione duceretur, deinceps civiliorem ad usum, et ad certas leges simulacrorumque ritus homines sese transtulerunt. Quorum ex praescripto sibi deos finxerunt. Ac primum eos quos in honore quondam habuissent, sive tyrannos, aut praestigiatores, qui memorabile quiddam in vita fecerant ac fortitudinis et roboris illustre specimen ediderant, depingere coloribus et assimilare solebant. Postea vero ab Thare patris Abraami tempore simulacris ac statuis eundem errorem idololatriae propagarunt. Quippe maiores suos simulacris honestantes ac mortuos primum arte figlina statuas effinxerunt, tum ad omnes artes imitandi pervenit industria. Nam et architecti sectis lapidibus, argentarii et aurifices nec non et fabri sua quique materia, ac reliqui deinceps effigies moliti sunt. Primi omnium Aegyptii ac Babylonii, nec non et Phryges ac Phoenices superstitiosi cultus et simulacrorum ac mysteriorum auctores extiterunt. A quibus pleraque snnt ad Graecos translata, iam tum ab aetate Cecropis, et deinceps. Postea vero longe demum intervallo Saturnum, Rheam, Iovem, Apollinem ac reliquos deos celebrare coeperunt.

Graeci nomen ab Hellene quodam sortiti sunt, qui in Graecia degens ei regioni appellationem indidit. Sunt qui ab elaea, hoc est oliva, quae Athenis exorta est, nuncupatos esse velint. Huius generis auctores ac conditores Iones fuerunt, ut ex accuratiore historia constat, qui ab Ione quodam appellati sunt unius eorum filio qui turrim exstruxerunt. Quam ob caussam Meropes appellati sunt

in quo a m. pr. videtur fuisse ἀμυντηρίων, *quam scripturam tuetur etiam cod. Paris., teste Petavio.*

39. ἢ ἀπὸ *codd. mss. et edit. princ.*

40. ἑλλήνου *codd. mss. et ed. princ.*

41. *Libri tam scripti quam editi vulgo* παρελομένου.

42. υἱοῦ *edit. Petav. Sed latet fortasse nomen* Ἰωϋνᾶν. *Cf. Epist. ad Acac. p.* 18. *meae edit. Cornarius vertit* ab Ione, uno quodam viro ex his qui turrim aedificaverunt.

αἰτίαν καὶ μέροπες κέκληνται, διὰ τὴν μεμερισμένην φωνήν. Ὕστερον δὲ ὁ Ἑλληνισμὸς εἰς αἱρέσεις κατεστάθη, κατωτέρω τῶν χρόνων, φημὶ δὲ Πυθαγορείων, καὶ Στωϊκῶν, καὶ Πλατωνικῶν, καὶ Ἐπικουρείων, καὶ λοιπῶν. Θεοσεβείας δὲ [43] χαρακτὴρ ὑπῆρχεν ἅμα ὁ κατὰ φύσιν νόμος πολιτευόμενος, ἀπὸ τούτων τῶν ἐθνῶν ἑαυτὸν ἀφορίζων ἀπὸ
pag. 132. τῆς κόσμου καταβολῆς καὶ δεῦρο μέσος τυγχάνων Βαρβαρισμοῦ καὶ Σκυθισμοῦ καὶ Ἑλληνισμοῦ, ἕως ὅτου συνήφθη τῇ τοῦ Ἀβραὰμ θεοσεβείᾳ. Καὶ μετέπειτα Ἰουδαϊσμὸς ἀπὸ τῶν χρόνων Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφώς, καὶ ἐν Μωϋσῇ, ἑβδόμῳ ἀπὸ Ἀβραάμ, διὰ τοῦ δοθέντος νόμου ὑπὸ θεοῦ πλατυνθεὶς, ἀπὸ δὲ τοῦ Ἰούδα, τετάρτου υἱοῦ [44] τοῦ Ἰακὼβ, τοῦ [45] ἐπὶ Ἰσραὴλ, διὰ Δαβὶδ τοῦ πρώτου βασιλεύσαντος ἀπὸ τῆς τοῦ αὐτοῦ [46] Ἰούδα φυλῆς τὸ τέλος κεκληρωμένος. Ἑλλήνων δὲ διαφοραὶ αἵδε·

Πυθαγόρειοι, ἢ Περιπατητικοὶ, τὴν μονάδα καὶ τὴν πρόνοιαν καὶ τὸ κωλύειν θύεσθαι θεοῖς δογματίζοντες, ἐμψύχων μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρατεύεσθαι. [47] Διώριζον δὲ ἅμα ἀπὸ σελήνης καὶ ἄνω ἀθάνατα [48] λέγοντες, τὰ δὲ ὑποκάτω θνητά. Μεταγγισμοὺς δὲ ψυχῶν ἀπὸ σωμάτων εἰς σώματα ἄχρι ζώων καὶ κνωδάλων. Σιωπῶν δὲ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἑαυτὸν θεὸν ὠνόμασε.

Πλατωνικοὶ δὲ θεὸν καὶ ὕλην καὶ εἶδος, καὶ τὸν κόσμον γεννητὸν καὶ φθαρτὸν ὑπάρχειν, τὴν δὲ ψυχὴν ἀγέννητον καὶ ἀθάνατον καὶ θείαν. Εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν. Τὰς δὲ γυναῖκας κοινὰς τοῖς πᾶσι γίνεσθαι, καὶ μηδένα μίαν ἔχειν γαμετὴν ἰδίαν, [49] ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι. Μεταγγισμὸν δὲ ὡσαύτως ψυχῶν εἰς σωμάτων διαφορὰς ἄχρι κνωδάλων, ὁμοίως δὲ καὶ θεοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς καὶ [50] αὐτοὶ ἐδογμάτισαν.

Στωϊκοὶ σῶμα τὸ πᾶν δογματίζοντες καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον θεὸν νομίζοντες, τινὲς ἐκ τῆς τοῦ πυρὸς οὐσίας τὴν φύσιν αὐτῶν ὁρίζουσι. Καὶ τὸν μὲν θεὸν νοῦν δογματίζουσι, καὶ ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους, οὐρανοῦ καὶ γῆς. Σῶμα δὲ αὐτοῦ τὸ πᾶν, ὡς ἔφην, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας. Τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι, καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα.

Ἐπικούρειοι ἄτομα καὶ ἀμερῆ σώματα, καὶ ὁμοιομερῆ τε καὶ ἄπειρα τὴν ἀρχὴν εἶναι [51] τῶν πάντων ὑπεστήσαντο, καὶ τέλος [52] εὐ-

43. ὁ χαρακτὴρ *editi libri.*
44. τοῦ *omiss. in edit. Petav. Colon. repet.*
45. *Fortasse* ἐπίκλην Ἰσραήλ. *Editi libri habent* καὶ Ἰσραήλ.
46. Ἰούδα *omiss. in edit. Petav. Colon. repet.*
47. διάρριζον *cod. Ien.* διάρροιζον *cod. Rhedig.*
48. *Edit. Petavii mendose* λέγοντος.

ab divisione linguarum. Postea vero recentioribus temporibus Graeca superstitio certas in haereses ac sectas abiit, utputa Pythagoreorum, Stoicorum, Platonicorum, Epicureorum, etc. Eodem porro tempore propria forma ac nota verae pietatis et religionis extitit, una cum lege naturae, quae ab origine mundi sese ab illis nationibus perpetuo segregavit, ad hanc usque diem inter Barbaram, Scythicam Graecamque superstitionem interiecta, donec cum Abraami pietate coaluit. Tum vero Iudaismus ab Abraami temporibus propriam formam adeptus, ac per Moysen ab Abraamo septimum ac legem a deo traditam amplificatus, et ab Iuda quarto Iacobi filio, qui et Israël nominatus est, per Davidem, qui primus e tribu Iuda regnum assecutus est, perfectum Iudaismi nomen obtinuit. Graecorum porro ista sunt discrimina.

Pythagorei, sive Periparetici, monadem et providentiam asseruerunt, diis sacrificare, animatis vesci, ac vino uti prohibuerunt. Iidem quae ab luna sursum patent, immortalia, quae inferiora sunt, mortalia dicebant. Animas e corporibus in alia corpora, etiam animalium ac bestiarum transfundi. Horum magister Pythagoras silentii rigidus observator deum haberi se voluit.

Platonici deum et materiem ac formam constituerunt; mundum genitum ac corruptioni obnoxium, animam ingenitam et immortalem ac divinam arbitrati sunt. Huius tres esse partes, unam ratione praeditam, alteram qua irascimur, tertiam qua concupiscimus. Communes omnibus uxores esse voluit; nemo ut privatam haberet ac praecipuam, sed ut quilibet quarum vellet copiam haberet. Iidem animarum in varia corpora, etiam bestiarum, transitus affirmabat. Deos denique complures ab uno esse productos.

Stoici corpus universum esse definiunt, et aspectabilem hunc mundum deum esse statuunt. Nonnulli etiam ex igne naturam illius constare defendunt. Deum quippe mentem esse putant, ac vastissimae totius molis, coeli terraeque videlicet, animam. Cuius corpus, ut dixi, totum hoc sit universum, oculi vero sidera; omnium interire carnem, et animam in diversa transire corpora sibi persuadent.

Epicurei atomos et individua corpora similibus constantia partibus, et infinita, rerum omnium principium ac finem esse docue-

49. ἀλλ' αὐτοὺς *editi.*

50. *Edit. Petavii Colon. repet. vitiose* αὐτό.

51. τοῦ *codd. mss.*

52. *Libri vulgo* εὐδαίμονα. *Vitium scripturae correxit ante Petavium Cornarius in versione Latina.*

δαιμονίας τὴν ἡδονὴν ἐδογμάτισαν, καὶ μήτε θεὸν, μήτε πρόνοιαν τὰ πάντα διοικεῖν.

pag. 133. Σαμαρειτισμὸς, καὶ οἱ ἀπ' αὐτοῦ Σαμαρεῖται, ὅς ἐστιν ἀπὸ Ἰουδαϊσμοῦ, πρὸ μὲν τοῦ καταστῆναι αἱρέσεις εἰς Ἕλληνας, καὶ πρὸ τοῦ συστῆναι αὐτῶν τὰ δόγματα, μετὰ δὲ τοῦ εἶναι Ἑλλήνων τὴν θρησκείαν, καὶ [53] μέσον τοῦ Ἰουδαϊσμοῦ τὴν πρόφασιν εἰληφὼς, ἀπὸ τῶν χρόνων Ναβουχοδονόσορ καὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας. Μέτοικοι δὲ ὄντες ἀπὸ Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν, καὶ λαβόντες τὴν Πεντάτευχον μόνην Μωϋσέως, τοῦ βασιλέως αὐτοῖς ἀποστείλαντος ἀπὸ Βαβυλῶνος διὰ ἱερέως Ἔσδρα καλουμένου· τὰ πάντα ἔχοντες ἴσα Ἰουδαίων, πλὴν τοῦ βδελύττεσθαι τὰ ἔθνη, καὶ μήτε προςψαύειν τινῶν, καὶ πλὴν τοῦ ἀρνεῖσθαι νεκρῶν ἀνάστασιν, καὶ τὰς ἄλλας προφητείας μετὰ [54] Μωϋσέως. Σαμαρειτῶν ἔθνη τέσσαρα, [55] Γοροθηνοὶ, οἱ ἄλλοις καιροῖς τὰς ἑορτὰς ἄγοντες παρὰ τοὺς Σεβουαίους· Σεβουαῖοι διὰ τὴν αὐτὴν αἰτίαν τῶν ἑορτῶν πρὸς τοὺς [56] Γοροθηνοὺς διαφερόμενοι· Ἐσσηνοὶ, μήδ' [57] ὁποτέροις ἐναντιούμενοι, τοῖς δὲ παρατυγχάνουσιν [58] ἑορτάζοντες ἀδιαφόρως· Δοσίθεοι τοῖς αὐτοῖς [59] ἔθεσιν οἷς καὶ Σαμαρεῖται ἐμπολιτευόμενοι, περιτομῇ τε καὶ σαββάτῳ καὶ τοῖς ἄλλοις [60] χρώμενοι, τῇ τε Πεντατεύχῳ, περισσότερόν τε τῶν ἄλλων φυλάττοντες τὸ ἀπέχεσθαι ἐμψύχων, ἐν νηστείαις [61] συνεχέστατα βιοῦντες. Ἔχουσι δὲ καὶ παρθενίαν τινὲς αὐτῶν, ἐγκρατεύονται δὲ ἄλλοι. Πιστεύουσι δὲ νεκρῶν ἀνάστασιν, ὅπερ ξένον ἐστὶ Σαμαρείταις.

Ἰουδαίων αἱρέσεις ἑπτά· Γραμματεῖς, οἵτινες νομικοὶ μὲν ἦσαν καὶ δευτερωταὶ παραδόσεων τῶν παρ' αὐτοῖς πρεσβυτέρων, τῇ περιττοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες, ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ' ἑαυτοῖς ἐτύπωσαν σεβάσματα δικαιότητι τῆς νομοθεσίας.

Φαρισαῖοι, ἑρμηνευόμενοι Ἀφωρισμένοι, οἱ τὸ ἀκρότατον βιοῦντες, καὶ δῆθεν τῶν ἄλλων δοκιμώτεροι. Παρ' οἷς καὶ νεκρῶν ἀνάστασις, ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι, καὶ ἡ περὶ ἀγγέλου [62] τοῦ πνεύματος ἁγίου, ὅτι ἔστι, συγκατάθεσις, πολιτεία [63] τε διάφορος, ἐγκρατεία ἕως χρόνου, καὶ παρθενία, νηστεία τε διὰ τοῦ σαββάτου, [64] ξεστῶν καθαρισμοὶ, καὶ πινάκων, καὶ ποτηρίων, ὡς καὶ οἱ Γραμ-
pag. 134. ματεῖς, ἀποδεκάτωσίς τε, καὶ ἀπαρχαὶ, καὶ ἐνδελεχὴς εὐχὴ, καὶ σχήματα [65] ἐθελοθρησκευτικὰ τῆς ἐνδυμενείας, διά τοι τῆς ἀμπεχόνης

53. *Libri vulgo* μέρος, *praeter edit. princ. quae habet* μετά. *Vitium correxi ex Epist. ad Acac.*

54. Μωϋσῆν *volebat Petavius.*

55. γορθηνοὶ *edit. princ.* γορηθινοὶ *cod. Rhedig.*

56. *Vulgo* Γορθηνούς.

57. *Ita scripsi ex Epist. ad Acac. Cod. Ien. (cum rasurae vestigio) et editi libri* ὁποτέραις. *Cod. Rhedig.* ὁποτέρως.

58. *Repone* συνεορτάζοντες. *Praepositio absorpta est syllaba* σῶν *vocabuli proxime antecedentis.*

59. ἔθνεσιν *codd. mss. et edit. princ.*

runt. Summum bonum in voluptate posuerunt; deum ac providentiam ab rerum administratione sustulerunt.

Samaritismus et Samaritae. Huius ab Iudaismo origo deducitur, quae sectarum apud Graecos divortiis et earum decretis ac dogmatibus antiquior est. Nam e sinu ipse Iudaismi prodiit circa Nabuchodonozori et Iudaicae captivitatis tempora. Primi sectae conditores ex Assyriis in Iudaeam transportati quinque duntaxat Moysis libros acceperunt, quos per Esdram sacerdotem rex ad illos Babylone submiserat. Itaque cetera habent cum Iudaeis communia, si hoc unum excipias, quod et gentes abominentur, neque quemquam contingere velint, quodque mortuorum resurrectionem ac ceteras post Moysen prophetias reiiciunt. Samaritanorum est factio divisa in partes quatuor. Primi sunt Gortheni, qui festos dies aliis quam Sebuaei temporibus indicunt. Alii Sebuaei, qui ob eandem festorum dierum occasionem a Gorthenis dissentiunt. Tertii sunt Esseni, qui neutri parti repugnant, sed cum iis in quos inciderint sine ullo discrimine festa peragunt. Postremi sunt Dosithei, qui iisdem quibus Samaritani institutis utuntur, circumcisionem, sabbatum, ac ceteris, itidemque Pentateuchum adhibent. Praecipue vero, ac prae reliquis omnibus sibi ab animatis temperant, ac perpetuo fere ieiunant. Sunt inter illos qui virginitatem colunt, alii continentiam. Resurrecturos esse mortuos credunt, quod a Samaritanorum dogmate abhorret.

Iudaeorum sectae numero VII. Ac primo Scribae, legis periti et traditionum quas a maioribus acceperant (*δευτερώσεις* vocabant) observatores fuere, ac ritus omnes superstitiosius ceteris diligentiusque tenuerunt; quos non e lege didicerant, sed sibimetipsis tanquam iustitiae legis singulares cultus ac cerimonias indixerant.

Pharisaei, quos segregatos interpretari possis, qui sanctissimam vitae rationem professi probitate ceteris antecellere videbantur. Mortuorum apud illos resurrectio, ut et apud Scribas, defenditur. Iidem angelos ac spiritum sanctum esse non negant. Vitae eximium institutum prae se ferunt. Continentiam certum ad tempus, ac virginitatem quoque suscipiunt. Bis hebdomada quaque ieiunare, urceos ac discos et pocula saepius eluere, ut et Scribae, soliti. Ad haec decimas et primitias offerre, assidue precari, certos cultus ac superstitiosa vestimentorum genera curiosius affectare,

60. χρόνοις *cod. Rhedig.*

61. δὲ συνεχέστατα *cod. Rhedig. Cf. Epist. ad Acac.*

62. καὶ *volebat Petavius. Sed ex Epist. ad Acac. restituendum potius* ἀγγέλων καὶ τοῦ πν. ἁγίου.

63. τε *particulam, quae abest ab editis, reposui ex utroque codd. mss.*

64. ξέστων *cod. Ien. et edit. princ.* ξέτων *cod. Rhedig.*

65. ἐθελοθρησκοτικὰ *codd. mss. et edit. princ.* ἐθελοθρησκητικὰ *edit. Petav.*

καὶ τῶν δαλματικῶν, ἤγουν κολοβίων, καὶ τοῦ πλατυσμοῦ τῶν φυλακτηρίων, τουτέστι σημάτων τῆς πορφύρας, καὶ κρασπέδων, καὶ ῥοΐσκων ἐπὶ τὰ πτερύγια τῆς ἀμπεχόνης, ἅτινα ταῦτα ἐτύγχανε σημεῖα τῆς παρ' αὐτοῖς ἄχρι καιροῦ ἐγκρατείας· οἳ καὶ παρεισέφερον γένεσιν καὶ εἱμαρμένην.

Σαδδουκαῖοι, [66] *ἑρμηνευόμενοι Δικαιότατοι, οἳ καὶ ἐκ γένους μὲν ἦσαν Σαμαρειτῶν, ὁμοῦ δὲ καὶ ἱερέως Σαδοὺκ, νεκρῶν μὲν ἀνάστασιν ἀρνούμενοι, καὶ μὴ παραδεχόμενοι ἄγγελον, μηδὲ πνεῦμα, τὰ δὲ λοιπὰ πάντα ὄντες Ἰουδαῖοι.*

Ἡμεροβαπτισταὶ, οἳ μὲν κατὰ πάντα Ἰουδαῖοι ἦσαν, ἔφασκον δὲ μηδένα ζωῆς αἰωνίου τυγχάνειν, εἰ μή τι ἂν καθ' ἑκάστην βαπτίζοιτο.

Ὀσσηνοὶ, οἳ δὴ Ἰταμώτατοι ἑρμηνεύονται. Ἦσαν δὲ οὗτοι κατὰ πάντα τὸν νόμον τελοῦντες, ἐχρῶντο δὲ καὶ γραφαῖς ἑτέραις μετὰ τὸν νόμον. Τοὺς δὲ πλείους τῶν μετέπειτα προφητῶν ἀπεβάλλοντο.

Νασσαραῖοι, [67] *οἳ ἑρμηνευόμενοι Ἀφηνιασταὶ, οἳ πᾶσαν σαρκοφαγίαν ἀπαγορεύουσιν, ἐμψύχων δὲ οὐδ' ὅλως μεταλαμβάνουσιν. Ἄχρι δὲ Μωϋσέως καὶ* [68]*Ἰησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ Πεντατεύχῳ ἁγίοις ὀνόμασι πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες, φημὶ δὲ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τῶν ἀνωτάτω, καὶ αὐτοῦ Μωϋσέως καὶ Ἀαρὼν καὶ Ἰησοῦ. Τὰς δὲ τῆς Πεντατεύχου γραφὰς οὐκ εἶναι Μωϋσέως δογματίζουσιν· ἀλλὰς δὲ παρὰ ταύτας* [69] *ἔχειν διαβεβαιοῦνται.*

Ἡρωδιανοὶ, οἳ Ἰουδαῖοι μὲν ἦσαν κατὰ πάντα, Ἡρώδην δὲ Χριστὸν [70] *προσεδόκων, καὶ τούτῳ περὶ τοῦ Χριστοῦ ἐπεδίδουν γέρα καὶ ὄνομα.*

Οὗτος πρῶτος [71] *τόμος περιέχων κατὰ πασῶν τῶν εἴκοσιν αἱρέσεων· ἐν αὐτῷ δὲ καὶ ἡ περὶ τῆς Χριστοῦ ἐνδημίας ὑπόθεσις, καὶ ἡ τῆς ἀληθείας ὁμολογία, ἡ μία καὶ μόνη οὖσα τοῦ θεοῦ ἀληθὴς πίστις.*

Καὶ ἕως μὲν ὧδε ἡ τῶν πρὸ Χριστοῦ εἴκοσιν αἱρέσεων ἀντιλογία, καὶ περὶ πίστεως, καὶ περὶ τῆς ἐνσάρκου τοῦ Χριστοῦ παρουσίας.

pag. 135. [72] *Εὐθὺς ἐπεδήμησε κατὰ πόδας ἡ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος παρουσία, ἥτις κατέλαβε* [73] *πρὸς τὰς προειρημένας ἑπτὰ αἱρέσεις, ἐν* [74] *δὲ Ἱεροσολύμοις. Ἔσβεσε δὲ ταύτας ἡ αὐτοῦ δύναμις, καὶ διεσκέδασε. Λοιπὸν δὲ ἀπὸ τῆς αὐτοῦ ἐπιδημίας,*

66. *Ita codd. mss., sed editi cum articulo* οἱ ἑρμηνευόμενοι.
67. *Fortasse* οἱ.
68. Ἰησοῦν *edit. Petav. vitiose. In seqq. cod. Rhedig.* ναβῆ *habet pro* ναυῆ.
69. ἔχειν *abest a cod. Rhedig.*
70. προσεδόκουν *cod. Rhedig., et cod. Ien. a m. sec.*

cuiusmodi sunt dalmaticae ac colobia, et latiora quaedam phylacteria, hoc est segmenta, fimbriaeque purpureae ac malogranata ad vestium oras appensa, quae temporariae illius continentiae signa praeferebant. Iidem postremo geneses ac fatum introducebant.

Sadducaeis ab exactissima iustitia nomen est. Qui e Samaritanorum genere a sacerdote quodam Sadoc ortum habuerunt. Mortuorum resurrectionem damnant; angelum ac spiritum funditus negant, cetera Iudaeorum similes.

Hemerobaptistae nihil ab Iudaeis praeterquam hoc uno discreparunt, quod neminem aeternae vitae compotem esse posse dicerent nisi quotidie lavaret.

Osseni, quorum nomen procacissimos significat. Qui ex praescripto legis omnia faciebant, sed alias praeterea scripturas adhibebant, et ex posterioribus prophetis plerosque reiiciebant.

Nassaraeos contumaces interpretari possis, qui carnis usu prorsus interdicunt. Ab animatis abstinent, patriarchas omnes qui in Pentateucho ad Moysis et Iesu filii Nave tempora continentur adsciscunt et iis fidem adhibent, cuiusmodi sunt, Abraam, Isaac et Iacob, iisque superiores omnes, nec non et Moyses ipse cum Aarone atque Iesu. Ceterum quinque illa volumina Moysis esse non putant, et alia ab iis diversa penes se esse iactitant.

Herodiani cum Iudaeos in omnibus sese praestarent, Herodem Christum esse profitebantur, eique Christi dignitatem ac nomen affingebant.

Primus iste tomus est, qui haereses XX continet, et in eodem de incarnatione Christi ac veritatis professione postremo loco disseritur.

Hactenus itaque XX illarum haereseon quae Christum antecesserunt confutatio ac fidei et incarnationis Christi declarata ratio est.

Sed e vestigio Christi Iesu domini nostri adventus cum eo quod susceperat corpore consecutus est, qui et VII illas haereses Hierosolymis offendit, et easdem sua vi dissipavit et extinxit. Quamobrem reliquae omnes haereses adventu illo posteriores fuerunt, ni-

71. νόμος *codd. mss. et edit. princ.*
72. *V. Panar. pag.* 47 *sqq.* (*Pet.*)
73. πρὸς, *quod abest a Panar., delendum iudicavit Petav., praeter necessitatem.*
74. δὲ, *quod non legitur in Panario, uncinis notavit Petav., praeter necessitatem.*

[75] μετὰ τὸ εὐαγγελισθῆναι Μαριὰμ ἐν Ναζαρὲτ, καὶ [76] συνειλῆφθαι τὸν λόγον τὸν ὄντα ἀπ' οὐρανοῦ ἐκ κόλπων πατρῴων, γεγεννημένον ἀχρόνως καὶ ἀνάρχως, ἐλθόντα δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν θεὸν λόγον ὄντα ἐκ θεοῦ πατρὸς ἀληθινῶς γεγεννημένον, ὁμοούσιον ὄντα τῷ πατρὶ, καὶ οὐδὲν παρὰ τὸν πατέρα [77] ἠλλοιωμένον, ἀλλ' ἄτρεπτον ὄντα καὶ ἀναλλοίωτον, ἀπαθῆ τε ὅλως, συμπάσχοντα δὲ τῷ ἡμετέρῳ γένει, καὶ ἐλθόντα ἀπ' οὐρανοῦ, ἐγκυμονηθέντα οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλ' ἀπὸ πνεύματος ἁγίου ἀληθινῶς, σῶμα ἀπὸ Μαρίας ἐσχηκότα, ἀναπλάσαντα ἑαυτῷ τὴν σάρκα ἀπὸ τῆς μήτρας τῆς ἁγίας, ψυχὴν τὴν ἀνθρωπίνην εἰληφότα, καὶ νοῦν, καὶ πᾶν εἴ τι ἔστιν ἄνθρωπος εἰς ἑαυτὸν τῇ ἑαυτοῦ θεότητι συνενώσαντα, γεγεννημένον τε ἐν Βηθλεὲμ, περιτμηθέντα, προσενεχθέντα ἐν Ἱεροσολύμοις, ἐναγκαλισθέντα ὑπὸ Συμεὼν, ἀνθομολογηθέντα ὑπὸ Ἄννης τῆς τοῦ Φανουὴλ προφήτιδος, [78] ληφθέντα εἰς Ναζαρὲτ, ἐλθόντα τῷ ἑξῆς ἐνιαυτῷ ὀφθῆναι ἐνώπιον κυρίου, γενόμενόν τε ἐν Βηθλεὲμ διὰ τὴν συγγένειαν, ὑπὸ τῆς μητρὸς βασταζόμενον, αὖθις πάλιν εἰς Ναζαρὲτ ἀπαρθέντα, καὶ κατὰ δευτέραν περίοδον ἐνιαυτῶν εἰς τὰ Ἱεροσόλυμα ἐληλυθότα, βασταζόμενον ὑπὸ τῆς ἰδίας μητρός· ἐν Βηθλεὲμ ἐν οἰκίᾳ κατελθόντα σὺν τῇ ἰδίᾳ μητρὶ καὶ Ἰωσὴφ, γέροντι ὄντι, σὺν τῇ Μαριὰμ δὲ ὄντι, κἀκεῖσε τῷ δευτέρῳ ἔτει τῆς αὐτοῦ γεννήσεως κατοπτευθέντα, δῶρα λαβόντα, καὶ ἐν αὐτῇ [79] τῇ νυκτὶ ὑπὸ ἀγγέλου τῷ Ἰωσὴφ χρηματίσαντος εἰς Αἴγυπτον [80] παραληφθέντα, καὶ κατεληλυθότα ἐκεῖθεν πάλιν, διὰ δύο ἐτῶν ἀνεληλυθότα, τελευτήσαντος τοῦ Ἡρώδου, Ἀρχελάου δὲ διαδεξαμένου.

Τῷ γὰρ τριακοστῷ τρίτῳ Ἡρώδου, τεσσαρακοστῷ δὲ δευτέρῳ Αὐγούστου τοῦ βασιλέως, γεννᾶται ὁ σωτὴρ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. pag. 136. Κάτεισι δὲ εἰς Αἴγυπτον τῷ τριακοστῷ πέμπτῳ Ἡρώδου, ἄνεισι δὲ ἀπ' Αἰγύπτου μετὰ τὴν Ἡρώδου τελευτήν. Δι' ὧν ἐπὶ τριάκοντα ἑπτὰ ἔτεσι τῆς αὐτῆς τοῦ Ἡρώδου ἀρχῆς ἦν ὁ παῖς τεσσάρων ἐτῶν, ὅτε Ἡρώδης τριακοστὸν ἕβδομον πληρώσας [81] κατέστρεψε τὸν βίον. Ἀρχέλαος δὲ ἐννέα ἔτη βασιλεύει, [82] ὡς ἐξιὼν Ἰωσὴφ ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδίῳ, ἀκούσας τὸν Ἀρχέλαον βασιλεύειν, ἀνεχώρησεν εἰς τὰ μέρη [83] Γαλιλαίας, καὶ κατῴκησεν εἰς [84] Ναζαρέτ. Ἀρχέλαος δὲ γεννᾷ τὸν Ἡρώδην τὸν νεώτερον, καὶ βασιλεύει Ἡρώδης τῷ ἐννάτῳ ἔτει τῆς τοῦ πατρὸς βασιλείας Ἀρχελάου κατὰ διαδοχήν. Καὶ γέγονε λογιζόμενα δεκατρία ἔτη τῇ ἐνσάρκῳ Χριστοῦ παρουσίᾳ. Ὀκτωκαιδεκάτῳ δὲ ἔτει

75. *Petavius, non agnito orationis anacolutho, supplendum putavit ex Panario* αἱ μετέπειτα πᾶσαι γεγόνασιν αἱρέσεις, λέγω δή. *Et Cornarius vertit* Deinceps vero post ipsius adventum posteriores omnes haereses fuerunt, dico autem postquam nuntium *cett.*

76. συνειληφθέναι *cod. Ien. et editi.* συνειληφθαῖναι *cod. Rhedig.* συνειληφέναι *habet margo exempli Schott., siglo M. adscripto.* συνειλῆφθαι *emendavit iam Petavius.*

mirum postquam Maria virgo Nazareti a Gabriele coelestem nuntium accepit, ac verbum illud genitum est, quod coelitus e paterno sinu prodiit, ante tempus atque initium omne productum, idemque extremis temporibus allapsum, deus verbum a deo patre revera genitus, eiusdemque cum illo substantiae, nec ulla re a patre mutatus, sed vicissitudinis ac mutationis et affectionis omnis expers. Qui cum citra ullam animi commotionem generis nostri misertus foret, descendit e coelo, ac de spiritu sancto, non e virili semine, productus verum corpus e Maria suscepit, cum e sancto eius utero carnem sibi finxisset, humanamque tum animam, tum mentem induisset, ac quicquid omnino cum homine coniunctum est, praeter peccatum secum, ac cum divinitate sua copulasset. Inde Bethleemi in lucem editus, atque circumcisus, Hierosolymis oblatus est, ibique a Symeone inter brachia susceptus, et ab Anna Phanuelis filia prophetissa praedicatus, Nazaretum deportatus est. Tum anno sequenti se coram deo repraesentavit, atque inde Bethleemum propter generis propinquitatem a matre delatus est. Sed rursum Nazaretum rediens anno altero vertente Hierosolyma, gestante matre, perductus est. Bethleemi porro cum ad aedes quasdam cum matre ac Iosepho divertisset, qui iam grandi natu cum Maria degebat, secundo ab Nativitate anno (a Magis) conventus ac donis ornatus est. Eadem vero nocte cum Iosephus per somnium ab angelo esset admonitus in Aegyptum transfertur. Unde rursus post biennium mortuo iam Herode ac succedente Archelao revertitur.

Siquidem anno Herodis XXXIII., Augusti XLII., Bethleemi in Iudaea salvator nascitur. Tum Herodis XXXV. in Aegyptum profectus est. Eodem Herode mortuo ab Aegypto rediit. Quare necesse est XXXVII. Herodis anno quartum aetatis suae puerulum egisse, cum Herodes, inquam, septem ac triginta confectis annis vivendi finem habuit. Post hunc Archelaus novem annis imperavit; quo regnum ineunte Iosephus ex Aegypto cum Maria ac puero digressus, ubi Archelaum imperare didicit, in Galilaeam secessit, ac tum Nazarethi consedit. Ceterum Archelaus Herodem iuniorem genuit, qui nono patris anno in imperium successit. Idemque annus a nativitate Christi XIII. numerandus est. Octavodecimo anno

77. ἀλλοιωμένον *cod. Rhedig., et cod. Ien. a m. pr.*

78. *Vulgo* λειφθέντα. *Petav. ex Panario volebat* ἀπενεχθέντα. *Cornarius vertit* assumptus in Nazaret. *Sic paulo infra* παραληφθέντα εἰς Αἴγυπτον.

79. τῇ *omiss. in edit. Petav.*

80. παραλειφθέντα *codd. mss. et edit. princ.*

81. ἐπέστρεψε (? ἀπέστρεψε) *cod. Rhedig.*

82. „Melius οὗ ἐν ἀρχῇ τῆς βασιλείας ἐξιὼν". *Petavius Vulgo distinguunt* τὸν βίον, Ἀρχέλαος δὲ *cett.*

83. *Editi* τῆς Γαλιλαίας.

84. *Libri vulgo* Ναζαρέθ.

Ἡρώδου τοῦ ἐπικληθέντος [85] Ἀγρίππα ἤρξατο ὁ Ἰησοῦς τοῦ κηρύγματος καὶ τὸ βάπτισμα τὸ ἀπὸ Ἰωάννου τότε λαμβάνει, καὶ κηρύσσει ἐνιαυτὸν δεκτὸν, ὑπ' οὐδενὸς ἀντιλεγόμενος, οὔτε ὑπὸ Ἰουδαίων, οὔτε ὑπὸ Ἑλλήνων, οὔτε ὑπὸ Σαμαρειτῶν, οὔτε ὑπό τινος ἑτέρου. Ἔπειτα ἀντιλεγόμενος ἐκήρυξεν ἐνιαυτὸν [86] δεύτερον, καὶ γέγονεν ἐννεακαίδεκα ἔτη τῷ αὐτῷ Ἡρώδῃ, τῷ δὲ σωτῆρι τριακοστὸν δεύτερον. Ἐν δὲ τῷ εἰκοστῷ ἔτει Ἡρώδου τοῦ Τετράρχου καλουμένου γίνεται τὸ σωτήριον πάθος, καὶ ἡ ἀπάθεια, γεῦσίς τε θανάτου ἄχρι σταυροῦ, πάσχοντος ἐν ἀληθείᾳ, ἀπαθοῦς δὲ μένοντος ἐν θεότητι. Χριστοῦ γὰρ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, φησὶ ἡ θεία γραφή. Καὶ πάλιν, Θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι, καὶ τὰ ἑξῆς. Σταυροῦται, θάπτεται, κατέρχεται εἰς τὰ καταχθόνια ἐν θεότητι καὶ ἐν ψυχῇ, αἰχμαλωτεύει τὴν αἰχμαλωσίαν, καὶ ἀνίσταται τριήμερος σὺν αὐτῷ τῷ [87] ἁγίῳ πνεύματι, συνενώσας τὸ σῶμα τῇ θεότητι, μηκέτι λυόμενον, μηκέτι πάσχον, μηκέτι ὑπὸ τοῦ θανάτου κυριευόμενον, ὥς φησιν ὁ ἀπόστολος, Θάνατος αὐτοῦ οὐκέτι [88] κυριεύει, αὐτὸ τὸ σῶμα ἀληθινῶς, αὐτὴν τὴν σάρκα, αὐτὴν τὴν ψυχὴν, αὐτὰ τὰ πάντα· οὐκ ἄλλο τι παρὰ τὸ ὂν σῶμα, ἀλλ' αὐτὸ ὂν ἐνδυναμώσας καὶ ἑνώσας εἰς μίαν ἑνότητα καὶ εἰς μίαν θεότητα, τὸ σαρκικὸν ἄφθαρτον, τὸ σωματικὸν πνευματικὸν, τὸ παχυ- pag. 137. μερὲς λεπτομερὲς, τὸ θνητὸν ἀθάνατον, μὴ ἑωρακὸς ὅλως διαφθορὰν, μὴ καταλειφθείσης τῆς ψυχῆς εἰς ᾅδην, μὴ μερισθέντος τοῦ ὀργάνου εἰς ἁμαρτίαν, μὴ χρανθέντος τοῦ νοῦ εἰς τροπήν· ἀλλὰ τὰ ὅλα ἀνθρώπου λαβὼν, φυλάξας δὲ ὅλα [89] τὰ τέλεια, ἐπιδεδωκυίας τῆς θεότητος τῇ ἀληθινῇ ἐνανθρωπήσει, [90] ταῖς χρείαις, ταῖς εὐλογίαις, κατὰ τὰς σωματικάς τε καὶ ψυχικὰς, καὶ ἐκ νοῦ ἀνθρωπίνου κεκτημένας τὴν πληροφορίαν, [91] τὰ τῇ πείνῃ, καὶ δίψῃ, καὶ κλαυθμῷ τε καὶ ἀθυμίᾳ, δάκρυσί τε καὶ ὕπνῳ, καμάτῳ καὶ ἀναπαύσει. Ταῦτα γὰρ οὐχ ἁμαρτίας εἶδος, ἀλλ' ἀνθρωπισμοῦ ἀληθεστάτου, ἀληθείᾳ τῆς θεότητος συνούσης, οὐ τὰ ἀνθρώπινα πασχούσης, ἀλλὰ τῆς θεότητος συνευδοκούσης εἰς τὰ εὔλογα, καὶ ἐκτὸς ἁμαρτίας καὶ τροπῆς ἀπηγορευμένης ὑπαρχούσης. Ἀλλὰ καὶ ἀνέστη, καὶ θυρῶν κεκλεισμένων εἰςῆλθεν, ἵνα τὸ παχυμερὲς λεπτομερὲς ἀποδείξῃ, αὐτὸ τὸ ὂν σὺν σαρκὶ καὶ ὀστέοις. Μετὰ γὰρ τὸ εἰςελθεῖν ἔδειξε χεῖρας καὶ πόδας

85. Ἀντιπᾶ *suspicatus est Ios. Scaliger.*

86. δεύτερον *codd. mss. uterque. Etiam Cornarius vertit* secundum. δεκτὸν *editi libri.*

87. ἁγίῳ *abest a cod. Rhedig.*

88. *Post* κυριεύει *Petavius perperam ruptis orationis continuae membris puncto posito novum incepit segmentum.*

89. τὰ *uncinis notavit Petavius.*

90. „Rectius in lib. I. εὐλόγους χρείας *scripsit.*" *Petavius. Immo in Panario pag.* 49. *legitur* πρὸς τὰς εὐλόγους χρείας. *Rescribendum puto* ταῖς χρείαις, ταῖς εὐλόγοις, κατὰ τὰ σωματικά τε καὶ ψυχικὰ κτλ. *Cornarius vertit* et omnibus perfecte servatis, concedente deitate verae humanitati, in necessitatibus honestis, corporalibus ac animalibus, et ex mente humana requisitus ad perfectionem, hoc est in fame *cett.*

91. τῷ *codd. mss. uterque.* τὰ *editi. Restituendum puto* κεκτημένος τὴν πλη-

Herodis Agrippae Iesus Christus promulgare divinum verbum aggressus est, ac cum Ioannis baptismo initiatur, tum annum illum acceptum in ea praeconii functione consumit, nullo neque Iudaeorum, neque gentilium, neque Samaritanorum, neque alterius generis repugnante. Secundo praeconii coelestis anno quamplurimos obtrectatores habuit, qui quidem Herodis eiusdem XIX., Christi XXXII. extitit. Demum XX. tetrarchae Herodis anno Christus dominus ob humani generis salutem passus, atque eodem tempore nihil passus est, tum cum mortem degustans ipsum etiam crucis supplicium subiit, cum interim nihil ipsa divinitate pateretur. *Christo* 1. Petr. 4, 1.
enim, ait scriptura, *pro nobis in carne passo:* rursumque, *Morti-* 1. Pet. 3, 18.
ficatus carne, vivificatus autem spiritu, et quae sequuntur. In cruce suspenditur, sepelitur, ad inferos cum divinitate sua animaque descendit, captivam ducit captivitatem, ac tertio die cum sanctissimo suo corpore ad vitam excitatur. Quod quidem corpus neque dissolvendum amplius, nec passurum, nec sub mortis dominatum postea cessurum cum sua divinitate coniunxit. Id quod apostoli testimonio comprobatur: *Mors*, inquit, *non amplius ei dominabitur*. Hoc igi- Rom. 6, 9.
tur ipsum corpus, carnem ipsam et animam, ipsa quibus constabat omnia, non aliud quicquam praeter verum corpus, sed ipsummet illud vi coelesti perfudit, et in unum idemque, in unam, inquam, divinitatem consociavit, ut et carne constans et incorruptum, corporeum simul ac spiritale, concretum ac tenue, mortale pariter atque immortale illud esset, quod nulla omnino tabe dissolutum fuerat, neque eius anima apud inferos relicta, nec ipsum velut instrumentum quoddam aliqua ex parte peccati in obsequium impensum, neque mens ulla erat in deterius mutatione polluta: sed ita sibi omnia quae hominum propria sunt adscivit, eadem ut integra servaret quae verae illi quam sibi conciliaverat naturae necessarios ad usus divinitas concesserat, usus nimirum illos qui ut esse penitus possint partim corporis egent, partim animi atque humanae mentis adminiculo, cuiusmodi sunt fames, sitis, fletus ac dolor, lacrymae, somnus ac requies. Haec enim omnia nulla infuscata peccati specie susceptae reipsa naturae hominis argumenta continent; qua cum vere consociata divinitas humanum tamen patitur nihil, tametsi quae rationi consentanea forent, admiserit, atque ab omni scelere, et in peius ac vetitum mutatione procul abfuerit. Ad haec excitatus Ioann. 20.
a morte Christus occlusis ianuis ingressus est, uti quod hactenus crassum concretumque fuerat corpus, eadem cum carne ossibusque tenue ac subtile esse monstraret. Statim enim atque introgressus

ροφορίαν αὐτῷ, τῇ πείνῃ κτλ.

καὶ πλευρὰν νενυγμένην, ὀστέα τε καὶ νεῦρα, καὶ τὰ ἄλλα, ὡς μὴ εἶναι φαντασίαν τὸ ὁρώμενον, πίστεώς τε καὶ ἐλπίδος τῆς ἡμετέρας τὴν ὑπόσχεσιν ἐποιεῖτο δι' ἑαυτοῦ, τὰ ὅλα τελειώσας, καὶ συνεσθίων καὶ συναυλιζόμενος, οὐ δοκήσει, ἀλλ' ἀληθείᾳ· παιδεύων τε ἐδίδαξε βασιλείαν οὐρανῶν, κηρύσσειν ἐν ἀληθείᾳ τὸ μέγα καὶ κορυφαιότατον σημαίνων τοῖς μαθηταῖς καὶ λέγων, Μαθητεύσατε τὰ ἔθνη, τουτέστι μεταβάλλετε τὰ ἔθνη ἀπὸ κακίας εἰς τὴν ἀλήθειαν, ἀπὸ αἱρέσεων εἰς μίαν [92] θεότητα, βαπτίζοντες αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, εἰς τὴν κυριακὴν ὀνομασίαν τῆς τριάδος ἁγίαν, καὶ βασιλικὴν [93] σφραγῖδα, ἵνα δείξῃ ἐκ τοῦ ὀνόματος μηδεμίαν ἀλλοίωσιν εἶναι τῆς μιᾶς ἑνότητος. Ὅπου γὰρ οἱ βαπτιζόμενοι κελεύονται εἰς ὄνομα πατρὸς, καὶ [94] ἀσφαλῶς ἡ δοξολογία· εἰς ὄνομα υἱοῦ, οὐκ [95] ἀποδεόντως ἡ ἐπίκλησις· εἰς ὄνομα ἁγίου πνεύματος, οὐ διῃρημένη ἡ ἕνωσις, οὐδὲ ἀπηλλοτριωμένη τῆς μιᾶς θεότητος.

pag. 138. *Ἀνελήφθη εἰς οὐρανοὺς ἐν [96] αὐτῷ τῷ σώματι καὶ τῇ ψυχῇ καὶ τῷ νῷ, συνενώσας εἰς μίαν ἑνότητα καὶ μίαν πνευματικὴν ὑπόστασιν, καὶ ἔνθεον ἀποτελέσας ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, πέμψας κήρυκας εἰς ὅλην τὴν οἰκουμένην, Σίμωνα Πέτρον, Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην τοὺς υἱοὺς Ζεβεδαίου, οὓς πάλαι ἐξελέξατο, Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον καὶ Θωμᾶν, καὶ Ἰούδαν, καὶ Θαδδαῖον, Σίμωνα τὸν Ζηλωτὴν, Ἰούδαν τε τὸν Ἰσκαριώτην καὶ προδότην αὐτοῦ γενόμενον, καὶ ἄλλους ἑβδομήκοντα δύο, ἐξ ὧν ἦσαν ἑπτὰ οἱ ἐπὶ τῶν χηρῶν, Στέφανος, Φίλιππος, Πρόχορος, Νικάνωρ, Τίμων, Παρμενᾶς, καὶ Νικόλαος, πρὸς τούτοις Ματθίας, ὁ ἀντὶ Ἰούδα ἔσχατον συμψηφισθεὶς μετὰ τῶν δώδεκα ἀποστόλων, μετὰ δὲ τούτων πάντων Μάρκος, Λουκᾶς, Ἰοῦστος, Βαρνάβας, καὶ Ἀπελλῆς, Ῥοῦφος, Νίγερ, καὶ οἱ λοιποὶ τῶν [97] ἑβδομηκονταδύο. Μετὰ τούτους δὲ πάντας καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἁγιώτατον ἀπόστολον, ἐκλεξάμενος διὰ φωνῆς ἰδίας ἀπ' οὐρανοῦ, ἀπόστολον ὁμοῦ καὶ κήρυκα ἐθνῶν καὶ πληρωτὴν ἀποστολικῆς διακονίας ἀπέστειλε. Καὶ εὑρίσκει Λουκᾶν τῶν ἑβδομηκονταδύο ὄντα τῶν ἐσκορπισμένων, καὶ ἀκόλουθον αὐτὸν ἔλαβε, καὶ συνεργὸν τοῦ εὐαγγελίου. Οὕτως γοῦν ἐτελέσθη ἡ πᾶσα εὐαγγελικὴ πραγματεία ἕως τούτου τοῦ χρόνου.*

Ἔσται δέ μοι ὁ λόγος ἕως ὧδε περὶ τῶν εἴκοσιν αἱρέσεων καὶ τῆς

92. ἑνότητα *habet Panarium.*
93. σφραγίδα *codd. mss. et ed. princ., uti constanter.*
94. ἀσφαλὴς *habet Panar. pag.* 50.
95. ἀποδεόντως *cod. Ien. et edit. princ.* ἀποδέοντος *cod. Rhedig. et edit. Petav.*

est, manus ac pedes et confossum latus cum ossibus ac nervis ostendit, adeo quae tum videbantur solida erant, nec specie tenus extabant. Quibus rebus eorum omnium quae fidei speique nostrae proposita sunt promissorum per sese veritatem confirmavit perficiens omnia, neque ficta duntaxat imagine, sed reipsa cum suis convescens et habitans. Quin eosdem instituit, ac coeleste regnum cum veritate nuntiare docuit, tum cum maximum illud longeque praecipuum arcanum discipulis aperuit: *Docete*, inquit, *omnes gentes*. Matth. 28, 19. Hoc est, Ab improbitate illas ad veritatem, ab sectis variis ad eandem divinitatem traducite: *Baptizate eas in nomine patris et filii et spiritus sancti*, nimirum in dominica trinitatis appellatione, quod ipsum sacrosanctum est ac regium signum, quo vel ipso nomine significaret, nihil esse ab unitate diversum. Cum enim baptizari homines iubet *in nomine patris*, firma ac stabilis est gloriae praedicatio. Quod vero additur *in nomine filii*, nulla re hunc a paterna dignitate deficere appellatio ipsa declarat. Postremo iis in verbis, *In nomine spiritus sancti*, nulla est coniunctionis divisio, varietas nulla, neque ab una divinitate diversitas.

Denique eodem cum corpore et anima menteque ad superos evectus est, omnibus illis in unum conflatis, atque in eandem spiritalem personam concurrentibus divinisque redditis. Inde mox ut ad patris dextram consedit, praecones in universum orbem dimisit, Simonem Petrum, et Andream eius fratrem, Iacobum, et Ioannem Zebedaei filios, quos olim delegerat, Philippum et Bartholomaeum, Matthaeum, Thomam, et Iudam, ac Thaddaeum, et Simonem Zeloten, et Iudam Iscariotem, a quo ille traditus est. Item alios LXXII, e quibus VII illi fuere qui ad viduarum obsequium delecti sunt, Stephanus, Philippus, Prochorus, Nicanor, Timon, Parmenas, et Nicolaus, et praeter hos Matthias, qui loco Iudae inter apostolos cooptatus est. Accesserunt ad illos Marcus, Lucas, Iustus, Barnabas, Appelles, Rufus, Niger, ac reliqui LXXII. Quibuscum etiam sanctum Paulum suapte de coelo voce missa apostolum gentium ac praeconem et apostolicae doctrinae consummatorem instituit. Qui quidem sanctum Lucam, ut memorant, unum e LXXII discipulis, qui dissipati fuerant, reduxit, eumque comitem et adiutorem evangelii simul et apostolum adhibuit. Hoc modo totum evangelii negotium ad id usque temporis confectum est.

Atque hactenus de XI sectis, deque eo quod ordine consecu-

Item Panar. Cornarius vertit certa fit glorificatio: in nomen filii, non deficientis est nomenclatura *cett.*

96. ἑαυτῷ *codd. mss. et edit. princ.*
97. ὅδύο *codd. mss. uterque.*

κατὰ ἀκολουθίαν ἐν συντόμῳ εὐαγγελικῆς τοῦ κόσμου φωταγωγίας διὰ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ γεγεννημένης, οἷς καὶ ὅμοια συλλέξαι καὶ παραθέσθαι τὰ προθεσπίσματά τε καὶ τὰς προφητείας ἀπὸ νόμου τε καὶ ψαλμῶν, καὶ τῶν ἄλλων τὰς ἀκολουθίας καὶ ἀγωγὰς [98] *ἔνεστιν ἰδεῖν, καὶ τὴν ἀκρίβειαν καταλαβέσθαι, ὡς οὐ νόθος, ἀλλ' ἀληθὴς, καὶ προκαταγγελθεῖσα ἀπὸ πάσης τῆς παλαιᾶς διαθήκης, καὶ ἀναμφίβολός ἐστιν ἡ τοῦ Χριστοῦ παρουσία καὶ εὐαγγελικὴ διδασκαλία. Ἵνα δὲ μὴ εἰς ὄγκον παρεκτείνω τὴν τῆς συντάξεως πραγματείαν, τούτοις ἀρκεσθήσομαι.*

Προϊὼν δὲ ἐφεξῆς τὰς μετέπειτα τῷ βίῳ ἐπιφυείσας ἐπὶ κακῇ προφάσει δόξας ὁμοίως [99] *διαγράψω.*

pag. 139. *Καὶ ταῦτα γὰρ ἔνεστιν ἐν τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου, διαλαμβάνοντα περὶ δεκατριῶν αἱρέσεων, ὧν πρώτη ἡ τοῦ Σίμωνος τοῦ Μάγου, ὃς εὐθὺς μετὰ Χριστὸν ἔτι κηρυσσόντων τῶν ἀποστόλων ἐφάνη, ἀφ' οὗ καὶ Σιμωνιανοὶ ἐκλήθησαν, οἱ τῇ* [100] *αὐτοῦ αἱρέσει προςκείμενοι. Οὗτος ἐκ Σαμαρείας ὡρμᾶτο, κώμης* [1] *Γιτθῶν, Χριστοῦ δὲ ὑπέδυεν ὄνομα μόνον.* [2] *Ἔδειξε δὲ αἰσχροποιΐαν, τὴν μίξιν μολυσμοῦ γυναικῶν* [3] *ἀδιάφορον. Σωμάτων δὲ ἀπέβαλε τὴν ἀνάστασιν, καὶ τὸν κόσμον μὴ εἶναι θεοῦ ἔλεγε. Εἰκόνα δὲ ἑαυτοῦ καὶ τῆς σὺν αὐτῷ πόρνης Ἑλένης, ὡςεὶ Διὸς καὶ Ἀθηνᾶς, παρεδίδου τοῖς ἑαυτοῦ μαθηταῖς εἰς προςκύνησιν. Ἔλεγε δὲ ἑαυτὸν Σαμαρείταις μὲν τὸν πατέρα, Ἰουδαίοις δὲ τὸν Χριστόν.*

[4] *Μενανδριανοὶ, οἱ ἀπὸ Μενάνδρου τινὸς,* [5] *ὃς διέφερε μὲν κατά τι πρὸς τοὺς Σιμωνιανοὺς, ἀπὸ ἀγγέλων δὲ ἔλεγε τὸν κόσμον γεγενῆσθαι.*

Σατορνιλιανοὶ, οἱ κατὰ τὴν Συρίαν τὴν τῶν Σιμωνιανῶν κρατύναντες αἰσχρουργίαν, ἕτερα δὲ παρὰ τοὺς Σιμωνιανοὺς εἰς ἔκπληξιν περιττοτέραν κηρύττοντες, ἀπὸ δὲ Σατορνίλου τὴν ἀρχὴν ἐσχηκότες, ὃς καὶ [6] *αὐτὸς κατὰ Μένανδρον ὑπὸ ἀγγέλων τὸν κόσμον γεγεννῆσθαι ἔφασκε, μόνον δὲ ἑπτὰ παρὰ τὴν τοῦ ἄνω πατρὸς γνώμην.*

Βασιλιδιανοὶ, τῆς αὐτῆς αἰσχρουργίας τελεσταὶ, ἀπὸ Βασιλίδου [7] *τοῦ ἅμα Σατορνίλῳ, τοῖς Σιμωνιανοῖς καὶ* [8] *Μενανδριανοῖς μεμαθητευμένου, τὰ ὅμοια μὲν φρονοῦντος, κατά τι δὲ διαφερομένου. Λέγει δὲ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς εἶναι, καὶ* [9] *τούτοις ὀνόματα ἀγγελικὰ ἐκτίθησι, διὸ καὶ τὸν ἐνιαυτὸν τοσούτων ἡμερῶν εἶναι, καὶ τὸ* [10] *Ἀβρασὰξ ὄνομα τῆς αὐτῆς ψήφου εἶναι, καὶ εἶναι τριακοσίων ἑξηκονταπέντε, καὶ εἶναι* [11] *τοῦτο τὸ ἅγιον* [12] *ὄνομά φησι.*

98. *Vulgo distinguunt* ἀγωγάς. ἔνεστιν ἰδεῖν. *Petavius in margine* „Leviter depravatus hic locus". *Sed quomodo haec essent coniungenda bene vidit Cornarius Latinus interpres.*

99. διαγράψαν *codd. mss. uterque, et edit. princ.*

100. αὐτῇ *cod. Rhedig.*

1. γητθῶν *codd. mss. et edit. princ.*

2. ἐδίδαξε *habet summarium Panar. p.* 52.

3. ἀδιαφορίαν *Panar.*

tum est et a me paucis explicatum, evangelica scilicet luce, quae a Christo domino Christique discipulis orbi terrarum illata fuit. Quibus a me dictis consentanea pleraque colligere licet, ac vaticinia et oracula ex lege veteri, vel Psalmis aliisque libris conquirere, et omnium seriem ordinemque perscrutari, ex iisque incarnationem Christi domini perspicue comprobare non supposititiam, sed veram extitisse, atque in lege veteri nuntiatam, ut de eo nullus sit dubitandi locus relictus. Sed ne huius operis tractatio in infinitum excrescat, his quae dicta sunt erimus contenti.

Ac deinceps opiniones illas, quae in hominum vitam postea pessimo colore ac specie prolatae sunt, eadem serie pertexam.

Haec sunt quae in secundo tomo libri primi continentur, in quo XIII haereses explicantur, quarum prima est Simonis Magi, qui statim post Christum praedicantibus adhuc apostolis emersit, a quo Simoniani illius haeresis sectatores appellati sunt. Hic ex Samariae vico quodam Gitthis oriundus Christum nomine tenus professus est, auctor nefandae obscenitatis et inquinatissimi concubitus. Praeterea promiscuas uxores esse voluit. Corpora negat resurgere, nec a deo mundum fabricatum esse statuit. Imaginem porro suam scortique sui, nomine Helenae, sub Iovis ac Minervae specie discipulis adorandam obtrusit. Apud Samaritas pro deo patre se venditans Iudaeis Christum se esse dicebat.

Menandriani a Menandro quodam originem traxerunt, qui certis in rebus a Simonianis discrepabat, mundum vero ab angelis fuisse productum asserebat.

Saturniliani in Syria Simonianorum turpitudinem auxerunt. Nonnulla quoque ad maiorem conciliandum stuporem ad illorum adiecere dogmata. Horum princeps Saturnilus fuit, qui perinde ac Menander mundi conditores angelos, hoc est septenos ex iis, facit, idque ipsos praeter supremi parentis sententiam suscepisse statuit.

Basilidiani foeditatis eiusdem socii ad Basiliden originem referunt, qui cum Saturnilo Simonianis ac Menandrianis operam dedit, ac tametsi eadem fere sentiat, in quibusdam tamen discrepat. Nam coelestes orbes CCCLXV constituit, quos angelicis nominibus afficit, ideoque totidem diebus annum constare censet. Addit et Abrasax cuiusdam virtutis nomen, quae CCCLXV numerum literis exprimit, idque sanctum esse nomen asserit.

4. μενανδρηνοὶ *codd. mss. uterque.*
5. *Libri vulgo* οὓς.
6. αὐτοὶ *codd. mss. et edit. princ.*
7. *Ita Panar. Libri vulgo* τε.
8. μενανδρηνοῖς *codd. mss. uti supra.*
9. τούτους *edit. Petav.*
10. ἀβασὰρξ *codd. mss. uterque, et edit. princ.*
11. αὐτοῦ ἅγιον *cod. Rhedig.*
12. πνεῦμα *habet Panar.*

Νικολαῖται, ἀπὸ Νικολάου τοῦ ἐπὶ ταῖς χήραις ὑπὸ τῶν ἀποστόλων ταχθέντος, [13] διὰ ζῆλον τῆς ἰδίας γαμετῆς τὴν αἰσχρουργίαν ἅμα τοῖς ἄλλοις ἐπιτελεῖν τοὺς ἑαυτοῦ μαθητὰς διδάξας, καὶ περὶ τοῦ Καυλακαὰκ καὶ [14] Προυνίκου καὶ ἄλλων βαρβαρικῶν ὀνομάτων εἰσηγησάμενος.

pag. 140. *Γνωστικοὶ, τὰς αὐτὰς αἱρέσεις διαδεξάμενοι, πλέον καὶ αὐτοὶ πάντων τὴν αἰσχρότητα ἐμμανῶς ἐργαζόμενοι, ἐν Αἰγύπτῳ δὲ Στρατιωτικοὶ καλούμενοι, καὶ Φιβιωνῖται, ἐν δὲ τοῖς ἀνωτερικοῖς μέρεσι Σεκουνδιανοὶ, ἐν ἄλλοις δὲ μέρεσι Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι· ἄλλοι δὲ [15] Κοδιανοὺς αὐτοὺς λέγουσι, ἄλλοι δὲ Βορβορίτας αὐτοὺς καλοῦσι.*

Καρποκρατιανοὶ, ἀπὸ Καρποκράτους τινὸς τῶν ἐν τῇ Ἀσίᾳ, ὃς ἐδίδασκε πᾶσαν αἰσχρουργίαν ἐκτελεῖν, καὶ πᾶν ἐπιτήδευμα ἁμαρτίας. Καὶ εἰ μή τις διὰ πάντων, φησὶ, παρέλθῃ, καὶ τὸ θέλημα πάντων δαιμόνων καὶ ἀγγέλων ἐκτελέσει, οὐ δύναται ὑπερβῆναι εἰς τὸν οὐρανὸν, οὐδὲ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας παρελθεῖν. Ἔλεγε δὲ τὸν Ἰησοῦν ψυχὴν νοερὰν εἰληφέναι, εἰδότα δὲ τὰ ἄνω καὶ τὰ ἐνταῦθα καταγγέλλειν, καὶ ὡς εἴ τις πράξειεν ὅμοια τῷ Ἰησοῦ, κατ' αὐτὸν εἶναι. Τὸν δὲ νόμον σὺν τῇ τῶν νεκρῶν ἀναστάσει ἀπαγορεύει, ὡς αἱ ἀπὸ Σίμωνος αἱρέσεις. Τούτου γέγονεν ἡ ἐν Ῥώμῃ Μαρκελλίνα. Εἰκόνας δὲ ποιήσας ἐν κρυφῇ Ἰησοῦ, καὶ Παύλου, καὶ Ὁμήρου, καὶ Πυθαγόρου, ταύτας ἐθυμία καὶ προσεκύνει.

Κηρινθιανοὶ καὶ Μηρινθιανοὶ, οἱ ἀπὸ Κηρίνθου καὶ Μηρίνθου Ἰουδαῖοι, οἵτινες περιτομὴν αὐχοῦσι, καὶ κόσμον ὑπὸ ἀγγέλων γεγενῆσθαι, τὸν δὲ Ἰησοῦν κατὰ προκοπὴν Χριστὸν καλεῖσθαι.

Ναζωραῖοι, Ἰησοῦν μὲν ὁμολογοῦντες υἱὸν θεοῦ, πάντα δὲ κατὰ νόμον πολιτευόμενοι.

Ἐβιωναῖοι, παραπλησίως τῶν προειρημένων Κηρινθιανῶν καὶ Ναζωραίων, οἷς συνήφθη κατά τι ἡ τῶν Σαμψαίων τε καὶ Ἑλκεσαίων αἵρεσις· οἳ τὸν Χριστόν φασιν ἐκτίσθαι ἐν τῷ οὐρανῷ, καὶ τὸ ἅγιον πνεῦμα, ἐνδημήσαντα δὲ ἐν τῷ Ἀδὰμ πρῶτον, καὶ κατὰ καιρὸν ἐνδυόμενον αὐτὸν τὸν Ἀδὰμ, καὶ πάλιν ἐκδυόμενον. Τοῦτο [16] γάρ φασιν ἐπιτετελεκέναι αὐτὸν ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. Ἰουδαῖοι δὲ ὄντες εὐαγγελίοις κέχρηνται. Σαρκοφαγίαν βδελύττονται, τὸ ὕδωρ δὲ ἀντὶ θεοῦ ἔχουσι, τὸν δὲ Χριστὸν ἄνθρωπον ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ ἐνδεδύσθαι, ὡς ἔφην. Συνεχῶς δὲ βαπτίζονται ἐν τοῖς ὕ-

13. *Repete* ὃς *pronomen ex voce* ταχθέντος.

14. προυνικοῦ *codd. mss. uterque.*

15. *Repone* Κοδδιανούς.

Nicolaitae a Nicolao illo derivati sunt cui ab apostolis viduarum cura commissa fuerat. Hic zelotypia ob uxorem aestuans, cum aliis praeposteram libidinem exercere suos docuit. Sed et Caulacach et Prunicum, et alia nominum portenta, in mundum invexit.

Harum Gnostici successores haeresum longe omnes turpitudinis atque exsecrandae foeditatis vesania superarunt. Militares porro in Aegypto dicuntur et Phibionitae, in superiore tractu Secundiani, alibi Socratitae, ab aliis Zacchaei. Sunt qui eos Coddianos nominent, quidam *Βορβορίτας*, sive lutulentos.

Carpocratiani a Carpocrate quodam Asiatico dicti, qui ad omne turpitudinum ac flagitiorum genus discipulos informabat. Quod si quis, aiebat, non omnia percurrerit, neque daemonum et angelorum omnium voluntati satisfecerit, supremum in coelum evehi minime potest, neque principatus potestatesque transcendere. Asserebat idem Iesum mente praeditam animam sumpsisse, et coelestium ac terrenorum cognitione praeditum hominibus ea nuntiasse, ac si quis eadem quae Iesus olim perpetret, haud eo inferiorem futurum. Demum legem una cum mortuorum resurrectione damnabat, quemadmodum et Simoniani, ceterique omnes, quos hucusque percensui. Ex huius grege Marcellina illa Romae fuit. Atque idem Iesu Paulique, nec non et Homeri ac Pythagorae clanculum imagines fingens suffitibus eas et adoratione prosecutus est.

Cerinthiani, sive Merinthiani, a Cerintho vel Merintho, Iudaici generis extiterunt, qui circumcisionem prae se ferebant. Mundum ab angelis fabricatum, Iesum ad Christi dignitatem per virtutum incrementa pervenisse dixerunt.

Nazareni ita Iesum esse Christum, deique filium asseruerunt, ut Mosis legem omnino vitae ad institutum adsciverint.

Cerinthianis, ac Nazarenis simillimi sunt Ebionitae, quibus cum Sampsaeis et Elcesaeis aliqua ex parte convenit. Hi Christum in coelo creatum, eiusque sanctum spiritum affirmant. Illum ipsum in Adamum sese infudisse primo, ac deinde exuisse narrant; tum subiisse denuo, idque commodum fecisse, cum in terras corpore circumfusus advenit. Ac licet Iudaei sint, evangelium nihilominus adhibent. Carnium esum detestantur, aquam pro deo venerantur; Christum in suo illo, uti diximus, adventu hominem induisse dicunt. Denique aquis se identidem tam hyeme quam aestate lavant,

16. γὰρ *uncinis notavit Petavius.*

pag. 141. δασι, θέρους τε καὶ χειμῶνος, εἰς ἁγιασμὸν δῆθεν, ὥςπερ οἱ Σαμαρεῖται.

Οὐαλεντινιανοὶ, οἳ σάρκα μὲν ἀπαγορεύουσιν εἰς ἀνάστασιν, παλαιὰν δὲ ἀθετοῦσι διαθήκην καὶ προφήτας, ἀναγινώσκοντες μὲν, καὶ ὅσα εἰς ὁμοίωσιν δύνανται τροπολογεῖσθαι τῆς αὐτῶν αἱρέσεως δεχόμενοι, ἑτέρας δέ τινας μυθολογίας παρειςφέροντες, τριάκοντα [17] ἐνιαυτῶν ὀνομασίας φέροντες ἀρρενοθηλειῶν, ὁμοῦ τε ἐκ τοῦ πατρὸς τῶν ὅλων γεγεννημένους, οὓς καὶ θεοὺς ἡγοῦνται καὶ αἰῶνας. Τὸν δὲ Χριστὸν ἀπ' οὐρανοῦ σῶμα ἐνηνοχέναι, καὶ ὡς διὰ σωλῆνος τὴν Μαρίαν πεπερακέναι.

Σεκουνδιανοὶ, οἷς συνάπτονται [18] Ἐπιφάνιος καὶ Ἰσίδωρος, ταῖς αὐταῖς κεχρημένοι καὶ οὗτοι συζυγίαις, ὅμοια Οὐαλεντίνῳ πεφρονηκότες, ἕτερα δὲ παρ' [19] αὐτὸν ποσῶς διηγοῦνται. Προςτιθέασι δὲ αἰσχρουργίαν διδάσκοντες· ἀπαγορεύουσι δὲ καὶ οὗτοι τὴν σάρκα.

Πτολεμαῖοι, οἱ μαθηταὶ ὄντες καὶ αὐτοὶ Οὐαλεντίνου, οἷς συνάπτεται ἡ [20] Φλώρα, τὰ αὐτὰ [21] περὶ τῶν συζυγιῶν καὶ οὗτοι λέγουσι καθὰ καὶ Οὐαλεντῖνος καὶ Σεκουνδιανοὶ, κατά τι δὲ καὶ οὗτοι διαφέρονται.

Αὕτη καὶ ἡ τοῦ δευτέρου τόμου τοῦ πρώτου βιβλίου τῶν δεκατριῶν αἱρέσεων ἀνακεφαλαίωσις.

Ἐν δὲ τῷ τρίτῳ τόμῳ τοῦ αὐτοῦ πρώτου βιβλίου εἰσὶν ἕτεραι αἱρέσεις δεκατρεῖς αὗται·

[22] Μαρκώσιοι. Μάρκος τις γεγένηται Κολορβάσου συμφοιτητὴς, δύο ἀρχὰς καὶ αὐτὸς παρειςάγων· ἀθετεῖ δὲ νεκρῶν ἀνάστασιν. Φαντασίας δέ τινας δι' ἐκπωμάτων ἐξ ἐπαοιδῆς εἰς κυάνεον χρῶμα καὶ πορφύρεον μεταβάλλων μυσταγωγεῖ τὰς ἀπατωμένας γυναῖκας. Καὶ αὐτὸς δὲ τῶν εἰκοσιτεσσάρων στοιχείων βούλεται τὰ πάντα ἡγεῖσθαι, ὁμοίως Οὐαλεντίνῳ.

Κολορβάσιοι. Καὶ οὗτος ὁ [23] Κολόρβασος ὡςαύτως τὰ αὐτὰ διηγούμενος, κατά τι [24] δὲ διαφερόμενος πρὸς τὰς ἄλλας αἱρέσεις, φημὶ δὲ πρὸς τοὺς περὶ Μάρκον καὶ Οὐαλεντῖνον, τὰς προβολὰς [25] δὲ καὶ ὀγδοάδας ἑτέρως ἐδίδαξεν.

pag. 142. Ἡρακλεωνῖται, καὶ αὐτοὶ τῇ τῶν ὀγδοάδων φέρονται μυθολογίᾳ, ἑτέρως δὲ παρὰ τὸν Μάρκον καὶ Πτολεμαῖον καὶ Οὐαλεντῖνον καὶ τοὺς ἄλλους. Ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ τῶν παρ' αὐτοῖς τελευτώντων ὁμοίως τῷ Μάρκῳ λυτροῦνται δι' ἐλαίου ἀπὸ βαλσάμου καὶ ὕδατος, ἐπικλή-

17. *Petav. in marg. suae edit. correxit* αἰώνων.

18. *Summar. Panar.* Ἐπιφάνης. *Contra* Ἐπιφάνιος *appellabatur etiam supra pagg.* 128. 129.

19. *Libri vulgo* αὐτῶν.

20. φλώ τὰ (*spatio vacuo relicto aliquot litterarum*) *cod. Ien.* φλώ. τὰ *cod. Rhedig.*

21. περὶ *abest vulgo a libris Anaceph.*

nimirum sanctitatis conciliandae sibi gratia, quemadmodum Samaritae.

Valentiniani corporum resurrectionem negant. Vetus testamentum ac prophetas respuunt. Quae nihilominus legunt ipsi, et si quid est quod ad illorum haeresin per figuram ac tropum accommodari possit, id admittunt. Sed certas quasdam fabulas addiderunt, et triginta Aeonum utriusque sexus vocabula commenti sunt, quos quidem Aeonas ab universorum parente ac conditore productos asserunt, quos et deos et Aeonas faciunt. Demum Christum e coelo corpus extulisse, ac per Mariam traductum esse velut per tubulum existimant.

Secundiani, eorumque socii Epiphanes atque Isidorus, eadem inter se paria componentes cum Valentinis consentiunt; nonnulla tamen ab iis diversa ponunt, et ad foedam insuper libidinem suos instituunt. Iidem et incarnationem negant.

Ptolemaei Valentini discipuli fuerunt, quibuscum Flora coniungitur. Par idemque dogma de coniugationibus illis cum Valentino ac Secundianis adstruunt, sed in quibusdam tamen discrepant.

Haec est secundi tomi primi voluminis summa, quae XIII haereses complectitur.

At in III. tomo eiusdem libri I. aliae continentur haereses XIII.

Marcosii. Marcus quidam extitit Colorbasi condiscipulus. Is duo similiter principia constituit. Mortuorum resurrectionem negabat. Utebatur praestigiis eiusmodi ut certis carminibus poculorum liquorem in caeruleum purpureumque colorem verteret, quibus sacris infelices mulierculas initiare solebat. Idem ad XXIV elementa perinde ac Valentinus universa revocare nititur.

Colorbasii. Colorbasius iste easdem fere opiniones amplexus est. Sed nonnulla tamen sunt in quibus ab aliis haeresibus discrepat, Marci ac Valentini potissimum. Siquidem propagationes Aeonum et Ogdoadas alio modo tradidit.

Heracleonitae. Etiam Heracleon commentitias Ogdoadas retinuit. In quibus explicandis a Marci et Ptolemaei ac Valentini ceterorumque opinione discessit. Suos porro sub ipsum vitae exitum perinde ac Marcus instituit, oleo, opobalsamo, et aqua in caput

22. μαρκόσιοι *codd. mss.*
23. κολορβάσης *codd. mss.*
24. δὲ *particulam, in editis omissam, restitui ex utroque codd. mss.*
25. δὲ *abest ab summario Panarii pag.* 229. *Fortasse scribendum* τε καὶ *pro* δὲ καὶ.

σεις τινὰς Ἑβραϊκαῖς λέξεσιν ἐπιλέγοντες ἐπὶ τῇ κεφαλῇ τοῦ δῆθεν λυτρουμένου.

Ὀφῖται, οἱ τὸν ὄφιν δοξάζοντες, καὶ τοῦτον Χριστὸν ἡγούμενοι, ἔχοντες δὲ τὸ ἑρπετὸν τοῦτο ἐν κίστῃ τινί.

Καϊανοὶ, ὡςαύτως ἅμα τοῖς πρότερον τὸν νόμον καὶ τὸν λαλήσαντα ἐν νόμῳ ἀθετοῦντες σαρκός τε ἀνάστασιν ἀρνούμενοι τὸν Κάϊν δοξάζουσι, λέγοντες αὐτὸν τῆς ἰσχυροτέρας δυνάμεως. Ἅμα δὲ καὶ τὸν Ἰούδαν ἐκθειάζουσιν, ὁμοῦ τε καὶ τοὺς περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν, ἀλλὰ καὶ τοὺς Σοδομίτας.

Σηθιανοί. Οὗτοι πάλιν τὸν Σὴθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι ἐκ μεταμελείας τῆς ἄνωθεν μητρὸς, συνελθούσης μετὰ [26] τὸν Κάϊν καὶ Ἄβελ ἀποκτανθῆναι, καὶ καθαρὸν σπέρμα τὸν Σὴθ [27] ποιησάσης, ἐξ οὗπερ λοιπὸν κατήχθη τὸ πάντων ἀνθρώπων γένος. Καὶ αὐτοὶ δὲ [28] ἀρχὰς καὶ ἐξουσίας, καὶ ὅσα οἱ ἄλλοι δογματίζουσι καὶ αὐτοὶ ἐδογμάτισαν.

Ἀρχοντικοί. Οὗτοι πάλιν εἰς πολλὰς ἀρχὰς τὸ πᾶν ἀναφέρουσι, καὶ τὰ γενόμενα ἐκ τούτων [29] γεγενῆσθαι. Ἁλίσκονται δὲ καὶ ἐπὶ αἰσχρότητί τινι. Σαρκὸς δὲ ἀνάστασιν ἀθετοῦσι, καὶ παλαιὰν διαθήκην [30] μεταβάλλουσι. Κέχρηνται δὲ παλαιᾷ καὶ καινῇ διαθήκῃ, ἑκάστην λέξιν εἰς τὸν ἑαυτῶν νοῦν μεθοδεύοντες.

Κερδωνιανοὶ, οἱ ἀπὸ Κέρδωνος τοῦ Ἡρακλέωνος, [31] διαδεξάμενοι τὴν μετοχὴν τῆς πλάνης, ἀπὸ δὲ τῆς Συρίας εἰς Ῥώμην μεταναστάντος, καὶ κήρυγμα ἑαυτοῦ ἐκθεμένου ἐν χρόνοις [32] Ὑγίνου ἐπισκόπου. Δύο δὲ ἀρχὰς κηρύττει οὗτος ἐναντίας, μὴ εἶναι δὲ τὸν Χριστὸν γεννητὸν, ὁμοίως τε νεκρῶν ἀνάστασιν ἀθετῶν, καὶ τὴν παλαιὰν διαθήκην.

Μαρκιωνισταί. Μαρκίων οὗτος ἐκ Πόντου ὁρμώμενος ἐπισκό-
pag. 143. που μὲν ἦν υἱὸς, φθείρας δὲ παρθένον ἀπέδρα, διὰ τὸ ἐξεῶσθαι ὑπὸ τοῦ ἰδίου πατρὸς ἀπὸ τῆς ἐκκλησίας. Ἀνελθὼν δὲ ἐν τῇ Ῥώμῃ, καὶ αἰτήσας μετάνοιαν τοὺς κατ' ἐκεῖνο καιροῦ, καὶ μὴ τυχὼν, ἐπαρθεὶς κατὰ τῆς πίστεως ἐδογμάτισε τρεῖς ἀρχὰς εἰςηγησάμενος, ἀγαθόν τε καὶ δίκαιον καὶ φαῦλον· εἶναί τε τὴν καινὴν διαθήκην ἀλλοτρίαν τῆς παλαιᾶς, καὶ τοῦ ἐν αὐτῇ λαλήσαντος. Ἀνάστασιν σαρκὸς ἀθετεῖ. Βάπτισμα δίδωσιν οὐ μόνον ἓν, ἀλλὰ καὶ δύο, καὶ τρία, μετὰ τὸ παραπεσεῖν. Ὑπὲρ δὲ τῶν τεθνεώτων κατηχουμένων ἑτέρους βαπτίζει. Ἀδεῶς καὶ γυναιξὶν ἐπιτρέπει λουτρὸν διδόναι.

Λουκιανισταί. Λουκιανός τις ἀρχαῖος, οὐχ ὁ νῦν ἐν χρόνοις

26. *Fortasse* τὸ τὸν. *Petavius suspicatus est* τὸ ὑπὸ Κάϊν τὸν Ἄβελ.

27. ποιησάσης *reposui ex summario Panarii pag.* 230. *Libri enim habent* ποιήσασα.

28. ἀρχῆς *codd. mss. et edit. princ.*

29. γεγενῆσθαι λέγουσιν *volebat Peta-*

infusis in salutem asserunt, unaque voces quasdam Hebraicas in eius qui expiatur caput insusurrant.

Ophitae. Hi serpentem venerantur ac praedicant, eumque esse Christum asserunt. Ob id in cista serpentem asservant.

Caiani. Veterem legem, et eum qui illius legis tempore locutus est repudiant. Resurrectionem carnis abnegant. Caïnum commendant, quem praestantioris cuiusdam virtutis fuisse praedicant. Sed et Iudam divinis honoribus afficiunt, nec non et Core, Dathan et Abiron, ac Sodomitas.

Sethiani. Hi Sethum laudibus efferunt. Quem ex supremae parentis poenitentia procreatum putant, cum, Caïno Abeloque interfectis, congressa sinceram stirpem, videlicet Sethum, protulit, a quo universum genus hominum manavit. Postremo principia et potestates, ceteraque ut alii omnia statuunt.

Archontici. Plures isti ad principes universa referentes, quaecumque facta sunt ab illis orta definiunt. Habent et foedissimae quoddam libidinis genus. Carnis resurrectionem respuunt. Vetus testamentum calumniose reiiciunt. Quamquam et hoc, et novo insuper nonnunquam utantur, ex quibus singulas voculas callide ad mentem suam accommodant.

Cerdoniani, a Cerdone, qui quem ab Heracleone errorem hauserat, novis inventis adauxit. Ac cum Romam e Syria profectus esset, Hygini papae temporibus sua dogmata disseminavit. Duo porro principia contraria invicem affirmat. Negat Christum esse genitum. Mortuorum excitationem cum vetere testamento reiicit.

Marcionistae. Marcio oriundus ex Ponto episcopo patre natus est. A quo ob virginis stuprum eiectus ex ecclesia Romam aufugit. Ubi cum ab iis qui tum ecclesiae praeerant poenitentiam frustra postulasset, catholicam fidem oppugnare instituit. Quamobrem tria esse principia dixit, bonum, iustum et malum. Novum testamentum a vetere eiusdemque auctore alienum esse docuit. Carnis resurrectionem sustulit. Non unum baptisma duntaxat, sed etiam tria post delictum indulget. Pro mortuis illorum catechumenis baptismum alii suscipiunt. Mulieribus conferre baptismum sine ullo discrimine permittit.

Lucianistae. Lucianus his antiquior, non alter ille qui Con-

vius. Atque ita legitur in summario Panarii pag. 230.

30. *In Panario extat* διαβάλλουσι, *quod reponendum est. Iam Cornarius vertit* calumniantur. *Paulo post scripsi* τὸν ἑαυτῶν νοῦν. *Vulgo enim legitur* τὸν ἑαυτὸν νοῦν.

31. *Suspicari licet* διαδεξαμένου *cum Petavio.*

32. *Libri habent vulgo* ῥηγίνου,

Κωνσταντίνου γενόμενος, πάντα κατὰ τὸν Μαρκίωνα ἐδογμάτισεν, ἕτερα δὲ παρὰ τὸν Μαρκίωνα καὶ αὐτὸς δῆθεν περισσότερον δογματίζει.

[33]Ἀπελληανοί. Καὶ οὗτος ὁ Ἀπελλῆς τὰ ὅμοια Μαρκίωνι καὶ Λουκιανῷ δογματίζει, κακίζων τὴν πᾶσαν ποίησιν καὶ τὸν πεποιηκότα. Οὐχ ὁμοίως δὲ τούτοις δογματίζει καὶ τρεῖς ἀρχὰς, ἀλλὰ μίαν ἀρχὴν, καὶ ἕνα θεὸν ὄντα ἀνώτατον καὶ ἀκατονόμαστον, αὐτὸν δὲ πεποιηκέναι ἄλλον. Καὶ αὐτὸς ὁ γενόμενος πονηρὸς εὑρεθεὶς ἐποίησε τῇ ἑαυτοῦ φαυλότητι τὸν κόσμον.

Σευηριανοί. Σευῆρός τις πάλιν τῷ Ἀπελλῇ συνεπόμενος τὸν μὲν οἶνον ἀποβάλλεται καὶ τὴν ἄμπελον, ἐκ δὲ τοῦ δρακοντοειδοῦς Σατᾶν μυθολογῶν πεφυκέναι τὴν γυναῖκα ἀριστερᾶς δυνάμεως ὑπάρχειν. Ὀνομασίας δέ τινας ἀρχόντων καὶ βιβλία τινὰ ἀπόκρυφα παρεισάγει, τὰ ὅμοια δὲ ταῖς ἄλλαις σαρκὸς ἀνάστασιν ἀθετεῖ καὶ παλαιὰν διαθήκην.

Τατιανοί. Τατιανὸς οὗτος [34]συνήκμασε μὲν Ἰουστίνῳ τῷ μάρτυρι τῷ ἁγίῳ, μετὰ δὲ τὴν τοῦ μάρτυρος καὶ [35]φιλοσόφου Ἰουστίνου τελευτὴν, προσεφθάρη τοῖς τοῦ Μαρκίωνος δόγμασι, [36]μαθητευθεὶς τῷ αὐτῷ, [37]τά τε ἴσα αὐτῷ ἐδογμάτισε, καὶ πάλιν ἕτερα παρ' ἐκεῖνον. Ἐλέγετο δὲ ἀπὸ Μεσοποταμίας [38]ὁρμᾶσθαι.

Αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων κατὰ τεσσαρακονταὲξ αἱρέσεων.

pag. 144. Ἐν δὲ τῷ πρώτῳ τόμῳ τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν ἀπαρχῆς τῶν τόμων τοῦ ἀριθμοῦ ἀκολουθίαν, αἱρέσεις εἰσὶν ιη΄, οὕτως·

Ἐγκρατῖται, οἱ ἀπόσπασμα τυγχάνοντες Τατιανοῦ, τὸν γάμον ἀποβάλλοντες, τοῦ Σατανᾶ φάσκοντες τοῦτον εἶναι, πᾶσαν δὲ ἀπαγορεύοντες ἐμψυχοφαγίαν.

Κατὰ Φρύγας, οἱ καὶ Μοντανισταὶ, οἵτινες παλαιὰν καὶ καινὴν διαθήκην δέχονται, ἑτέρους δὲ προφήτας παρεισφέρουσι παρὰ τοὺς προφήτας, Μοντανόν τινα αὐχοῦντες καὶ Πρίσκιλλαν.

Πεπουζιανοὶ, οἱ καὶ [39]Κυϊντιλιανοὶ, οἷς συνάπτονται Ἀρτοτυρῖται, ἐκ τούτων μέν εἰσι τῶν κατὰ Φρύγας, ἕτερα δὲ παρ' ἐκείνους δογματίζοντες, Πέπουζάν τινα πόλιν ἔρημον ἀναμέσον Γαλατίας καὶ Καππαδοκίας καὶ Φρυγίας ἐκθειάζοντες, καὶ ταύτην Ἱερουσαλὴμ ἡγούμενοι (ἔστι δὲ καὶ ἄλλη Πέπουζα), γυναιξί τε ἀποδιδόντες τὸ ἄρχειν καὶ [40]ἱερατεύειν. [41]Μυοῦνται δέ τινα παῖδα κατακεντοῦντες

33. *Ita codd. mss. uterque. Editi contra* Ἀπελληϊανοί.

34. συνίκμασε *codd. mss. uterque.* συνεβίωσε *editi.*

35. φιλο ἰουστίνου *vacuo spatio relicto cod. Rhedig.*

36. μαθητευθ αὐτῷ *vacuo spatio relicto cod. Rhedig.* μαθητευ αὐτῷ *item edit. princ.*

37. τά τε ἴσα αὐτῷ *cod. Ien. et edit.*

stantino imperante vixit, in omnibus Marcionis vestigiis inhaesit. Etsi quibusdam adiectis cumulatius aliquid docere studuit.

Apelleiani. Apelles similiter atque Marcio et Lucianus quicquid conditum est cum ipso conditore vituperat. Non tamen tria ut illi principia, sed unum tantum invexit; itidemque deum unum ac supremum et nominis expertem, qui singularem alterum procreaverit. Qui cum malus evasisset, mundum sua illa improbitate condidit.

Severiani. Severus hic Apellis assecla vinum ac vitem penitus damnat, quae ex Satanae serpentis et terrae congressu propagata fingit. Muliebrem quoque sexum repudiat, quod ad sinistram virtutem pertineat. Principum vocabula quaedam atque apocryphos libros inducit. In mortuorum resurrectione veterique testamento refellendo cum aliis haeresibus consentit.

Tatiani. Tatianus primum cum sancto Iustino martyre ac philosopho vixit. Post cuius obitum contagione Marcionis dogmatum afflatus eius discipulus fuit, ad eaque quae cum eo communiter tenuit nova insuper addidit. Ferunt e Mesopotamia oriundum hunc fuisse.

Haec est summa libri I., tres tomos continens, haereses XLVI.

In priore vero tomo libri II., qui secundum institutum a nobis initio tomorum ordinem quartus est, haereses continentur XVIII hoc modo.

Encratitae Tatiani quaedam velut appendix. Hi nuptias damnant, quas Sathanae tribuunt. Ab animatorum omnium usu abstinendum esse sentiunt.

Cataphryges, qui et Montanistae, utrumque testamentum approbant, sed novos prophetas ad receptos et antiquos adiiciunt, ac Montanum quendam et Priscillam praedicant.

Pepuziani, qui et Quintilliani dicuntur, quibus accedunt et Artotyritae, superioribus quidem illis, hoc est Cataphrygibus, annumerandi sunt; sed ab iis tamen diversa nonnulla sentiunt. Ac Pepuzam desertum quoddam oppidum Galatiam inter et Cappadociam ac Phrygiam situm divinis honoribus extollunt, eamque Hierosolymam esse dicunt (est autem et alia Pepuza). Mulieribus sacros magistratus ac sacerdotia deferunt. Certis initiantur mysteriis, qui-

princ. τάτε ἐν αὐτῷ *cod. Rhedig. In edit. Petav. ea verba sunt omissa.*

38. ὁρμάσθη *codd. mss. uterque, et edit. princeps.*

39. *Repone* Κυϊντιλλιανοὶ.

40. ἱερατεύειν (ἱρατεύειν *cod. Ien.*) *codd. mss. uterque.* ἱερεύειν *editi.*

41. μύονται *codd. mss. et edit. princ.*

νέον. Καὶ δὴ τῇ [42] *Κυϊντίλῃ, ἢ καὶ Πρισκίλλῃ Χριστὸν ἐκεῖσε ἐν Πεπούζῃ ἀποκεκαλύφθαι ἐν ἰδέᾳ ἀληθείας μυθολογοῦσι. Κέχρηνται δὲ ὡσαύτως παλαιᾷ καὶ καινῇ διαθήκῃ, κατὰ τὸν ἴδιον νοῦν μεταποιοῦντες.*

Τεσσαρεςκαιδεκατῖται, οἱ μίαν ἡμέραν τοῦ ἔτους τὸ Πάσχα [43] *ἐκτελοῦντες. Ἐν ὁποίᾳ δ' ἂν ἡμέρᾳ ἐμπέσοι τῆς σελήνης ἡ τεσσαρεςκαιδεκάτη, ἤτοι ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ, ἐκείνην τε νηστεύοντες καὶ ἅμα ἀγρυπνοῦντες.*

Ἄλογοι, οἱ ἀφ' ἡμῶν κληθέντες, οἱ τὸ εὐαγγέλιον Ἰωάννου καὶ τὸν ἐν αὐτῷ ἄνωθεν ἀπὸ πατρὸς [44] *ἀεὶ θεὸν λόγον παρεκβάλλοντες, τὸ κατὰ Ἰωάννην εὐαγγέλιον μὴ δεχόμενοι, μηδὲ τὴν Ἀποκάλυψιν* [45] *αὐτοῦ.*

Ἀδαμιανοί, [46] *παρὰ δέ τισιν Ἀδὰμ ζῶντος καλούμενοι, χλεύης ἢ ἀληθείας μᾶλλον τὸ δόγμα ἔχοντες. Γυμνοὶ γὰρ ὡς ἐκ μητρὸς ἄνδρες τε καὶ γυναῖκες ἐπὶ τὸ αὐτὸ συνάγονται, καὶ οὕτως τὰς ἀναγνώσεις, καὶ τὰς εὐχάς, καὶ πᾶν ὁτιοῦν ἐπιτελοῦσι, δῆθεν μονάζοντες* pag. 145. *καὶ ἐγκρατευόμενοι ὄντες, καὶ γάμον μὴ δεχόμενοι, τὴν αὐτῶν ἐκκλησίαν παράδεισον ἡγούμενοι.*

Σαμψαῖοι καὶ Ἑλκεσαῖοι, ἔτι δεῦρο τὴν Ἀραβίαν κατοικοῦντες, καθύπερθεν τῆς [47] *Ἐρυθρᾶς θαλάσσης κειμένην χώραν, οἵτινες ἀπὸ Ἑλκεσαίου τινὸς ψευδοπροφήτου ἠπατημένοι, οὗ ἔτι δεῦρο ἐκ τοῦ γένους ὑπῆρχε Μαρθοὺς καὶ Μαρθίνη, γυναῖκες δύο προςκυνούμεναι ὑπὸ τῆς αἱρέσεως ὡς θεῖαι, παραπλησίως τοῖς Ἐβιωναίοις πάντα ἔχοντες.*

Θεοδοτιανοί, ἀπὸ τοῦ Θεοδότου τοῦ σκύτεως, τοῦ ἀπὸ Βυζαντίου. Οὗτος ἐν παιδείᾳ Ἑλληνικῇ γέγονεν ἄκρος, ἅμα δὲ ἄλλοις ὢν ἐν ἡμέραις τοῦ [48] *τότε διωγμοῦ, μόνος ἐκπεσών, καὶ ἐκείνων μαρτυρησάντων, διὰ τὸ ὀνειδίζεσθαι ἐπενόησε λέγειν ψιλὸν ἄνθρωπον τὸν Χριστόν,* [49] *ἵνα μὴ ὑπὸ ἔγκλημα γένηται θεὸν ἀρνησάμενος, οὕτως ἐδίδαξεν.*

[50] *Μελχισεδεκιανοί, οἱ τὸν Μελχισεδὲκ γεραίροντες, τινὰ δύναμιν αὐτὸν φάσκοντες, καὶ μὴ ἄνθρωπον ψιλόν, καὶ εἰς τὸ τούτου ὄνομα πάντα ἀνάγειν τετολμηκότες.*

[51] *Βαρδησιανισταί. Βαρδησιανῆς οὗτος ἐκ τῆς Μεσοποταμίας ὡρμᾶτο, τὰ πρῶτα μὲν τῆς ἀληθινῆς πίστεως ὑπάρχων καὶ ἐν σοφίᾳ διαπρέπων, ἐκκλίνας δὲ τῆς ἀληθείας παραπλησίως Οὐαλεντίνῳ ἐδογμάτισε, χωρὶς ἐνίων ὧν διαφέρεται πρὸς Οὐαλεντῖνον.*

Νοητιανοί. Νοητὸς οὗτος ἀπὸ Σμύρνης ὑπῆρχε τῆς Ἀσίας.

42. *Repone* Κυϊντίλλῃ.
43. ποιοῦντες *cod. Rhedig.*
44. θεὸν ἀεὶ *cod. Rhedig.*
45. αὐτοῦ *abest a sola edit. Petav.*
46. παρά τινος *Io. Damascenus.* ἀπό τινος *legitur in summario Panarii.*
47. νεκρᾶς θαλάσσης *legitur in Panario et apud Ioannem Damasc.*

bus puerulum confodiunt. Fingunt Pepuzae Christum olim Quintillae aut Priscillae videndum se praebuisse muliebri specie, vetus ac novum testamentum adhibent, ita tamen ut pleraque pro animi libidine commutent.

Tessarescaedecatitae, qui stato anni die Pascha celebrant, ut quamcumque in diem XIV. lunae incurrerit, sive sabbatum sive dominica fuerit, ea die ieiunent ac pervigilia celebrent.

Alogi a nobis ita nominati, qui Ioannis evangelium ac *Λόγον*, hoc est verbum deum a patre semper genitum, coelitusque demissum, cuius in evangelio illo mentio fit, repudiant, nec Ioannis duntaxat evangelium, sed et Apocalypsin reiiciunt.

Adamiani, ab Adamo nescio quo vivente sic dicti, ridiculum potius quam verisimile dogma profitentur. Nudi quippe, quales ex utero matris egressi sunt, viri perinde ac mulieres conveniunt, atque ita lectionibus, orationibus ac ceteris religionis officiis funguntur, et videlicet monachorum ac continentium instituta sectantur, nuptiasque condemnant, ecclesiam vero suam paradisum nuncupant.

Sampsaei, sive Elcesaei, ad hanc diem in Arabia degunt, supra Mortuum mare, Elcesaei cuiusdam pseudoprophetae discipuli. E cuius stirpe Marthus et Marthina feminae duae aetate nostra prodierunt, quas dearum instar haeresis ista coluit. Eadem porro cum Ebionaeis omnino sentiunt.

Theodotiani a Theodoto Coriario Byzantino dicti. Qui Graecis artibus apprime fuit institutus. Hic cum aliis quibusdam in ea quae tum saeviebat persecutione comprehensus, cum socii eius omnes martyrium obiissent, solus fidem eiuravit. Ob idque probris appetitus, id excogitavit ut Christum nudum esse hominem assereret, ne crimini sibi istud verteretur quod eius divinitatem negasset.

Melchisedeciani, Melchisedecum ita venerantur, ut virtutem esse quandam iactitent, non hominem duntaxat, et ad eius nomen referre universa non dubitant.

Bardesianistae. Bardesianes iste e Mesopotamia oriundus sinceram fidem initio complexus est, ac sapientia praestitit. Sed a veritate postea recedens eadem cum Valentino docuit, praeter pauca quaedam in quibus ab illo discrepat.

Noëtiani. Noëtus hic Smyrnensis ex Asia fuit. Qui in al-

48. τότε *restitui ex codd. mss. Nam in editis ea vox non legitur.*
49. *Fortasse* ὃν ἵνα.
50. μελχιδεκιανοὶ *cod. Rhedig.* μελχιδεδεκιανοὶ *cod. Ien.*
51. βαρδισιανιταὶ. βαρδισιανῆς *codd. mss. uterque.* βαρδισιανισταί. βαρδισιανῆς *edit. princ.*

[52]Ἐπάρματι δὲ ἐνεχθεὶς σὺν ἄλλοις τρισὶν υἱοπάτορα τὸν Χριστὸν ἐδίδαξε, τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. Ἑαυτὸν δὲ ἔλεγεν εἶναι Μωσέα, καὶ ἑαυτοῦ ἀδελφὸν ἔλεγεν εἶναι τὸν Ἀαρών.

Οὐαλήσιοι. Οὗτοι, καθὼς ὑπειλήφαμεν, οἱ τὴν [53] Βάκαθον κατοικοῦντες, μητροκωμίαν τῆς Ἀραβίας τῆς Φιλαδελφίας, οἳ τοὺς παρατυγχάνοντας καὶ [54] ἐπιξενουμένους παρ' αὐτοῖς εὐνουχίζουσιν. Οἱ πλείους δὲ καὶ αὐτῶν εὐνοῦχοί εἰσιν ἀποτετμημένοι. Τινὰ δὲ ἕτερα διδάσκουσιν [55] αἱρέσεως [56] ἔμπλεα ἀφανίζοντες τὸν νόμον καὶ τοὺς προφήτας, καί τινας ἑτέρας αἰσχρουργίας παρεισφέροντες.

Καθαροὶ, οἱ ἅμα Ναβάτῳ συναφθέντες τῷ Ῥωμαίῳ, καὶ τοὺς διγάμους παντελῶς ἀποβαλλόμενοι, καὶ [57] μετάνοιαν μὴ δεχόμενοι.

pag. 146. *Ἀγγελικοί.* Οὗτοι παντελῶς ἐξέλιπον. Αὐχοῦντες δὲ ἦσαν ἀγγελικὴν τάξιν ἔχειν, ἢ διὰ τὸ ἀγγέλους προςκεκλῆσθαι.

Ἀποστολικοὶ, οἱ καὶ Ἀποτακτικοὶ, καὶ αὐτοὶ περὶ Πισιδίαν, μόνον [58]Ἀποτακτικοὺς δεχόμενοι, καθ' ἑαυτοὺς δὲ εὐχόμενοι. Παραπλησιάζουσι δὲ τοῖς Ἐγκρατίταις, ἄλλας δὲ παρ' αὐτοὺς φρονοῦσιν αἱρέσεις.

Σαβελλιανοὶ, οἱ τὰ ὅμοια [59] Νοήτῳ δοξάζοντες, παρὰ τοῦτο μόνον· λέγουσι γὰρ μὴ πεπονθέναι τὸν πατέρα.

Ὠριγενιανοὶ, τινὸς Ὠριγένους. Αἰσχροποιοὶ δὲ οὗτοί εἰσιν, ἀρρητοποιοῦντες καὶ τὰ ἑαυτῶν σώματα φθορᾷ παραδιδόντες.

Ὠριγενιανοὶ ἄλλοι, τοῦ καὶ [60]Ἀδάμαντος, τοῦ Συντακτικοῦ, οἱ τὴν τῶν νεκρῶν ἀνάστασιν ἀποβαλλόμενοι, Χριστὸν δὲ κτίσμα καὶ τὸ ἅγιον πνεῦμα εἰςηγούμενοι, Παράδεισον δὲ καὶ οὐρανοὺς καὶ τὰ ἄλλα πάντα ἀλληγοροῦντες, καὶ τέλος ἕξειν τὴν Χριστοῦ βασιλείαν τολμῶσι λέγειν.

Αὗται πάλιν αἱ δεκαοκτὼ αἱρέσεις, αἱ ἐν τῷ πρώτῳ τόμῳ τοῦ δευτέρου βιβλίου.

Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ [61] αὐτοῦ βιβλίου, πέμπτῳ δὲ ὄντι κατὰ τὸν προειρημένον ἀριθμὸν, αὗταί εἰσιν αἱ πέντε αἱρέσεις·

Παύλου Σαμοσατέως, ἐπισκόπου γενομένου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἀνύπαρκτον τὸν Χριστὸν ὀλίγου δεῖν διαβεβαιοῦται, λόγον προφορικὸν αὐτὸν σχηματίσας, ἀπὸ δὲ Μαρίας καὶ δεῦρο εἶναι,

52. *Libri vulgo* ἐφ' ἅρματι.

53. κάϑοδον *cod. Rhedig.*

54. ἐπιξενουμένους *codd. mss. Editi habent* ἐπιξενομένους.

55. αἱρέ.... *cod. Rhedig. Vulgo* αἱρέσεων. *Hac in operis parte ubicumque vocabulorum particulae omissae sunt in cod. Rhedig., in cod. Ien. conspicuae sunt chartarum maculae, quibus plerumque eaedem illae vocabulorum particulae, interdum etiam tota vocabula, evanuerunt. Hinc suspicio nasci debuit alterum codicem de altero transcriptum esse.*

56. *Corrigo* αἱρέσεως ἔμπλεα *ex summario Panarii pag.* 398. *et ex Ioanne Damasc. Libri vulgo* αἱρέσεων, ἐν τῇ παλαιᾷ.

57. μ͠η μὴ δεχ. *codd. mss. uterque.*

tum sublatus cum aliis quibusdam patri filium asserere Christum ausus est, eundemque patrem ac filium et spiritum sanctum esse profiteri, se vero Moysen, fratrem suum Aaronem dicere.

Valesii. Hi, quantum suspicor, Bacathi habitant, qui est Arabiae Philadelphensis primarius vicus. Iidem accedentes ad sese castrare solent, ac plerique inter illos eunuchi sunt, et exsecti. Habent et alia quaedam erroris plenissima dogmata, atque inter alia legem ac prophetas reiiciunt. Postremo quasdam ad illa foeditates adiiciunt.

Cathari. Novatum Romanum secuti sunt. Hi digamos penitus proscribunt. Poenitentiam repudiant.

Angelici. Hi nusquam hodie reperiuntur. Angelici vero ordinis se esse profitebantur, idque nomine ipso praeferebant.

Apostolici, qui et Apotactici, sive Renuntiatores, in Pisidia inveniuntur. Hi solos illos admittunt qui se bonis omnibus abdicaverint. Ceterum Encratitarum similes sunt, etsi diversa quaedam ab illis statuunt.

Sabelliani cum Noëtianis in omnibus propemodum consentiunt, nisi quod patrem ipsum negant esse passum.

Origeniani a quodam Origene derivati. Turpissimi isti sunt, ac nefariam et praeposteram libidinem exercent, suaque corpora corrumpunt.

Origeniani alii ab Origene Adamantio scriptore. Hi mortuorum resurrectionem negant, tam Christum, quam spiritum sanctum creatis in rebus numerant, Paradisum ac coelos, ceteraque omnia ad allegorias referunt, Christi regnum terminandum esse docent.

Hactenus primi libri II. haereses XVIII.

In posteriore vero tomo libri II., qui tomorum ordine V. est, haereses V comprehenduntur hoc ordine.

Pauli Samosateni, qui Antiochiae magnae episcopus fuit. Hic propemodum non existere Christum affirmat, atque eiusmodi verbum esse fingit quod in prolatione consistit; eundem porro esse a Maria coepisse, ac quae sacris in literis de eo pronuntiata sunt

58. ἀποτακτικοὶ *codd. mss. et edit. princ. In summario Panarii et apud Ioannem Damasc. legitur* δεχόμενοι καθ' ἑαυτοὺς· παραπλησιάζουσι δὲ τοῖς Ἐγκρατίταις, ἄλλα δὲ παρ' αὐτοὺς φρονοῦσιν. *Etiam Cornarius vertit* Propinqui autem sunt Encratitis. Verum alia etiam praeter hos sentiunt ac docent.

59. *Vulgo* ἀνοήτως *corrupte. In Panario est* Νοητιανῶν. *Aliter apud Ioannem Damasc.*

60. *Rescribe* Ἀδαμαντίου, *ut est in summario Panarii et apud Ioannem Damasc. Item* Συντάκτου.

61. αὐτοῦ δευτέρου βιβλίου *cod. Rhedig.*

προκαταγγελτικῶς μὲν τὰ περὶ αὐτοῦ ἐν ταῖς θείαις γραφαῖς εἰρημένα ἔχοντος, μὴ ὄντος δὲ, ἀλλ' ἀπὸ Μαρίας καὶ δεῦρο διὰ τῆς ἐνσάρκου παρουσίας.

Μανιχαῖοι, καὶ Ἀκουανῖται, οἱ τοῦ Μανῆ μαθηταὶ τοῦ Πέρσου, Χριστὸν σχήματι λέγοντες, ἥλιόν [62] τε σέβοντες καὶ σελήνην, ἄστροις τε καὶ δυνάμεσι καὶ δαίμοσιν εὐχόμενοι, ἀρχὰς δύο εἰσηγούμενοι, πονηράν τε καὶ ἀγαθήν· Χριστὸν δοκήσει πεφηνέναι, καὶ δοκήσει πεπονθέναι· παλαιὰν διαθήκην βλασφημοῦντες, καὶ τὸν ἐν αὐτῇ λαλήσαντα θεὸν, κόσμον δὲ οὐ τὸν πάντα, ἀλλὰ μέρος ἐκ θεοῦ γεγενῆσθαι ὁριζόμενοι.

pag. 147. *Ἱερακῖται, οἱ ἀπὸ Ἱέρακος τοῦ Λεοντοπολίτου τῆς Αἰγύπτου, [63] ἐξηγητοῦ τινος, σαρκὸς ἀνάστασιν ἀθετοῦντες, χρώμενοι δὲ παλαιᾷ καὶ νέᾳ διαθήκῃ, ἀπαγορεύοντες δὲ γάμον παντελῶς, μονάζοντας δὲ καὶ παρθένους καὶ ἐγκρατευομένους δεχόμενοι, καὶ [64] χήρους, λέγοντες τὰ μηδέπω ἐν ἡλικίᾳ γενόμενα παιδία. [65] Βασιλείας δὲ μὴ μετέχειν ἔλεγον τοὺς μὴ ἀθλήσαντας.*

[66] Μελητιανοὶ, οἱ ἐν Αἰγύπτῳ σχίσμα ὄντες, ἀλλ' οὐχ αἵρεσις, μὴ συνευξάμενοι τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσι, νῦν δὲ Ἀρειανοῖς συναφθέντες.

Ἀρειανοὶ, οἱ καὶ Ἀρειομανῖται, οἱ τὸν υἱὸν τοῦ θεοῦ κτίσμα λέγοντες, καὶ τὸ πνεῦμα τὸ ἅγιον κτίσμα κτίσματος. Σάρκα μόνον τὸν σωτῆρα Χριστὸν [67] ἀπὸ Μαρίας εἰληφέναι διαβεβαιούμενοι, καὶ οὐ ψυχήν. Ἦν δὲ οὗτος ὁ Ἄρειος πρεσβύτερος τῆς Ἀλεξανδρέων ἐκκλησίας.

Αὕτη ἡ τοῦ δευτέρου βιβλίου τοῦ δευτέρου τόμου, πέμπτου δὲ ἀπ' ἀρχῆς τῆς ἀκολουθίας ὄντος, ἀνακεφαλαίωσις αἱρέσεων πέντε.

Ἐν δὲ τῷ πρώτῳ τόμῳ τοῦ τρίτου βιβλίου, ἕκτῳ δὲ ὄντι καθ' ὃν προείπωμεν ἀριθμὸν, ἑπτά εἰσιν αἱρέσεις, σὺν τοῖς σχίσμασιν, οὕτως·

Αὐδιανοὶ, ἀφηνιασμὸς καὶ σχίσμα, οὐ μέντοι αἵρεσις. Οὗτοι μὲν διαγωγὴν καὶ βίον εὖ τεταγμένον κέκτηνται, εἰσὶ δὲ κατὰ πάντα τὴν πίστιν ἔχοντες ὡς ἡ καθολικὴ ἐκκλησία, [68] ἐν μοναστηρίοις δὲ οἱ πλείους κατοικοῦσι. Κέχρηνται δὲ καὶ ἀποκρύφοις πολλοῖς κατακόρως· οὐ συνεύχονται δὲ ἡμῖν, ψέγοντες τοὺς παρ' ἡμῖν ἐπισκόπους πλουσίους [69] ἀποκαλοῦντες, καὶ ἄλλους [70] ἄλλους. Ποιοῦσι δὲ καὶ

62. *Mallem* δὲ *cum Ioanne Damasc.*

63. ἐξηγητὴς *codd. mss. et edit. princ.*

64. χόρους *foedissimo mendo laborat edit. Pelav. Colon. repet.*

65. *Ex Ioanne Damasc., et ex summario Panarii pag.* 605., *quod habet* χήρους. τὰ δὲ μηδέπω ἐν ἡλικίᾳ γεγονότα παιδία βασιλείας μὴ μετέχειν, διὰ τὸ μὴ ἠθληκέναι, *restituenda sunt. Cf. Panarium ipsum haer.* 67, 2. *pag.* 711. *Vetus loci scriptura fortasse haec fuit,* λέγοντες τὰ μηδέπω ἐν ἡλ. γ. π. βασιλείας μὴ μετέχειν, ἔλεγον ὡς μὴ ἠθλήσαντας.

praedicentis esse more dicta, cum ipse nondum existeret, sed a Maria, uti diximus, et ab eo duntaxat tempore quo carne praeditus advenit esse coeperit.

Manichaei, quos et Acuanitas vocant, Manis Persae discipuli, Christum specie tenus profitentur, solem lunamque venerantur. Stellis ac virtutibus et daemonibus supplicant. Duo principia, bonum ac malum, constituunt. Christum specie tenus apparuisse, specieque tenus esse passum. Vetus testamentum, eumque qui in illo locutus est, maledictis onerant. Mundum non universum a deo, sed eius partem fabricatam esse statuunt.

Hieracitae ab Hierace interprete ac doctore quodam Leontopoli, quod Aegypti oppidum est, oriundo. Qui resurrectionem carnis respuit. Utuntur illi veteri ac novo testamento. Nuptiis penitus interdicunt. Monachos et virgines continentes ac viduos admittunt. Pueros natura nondum aetate regni coelestis participes esse negant, quod nondum certamine perfuncti sunt.

Meletiani schismatis in Aegypto, non haeresis locum obtinent. Qui cum illis precum communione coniungi noluerunt qui in persecutione lapsi sunt. Nunc se ad Arianos aggregarunt.

Ariani, sive Ariomanitae, dei filiam creaturam esse dicunt, spiritum vero sanctum creaturae esse creaturam. Salvatorem nostrum carnem duntaxat a Maria, non animam accepisse confirmant. Fuit hic Arius ecclesiae Alexandrinae presbyter.

Haec est quinque haereseon summa, quae in hoc II. libro sive ordine V. continentur.

At in priore tomo libri tertii, sive ordine VI., secundum institutum a nobis ordinem septem haereses continentur, cum schismatibus.

Audianorum proprie schisma ac defectio, non haeresis. Horum bene instituta vivendi ratio est. Sed neque, quod ad fidem attinet, ab ecclesia catholica dissentiunt. Habitant maiori ex parte in monasteriis. Magna est apud illos apocryphorum librorum copia. Communes nobiscum orationes non habent. Nam episcopos nostros, necnon et divites, aliosque condemnant. Quinetiam Pascha

66. μελιτιανοὶ *codd. mss.*
67. διαβεβαιούμενοι ἀπὸ Μαρίας εἰληφέναι *cod. Rhedig.*
68. ἐν μοναστηρίοις *dedi ex Ioanne Damasc. Vulgo enim abest praepositio* ἐν. *Petavius volebat* μοναστήρια, *ex Panarii summario.*
69. *Ita codd. mss. Edili praebent* χαλοῦντες.
70. *Hoc alterum* ἄλλους *non comparet in edit. Petav.*

τὸ Πάσχα ἰδιαζόντως, ὅτε Ἰουδαῖοι ποιοῦσιν. Ἔχουσι δὲ [71] ἰδιωτικόν τι καὶ φιλόνεικον, [72] ξηρότατα τὸ Κατ' εἰκόνα ἑρμηνεύοντες.

[73] Φωτεινιανοί. Οὗτος ὁ Φωτεινὸς [74] ἀπὸ Σιρμίου ὑπάρχων ἔτι καὶ δεῦρο περιὼν, τὰ ὅμοια Παύλῳ τῷ [75] Σαμοσατεῖ ἐφρόνησε, κατά τι δὲ πρὸς ἐκεῖνον διαφέρεται. Καὶ αὐτὸς δὲ ἀπὸ Μαρίας καὶ δεῦρο τὸν Χριστὸν διαβεβαιοῦται.

pag. 148. *Μαρκελλιανοὶ, ἀπὸ Μαρκέλλου τοῦ ἀπὸ Ἀγκύρας τῆς Γαλατίας. Οὗτος ἐν ἀρχῇ παραπλήσια Σαβελλίῳ φρονήσας διεφημίσθη. Εἰς ἀπολογίας δὲ πολλάκις ἐλθὼν, καὶ ἐγγράφως ἀπολογισάμενος, παρὰ πολλῶν τοῖς αὐτοῖς ἐμμένειν κατηγορήθη. Ἴσως δὲ μεταγνοὺς τάχα ἑαυτὸν διωρθώσατο, [76] ἢ οἱ αὐτοῦ μαθηταί. Ὑπὲρ αὐτοῦ γὰρ καὶ ὑπὲρ τῶν αὐτοῦ μαθητῶν ὀρθόδοξοί τινες μέσως ὑπεραπολογοῦνται.*

Ἡμιάρειοι, οἱ Χριστὸν μὲν ὁμολογοῦντες, εἰρωνείᾳ δὲ [77] κτίσμα αὐτὸν φάσκοντες, οὐχ ὡς ἓν τῶν κτισμάτων, ἀλλὰ, φασὶν, υἱὸν αὐτὸν λέγομεν, διὰ δὲ τὸ μὴ πάθος προσάψαι πατρὶ διὰ τοῦ γεγεννηκέναι κτιστὸν αὐτὸν λέγομεν. Καὶ περὶ δὲ τοῦ πνεύματος τοῦ ἁγίου ὡσαύτως κτίσμα παντελῶς ὁρίζονται, παρεκβάλλοντες υἱοῦ τὸ ὁμοούσιον, ὁμοιούσιον δὲ θέλουσι λέγειν. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ τὸ [78] ὁμοιούσιον παρεξέβαλον.

Πνευματομάχοι. Οὗτοι περὶ μὲν Χριστοῦ καλῶς ἔχουσι, τὸ δὲ πνεῦμα τὸ ἅγιον βλασφημοῦσι, κτιστὸν αὐτὸ ὁριζόμενοι, καὶ οὐκ ὂν ἐκ τῆς θεότητος, μᾶλλον δὲ καταχρηστικῶς κατὰ ἰδίαν ἐνέργειαν [79] ἐκτίσθαι, ἁγιαστικὴν [80] αὐτοῦ δύναμιν φάσκοντες εἶναι μόνον.

Ἀεριανοί. Οὗτος ὁ Ἀέριος ἀπὸ Πόντου ὡρμᾶτο, ἔτι δὲ δεῦρο περίεστι πειρασμὸς τῷ βίῳ. Πρεσβύτερος οὗτος ἦν τοῦ ἐπισκόπου Εὐσταθίου, [81] ἐν Ἀρειανοῖς διαβληθέντος, καὶ τοῦ ἐπισκοπεῖν ἐκπεσόντος. Ἐπειδὴ δὲ αὐτὸς Ἀέριος οὐ κατέστη ἐπίσκοπος ἀντὶ Εὐσταθίου, πολλὰ κατὰ τῆς ἐκκλησίας ἐδογμάτισε, τῇ μὲν πίστει ὢν Ἀρειανὸς τελειότατος, περιττότερον δὲ δογματίζει, μὴ δεῖν, φησὶ, προσφέρειν περὶ τῶν κεκοιμημένων, νηστεύειν δὲ [82] τετράδα καὶ προσάββατον καὶ τεσσαρακοστὴν καὶ Πάσχα κωλύει, ἀποταξίαν δὲ κηρύσσει, σαρκοφαγίαις δὲ παντοίαις κέχρηται, καὶ τρυφαῖς ἀδεῶς. Εἰ δέ τις τῶν αὐτοῦ μαθητῶν βούλοιτο νηστεύειν, μὴ ἐν ἡμέραις τεταγμέναις,

71. ἰδρατικὸν *cod. Ien. et edit. princ.* ἰδεακτικὸν *cod. Rhedig.*

72. ζη...... *edit. princ.* ξη..τατα *cod. Rhedig., uterque vacuo spatio relicto.*

73. Φωτιανοὶ, οὗτος ὁ Φωτιανὸς (Φώτιος *cod. Ien.*) *codd. mss. et edit. princ.*

74. *In cod. Rhedig. est* ...... μίου, *spatio vacuo relicto, in edit. princ. item, nisi quod* βίου *habet pro* μίου. ἀπὸ συρμίου *legitur in cod. Ien.*

75. σαμοσαταίῳ *cod. Rhedig.*

privatim eodem quo Iudaei tempore celebrant. Est et quiddam peculiare ipsis, quod defendunt summa contentione. Quippe quod ad imaginem scriptum est durius interpretantur.

Photiniani. Photinus iste Sirmio oriundus ad hodiernum usque tempus supererat. Qui quidem eadem cum Paulo Samosateno sentit. Nonnulla sunt tamen in quibus ab eodem dissidet. Item e Maria Christum initium penitus accepisse putat.

Marcelliani. Horum Marcellus auctor extitit, Ancyrae in Galatia episcopus. Qui cum initio pro Sabelliano communi fama traductus esset, seipsum etiam scripto saepenumero purgasset, a plerisque tamen creditum est ad easdem ipsum opiniones adhaerescere. Fieri potest ut vel ipse mutata sententia meliorem ad mentem sese revocaverit, vel eius discipuli. Nam pro utrisque orthodoxi quidam sese defensores interposuerunt.

Semiariani. Christum illi creaturam esse dicunt, sed cavillando tamen negant ceterarum creaturarum esse similem, sed filium, inquiunt, illum dicimus, verum ne ex generatione ipsa ulla in patrem affectio derivetur, eundem creatum confitemur. Iidem et spiritum sanctum omnino creaturam esse definiunt, cumque *ὁμοούσιον*, id est consubstantialem repudient, *ὁμοιούσιον*, hoc est substantia similem admittunt. Quod ipsum tamen quidam ex illis respuunt.

Pneumatomachi. De Christo isti non male sentiunt, sed in spiritum sanctum contumelias iaciunt, cum et creatum asseverent, et a divinitate reiiciant, imo vero abusione quadam vocis propter actionem ipsam creatum esse dicant, nec aliud esse quicquam, praeter vim sanctificandi.

Aëriani. Aërius e Ponto oriundus hodieque magna humani generis calamitate superest. Fuerat olim Eustathii episcopi, qui Ariani erroris insimulatus ac depositus est, presbyter; qui quod episcopus pro Eustathio creatus non esset, multa adversus catholicam ecclesiam dogmata commentus est. Ac, quod ad fidem attinet, germanus Arii sectator est. Sed amplius quiddam profitetur. Oblationes pro mortuis non esse faciendas, ieiunia quartae feriae et Parasceues ac Quadragesimae, nec non et Paschatis, interdicit; rerum omnium renuntiationem praedicat, carnium ac deliciarum ad vitam omne genus adhibet. Quod si quis sectatorum suorum ieiu-

76. οἳ οἱ *codd. mss. et edit. princ. vitiose.*
77. αὐτὸν κτίσμα *invertit cod. Rhedig.*
78. *Libri praebent vulgo* ὁμοούσιον.
79. *Ita restituendum erat ex Panario et Ioanne Damasc. Libri vulgo* ἐκτίσθη.
80. αὐτὸ *habet summarium Panarii et Ioann. Damasc.*
81. *Suspicor* τοῦ ἕν, *Cf. summarium Panarii p.* 809.
82. τετράδι *codd. mss. et edit. princ.*

φησὶν, ἀλλ' ὅτε βούλει. Φάσκει δὲ μηδὲν εἶναι διαφορώτερον ἐπίσκοπον πρεσβυτέρου.

Ἀετιανοὶ, οἱ ἀπὸ Ἀετίου τοῦ Κίλικος, διακόνου γενομένου ὑπὸ Γεωργίου τοῦ τῶν Ἀρειανῶν ἐπισκόπου τῆς Ἀλεξανδρείας, οἱ καὶ pag. 149. Ἀνόμοιοι καλούμενοι, παρά τισιν Εὐνομιανοὶ, δι' Εὐνόμιόν τινα μαθητὴν Ἀετίου γενόμενον, καὶ ἔτι περιόντα. Σὺν αὐτοῖς δὲ ἦν καὶ Εὐδόξιος Ἀρειανίζων, ἀλλὰ δῆθεν διὰ τὸν πρὸς τὸν βασιλέα Κωνσταντῖνον φόβον ἀφώρισεν ἑαυτὸν, καὶ μόνος Ἀέτιος ἐξωρίσθη. Ἔμεινε μέν τοι ὁ Εὐδόξιος Ἀρειανίζων, οὐ μέν τοί γε κατὰ τὸν Ἀέτιον. Οὗτοι οἱ Ἀνόμοιοι καὶ Ἀετιανοὶ παντάπασι Χριστὸν καὶ τὸ ἅγιον πνεῦμα ἀπαλλοτριοῦσι θεοῦ, κτιστὸν αὐτὸν διαβεβαιούμενοι, καὶ οὐδὲ ὁμοιότητά τινα ἔχειν λέγουσιν. Ἐκ συλλογισμῶν γὰρ Ἀριστοτελικῶν καὶ γεωμετρικῶν τὸν θεὸν πατέρα παριστᾶν βούλονται, καὶ Χριστὸν μὴ δύνασθαι εἶναι ἐκ θεοῦ, διὰ τοιοῦτον τρόπον. Οἱ δὲ ἀπ' αὐτοῦ Εὐνομιανοὶ καλούμενοι ἀναβαπτίζουσι πάντας τοὺς πρὸς αὐτοὺς ἐρχομένους, οὐ μόνον ἀλλὰ καὶ τοὺς Ἀρειανῶν. Ἀναβαπτίζουσι δὲ κατὰ κεφαλῆς, ἄνω τοὺς πόδας στρέφοντες τῶν βαπτιζομένων, ὡς πολὺς ᾄδεται λόγος. Τὸ δὲ σφαλῆναί τινα ἐν πορνείᾳ ἢ ἑτέρᾳ ἁμαρτίᾳ οὐδὲν εἶναί φασιν· Οὐδὲν γὰρ ζητεῖ ὁ θεὸς ἀλλὰ τὸ εἶναί τινα ἐν τῇ αὐτῶν πίστει μόνον, λέγουσιν.

Αὗταί εἰσιν ὁμοίως καὶ αἱ τοῦ τρίτου βιβλίου τοῦ πρώτου τόμου, ἕκτου δὲ ὄντος κατὰ τὴν ἀκολουθίαν, αἱρέσεις.

Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ τρίτου βιβλίου, ἑβδόμῳ δὲ ὄντι καθ' ἣν εἴπομεν διαίρεσιν, ἐν ᾧ καὶ τὸ τέλος πάσης ἐστὶ τῆς πραγματείας, αἱρέσεις εἰσὶ τέσσαρες, οὕτως·

Διμοιρῖται, οἱ καὶ [83] Ἀπολιναρῖται, οἱ μὴ τελείαν τὴν τοῦ Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες· ὧν τινες ὁμοούσιον τῇ θεότητι τὸ σῶμα λέγουσιν. Ἐτόλμησαν δέ ποτέ τινες ἐξ αὐτῶν καὶ τοῦτο εἰπεῖν, ὅτι ψυχὴν οὐκ εἴληφεν ὁ Χριστὸς, καὶ τοῦτο ἠρνοῦντο, τινὲς δὲ διὰ τοῦ ῥητοῦ τὸ, Ὁ λόγος σὰρξ ἐγένετο, ἐπερειδόμενοι [84] τὸ ἀπὸ κτιστῆς σαρκὸς, τουτέστι Μαρίας, [85] τὸ σάρκα αὐτὸν εἰληφέναι. [86] Μόνον φιλονείκως ἔλεγον τὸν λόγον σάρκα γεγενῆσθαι, [87] ὕστερον διανοούμενοι, οὐκ οἶδα δ' ὅτι, νοῦν αὐτόν φασι μὴ εἰληφέναι.

Ἀντιδικομαριανῖται, οἱ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι λέγοντες.

pag. 150. [88] Κολλυριδιανοὶ, οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας ἐν ἡμέρᾳ τοῦ

83. *Ita codd. mss. constanter, non* Ἀπολλιναρῖται, *ut in editis legitur.*

84. „Supplenda vox ἠρνοῦντο." *Petavius.*

85. τὸ *uncinis signavit Petavius, qui volebat* τὸ κατὰ σάρκα. *Apud Ioann. Damasc. legitur simpliciter* ἀπὸ Μαρίας σάρκα αὐτὸν εἰληφέναι.

86. μόνον δὲ *suspicatus est Petavius,*

nare velit, definitis hoc diebus facere prohibet, sed quando libuerit. Episcopum docet nihilo praestantiorem esse presbytero.

Aëtiani. Huius haeresis Aëtius quidam inventor extitit, genere Cilix, qui a Georgio Arianorum episcopo diaconus ordinatus est. Anomoeos illos appellant, alii Eunomianos, ab Eunomio quodam Aëtii discipulo, qui hoc tempore superest. Earumdem partium erat et Eudoxius, sed Constantii imperatoris metu ab illis se segregans ac solus Aëtius relegatus est. Quamquam in Ariano dogmate perseveravit, sed Aëtium minime secutus est. Porro Anomoei, sive Aëtiani, Christum et spiritum sanctum a deo funditus alienum esse praedicant, quos creatos esse, neque quicquam habere similitudinis asserunt. Quippe syllogismis quibusdam Aristotelicis ac geometricis dei naturam explicare student, iisdemque probare Christum a deo oriri non posse. Eunomiani vero ab ipso profecti omnes, qui ad se veniunt, iterato baptizant, non catholicos solum, sed vel Arianos ipsos, idque eo modo ut pedibus in coelum conversis in caput illos intingant; quod de illis percrebuit. Stuprum, aut aliud quodlibet peccatum, nihil esse dictitant, neque enim deum aliud quaerere quam ut in ea sola quam ipsi praedicant fide perseveretur.

Hae sunt haereses illae septem quas sextus iste libri tertii tomus complectitur.

Denique libri III. tomus II., qui est tomorum ordine VII., in quo totius operis finis est, haereses continet IV.

Dimoeritae, qui et Apollinaristae, qui perfectam Christi incarnationem minime confitentur; quorum alii consubstantiale divinitati esse corpus affirmant, alii vero defendere istud etiam ausi sunt, Christum nequaquam animam assumpsisse, idque negare instituerunt. Quidam his evangelii verbis innixi, *Verbum caro factum est*,* ex creata carne, hoc est Maria, carnem ab illo susceptam esse voluerunt, sed solum verbum carnem esse factum pertinaciter asseverarunt. Postea vero, quam ob caussam nescio, mentem illum non assumpsisse dixerunt.

Antidicomarianitae beatam semperque virginem Mariam post editum salvatorem cum Iosepho consuevissse putant.

Collyridiani, qui in eiusdem Mariae nomen stato anni die col-

ex gemellis Panarii et Ioann. Damasc. locis.

87. *Repono* ὕστερον δὲ *ex Panario et Ioanne Damasc. qui habet* ὕστερον δὲ διανοούμενοι τί οὐκ οἶδα εἰπεῖν, νοῦν κτλ., *at in Panario* εἰς ὕστερον δὲ τί διανοούμενοι οὐκ οἶδα εἰπεῖν, νοῦν κτλ.

88. *Hoc vocabulum non comparet in codd. mss. et edit. princ. Supplevit primum Petavius.*

ἔτους τινὶ [89] ἀποτεταγμένῃ κολλυρίδας τινὰς προςφέροντες. Οἷς ἐπεθέμεθα ὄνομα τῇ πράξει αὐτῶν ἀκόλουθον, Κολλυριδιανοὺς αὐτοὺς ὀνομάσαντες.

Μασσαλιανοὶ, οὕτως ἑρμηνευόμενοι οἱ Εὐχόμενοι. Συνάπτονται δὲ τούτοις καὶ τῶν ἀπὸ Ἑλλήνων ἐπιτετηδευμένων αἱρέσεων οἱ λεγόμενοι Εὐφημῖται, καὶ Μαρτυριανοὶ, καὶ Σατανιανοί.

Αὕτη καὶ ἡ τοῦ ἑβδόμου τόμου ἀνακεφαλαίωσις, καὶ τέλος τῶν τριῶν βιβλίων. Ὁμοῦ δὲ πᾶσαι αἱ αἱρέσεις ὀγδοήκοντα. Ἐν αὐτῷ δὲ τῷ τέλει τοῦ τρίτου βιβλίου, ἑβδόμῳ δὲ τόμῳ, ἐν ὑστέρῳ ἡ πίστις τῆς καθολικῆς ἐκκλησίας, καὶ ἀπολογία ὑπὲρ ἀληθείας, καὶ κήρυγμα τοῦ εὐαγγελίου Χριστοῦ, καὶ χαρακτὴρ τῆς καθολικῆς ἐκκλησίας τῆς ἀπ᾽ αἰῶνος οὔσης, κατὰ δὲ διαδοχὴν χρόνων φανερώτατα ἐν τῇ Χριστοῦ ἐνσάρκῳ παρουσίᾳ ἀποκαλυφθείσης.

